ἰχνῶν καὶ σπερμάτων πάντων τούτων διασποράδην καὶ διερριμμένως ἐγκατεσπαρμένων ἐν τοῖς καθ' ἕκαστα τῆς μεγάλης Φύσεως ὁμοίοις καὶ συγγενέσιν αὐτῷ δημιουργήμασι. Τὸ πρῶτον, ἀμεσώτατα τοῦ σκοποῦ στοχαζόμενον 1), εἶνε δυσχερέστατον· διὸ καὶ ἥκιστα τῇ νεαρᾷ ταύτῃ ἡλικίᾳ, δι' ἣν γράφονται τὰ ἀλφαβητάρια καὶ τὰ ἀναγνωσματάρια, προσῆκον 2)· τὸ δεύτερον, ἐμμεσώτερον στοχαζόμενον τοῦ σκοποῦ 3),

1) *Πλάτων*, Νόμοι 735 C. Τὰ μὲν δὴ τῶν ἄλλων ζώων ἐλάττων τε σπουδὴ καὶ παραδείγματος ἕνεκα μόνον ἄξια παραθέσθαι τῷ λόγῳ, τὰ δὲ τῶν ἀνθρώπων σπουδῆς τῆς μεγίστης. — Φαῖδρος 230 D: Τὰ μὲν οὖν χωρία καὶ τὰ δένδρα οὐδέν μ' ἐθέλει διδάσκειν, οἱ δ' ἐν τῷ ἄστει ἄνθρωποι. — Αὐτόθ. 229 E: Ἐμοὶ δὲ πρὸς αὐτὰ οὐδαμῶς ἐστι σχολή. τὸ δ' αἴτιον, ὦ φίλε, τούτου τόδε· οὐ δύναμαί πω κατὰ τὸ Δελφικὸν γράμμα γνῶναι ἐμαυτόν· γελοῖον δέ μοι φαίνεται τοῦτο ἔτι ἀγνοοῦντα τὰ ἀλλότρια σκοπεῖν. Ὅθεν δὴ χαίρειν ἐάσας ταῦτα, πειθόμενος δὲ τῷ νομιζομένῳ περὶ αὐτῶν, ὃ νῦν δὴ ἔλεγον, σκοπῶ οὐ ταῦτα, ἀλλ' ἐμαυτόν, εἴ τε θηρίον τυγχάνω πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον, εἴτε ἡμερώτερον καὶ ἁπλούστερον ζῷον θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον. — *Μάρκος Ἀντωνῖνος*, Τῶν εἰς ἑαυτὸν 8, 52: Ὁ μὴ εἰδὼς πρός ὅ,τι πέφυκεν, οὐκ οἶδεν ὅστις ἐστί. — *Ἐπίκτητος*, ἀπόσπ. 175: Τί μοι μέλλει . . πότερον ἐξ ἀτόμων, ἢ ἐξ ὁμοιομερῶν, ἢ ἐκ πυρὸς καὶ γῆς συνέστηκε τὰ ὄντα; οὐ γὰρ ἀρκεῖ μαθεῖν τὴν οὐσίαν τοῦ ἀγαθοῦ καὶ κακοῦ, καὶ τὰ μέτρα τῶν ὀρέξεων καὶ ἐκκλίσεων, καὶ ἔτι ὁρμῶν καὶ ἀφορμῶν· καὶ τούτοις ὥσπερ κανόσι χρώμενον διοικεῖν τὰ τοῦ βίου· τὰ δὲ ὑπὲρ ἡμᾶς ταῦτα χαίρειν ἐᾶν; Ἄτινα τυχὸν μὲν ἀκατάληπτά ἐστιν ἀνθρωπίνῃ γνώμῃ· εἰ δὲ καὶ μάλιστα θείῃ ἄν τις εἶναι καταληπτά, ἀλλ' οὖν τί ὄφελος καταληφθέντων; . . Μή τι οὖν καὶ τὸ ἐν Δελφοῖς παράγγελμα παρέλκον ἐστί, τὸ Γνῶθι σαυτόν; τοῦτο μὲν οὔ. Τίς οὖν ἡ δύναμις αὐτοῦ; Εἰ χορευτῇ τις παρήγγειλε τὸ γνῶναι ἑαυτόν, οὐκ ἂν ἐν τῇ προστάξει προσεῖχε τῷ ἐπιστραφῆναι; — Ὅμοια, ἂν μὴ καὶ ὅλως τὰ αὐτὰ τούτοις καὶ ὁ Lotze. Ἰδ. Mikrokosmus ἔκδ. 2. 1869, τόμ. 2, σελ. 71 καὶ σελ. 363.

2) *Ἀριστοτέλης*, Μετὰ τὰ μεταφυσικὰ 1012, 6, 34: Ἀρχὴ λέγεται . . ὅθεν ἂν κάλλιστα γένοιτο ἕκαστον, οἷον καὶ μαθήσεως οὐκ ἀπὸ τοῦ πρώτου καὶ τῆς τοῦ πράγματος ἀρχῆς ἐνίοτε ἀρκτέον, ἀλλ' ὅθεν ῥᾷστ' ἂν μάθοι. Αὐτόθ. 982, α, 23: Σχεδὸν δὲ χαλεπώτατα ταῦτα γνωρίζειν τοῖς ἀνθρώποις τὰ μάλιστα καθόλου· πορρωτάτω γὰρ τῶν αἰσθήσεών ἐστιν. — *Πλάτων*, Πολιτεία 498 B: Μειράκια μὲν ὄντα καὶ παῖδας μειρακιώδη παιδείαν καὶ φιλοσοφίαν μεταχειρίζεσθαι — δεῖ — προϊούσης δὲ τῆς ἡλικίας, ἐν ᾗ ἡ ψυχὴ τελειοῦσθαι ἄρχεται, ἐπεκτείνειν τὰ ἐκείνης γυμνάσια. — *Σιμπλίκιος*, Ἐξήγ. εἰς Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 13, ἔκδ. Dübner, σελ. 49, στίχ. 8 καὶ ἑξ.: Ἐπίκτητος . . ἐν αὐτῇ τῇ χρήσει — τῆς παιδεύσεως — ἀπὸ τῶν μικρῶν ἄρχεσθαι συμβουλεύει, καὶ τῆς δυνάμεως τοῦ παιδευομένου καλῶς στοχαζόμενος. Ἡ μὲν γὰρ διὰ τῶν συμμέτρων ἄσκησις καὶ γυμνασία καὶ ἀσφαλής ἐστι καὶ ἀνύσιμος. Εἰ δέ τις τῶν μὲν συμμέτρων ὡς εὐτελῶν καταφρονήσει . . τοῖς δ' ἀσυμμέτροις ἐπιπηδήσει, οὔτε τούτων δύναται περικρατῆσαι, ἅτε μὴ κατὰ βαθμὸν αὐτοῖς ἐπιβάς, οὔτε δι' ἐκείνην ἔτι προκόψει, καταφρονήσας αὐτῶν. — *Παῦλος*, πρὸς Κορινθίους Α'. 3, 1: Καὶ ἐγώ, ἀδελφοί, οὐκ ἠδυνήθην λαλῆσαι ὑμῖν ὡς πνευματικοῖς, ἀλλ' ὡς . . νηπίοις. γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε, ἀλλ' οὔτε ἔτι νῦν δύνασθε.

3) Πλάτων, Φαῖδρος 270 C: Ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατανοῆσαι οἴει δυνα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἶνε οὐχ ἥκιστα οἰκειότερον τῇ παιδικῇ φύσει καὶ συμφωνότερον ταῖς παιδαγωγικαῖς διατάξεσιν 1).

Καὶ ταῦτα μὲν οὕτως·
Ἀλλ' ἡ φύσις, ἀλλ' ὁ κόσμος καὶ πάντα τὰ ἐν αὐτῷ εἶνε δημιουρ-

τον εἶναι ἄνευ τῆς τοῦ ὅλου φύσεως; — Εἰ μὲν Ἱπποκράτει γε τῶν Ἀσκληπιαδῶν δεῖ τι πείθεσθαι, οὐδὲ περὶ σώματος ἄνευ τῆς μεθόδου ταύτης — Καλῶς γάρ, ὦ ἑταῖρε, λέγει. — Πυθαγόρας ἐν *Φωτίου* βιβλιοθήκῃ 249, σελ. 440, 6, 20: Τὸ γοῦν γνῶθι σαυτὸν δοκοῦν ῥᾷστον εἶναι πάντων ἐστὶ χαλεπώτατον . . Παραινεῖ δ' ἡμῖν, γνῶναι τὴν ἑαυτῶν δύναμιν. Τὸ δὲ γνῶναι ἑαυτὸν οὐδὲν ἄλλο ἐστὶν ἢ τὴν τοῦ σύμπαντος κόσμου φύσιν γνῶναι. Τοῦτο δ' ἡμῖν ὁ θεὸς παραινεῖ. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 1, 14. ἔκδ. Potter, σελ. 351: Τὸ μὲν οὖν «γνῶθι σαυτόν», οἱ μὲν Χίλωνος ὑπειλήφασι· Χαμαιλέων δὲ ἐν τῷ περὶ Θεῶν, Θαλοῦ· Ἀριστοτέλης δέ, τῆς Πυθίας. Δύναται δὲ τὴν γνῶσιν ἐγκελεύεσθαι μεταδιώκειν. *Οὐκ ἔστι γὰρ ἄνευ τῆς τῶν ὅλων οὐσίας εἰδέναι τὰ μέρη.* δεῖ δὲ τὴν γένεσιν τοῦ κόσμου πολυπραγμονῆσαι, δι' ἧς καὶ τὴν τοῦ ἀνθρώπου φύσιν καταμαθεῖν ἐξέσται. — *Μάρκος Ἀντωνῖνος*, Τῶν εἰς ἑαυτὸν 8, 52. καὶ 2, 9. Ὁ μὲν μὴ εἰδὼς ὅ τι ἐστὶ κόσμος, οὐκ οἶδεν ὅπου ἐστίν. Ὁ δὲ μὴ εἰδὼς πρὸς ὅ τι πέφυκεν, οὐκ οἶδεν ὅστις ἐστίν, οὐδέ τί ἐστι κόσμος. Ὁ δὲ ἓν τι τούτων ἀπολιπών, οὐδ' ἂν πρὸς ὅ τι αὐτὸς πέφυκεν εἴποι. Τούτων ἀεὶ δεῖ μεμνῆσθαι, τίς ἡ τῶν ὅλων φύσις, καὶ τίς ἡ ἐμή, καὶ πῶς αὕτη πρὸς ἐκείνην ἔχουσα, καὶ ὁποιόν τι μέρος ὁποίου τοῦ ὅλου οὖσα, καὶ ὅτι οὐδεὶς ὁ κωλύων τὰ ἀκόλουθα τῇ φύσει, ἧς μέρος εἶ, πράσσειν τε ἀεὶ καὶ λέγειν. Ταὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί· Herder, Ideen zur Philosophie der Geschichte der Menscheit βιβλ. 2, κεφ. 4, ἐν τέλει: Freue Dich Deines Standes, o Mensch, und studire Dich, edles Mittelgeschöpf, in Allem, was um Dich, lebet! (ἔκδ. Heinrich Dünzer, Erster Theil, σελ. 97).

1) *Ἀριστοτέλης*, Τοπικὰ 141, 6, 15: Ἁπλῶς μὲν βέλτιον τῶν διὰ τῶν πρότερον τὰ ὕστερα πειρᾶσθαι γνωρίζειν· ἐπιστημονικώτερον γὰρ τὸ τοιοῦτόν ἐστιν· *οὐ μὴν ἀλλὰ πρὸς τοὺς ἀδυνατοῦντας γνωρίζειν διὰ τῶν τοιούτων ἀναγκαῖον ἴσως διὰ τῶν ἐκείνοις γνωρίμων ποιεῖσθαι τὸν λόγον, ἐπάγοντα ἀπὸ τῶν καθ' ἕκαστον ἐπὶ τὰ καθόλου καὶ τῶν γνωρίμων ἐπὶ τὰ ἄγνωστα· γνώριμα δὲ μᾶλλον τὰ κατὰ τὴν αἴσθησιν ἢ ἁπλῶς ἢ τοῖς πολλοῖς* (πρβλ. καὶ Τοπικά, 156, α, 4. καὶ 159, 6, 14. καὶ Θεόφραστον, περὶ φυτῶν ἱστορίας 1, 2, 3). — Ὁ μέγας Pestalozzi ἐπιχειρήσας ἐναντίον τῶν Ἀριστοτελικῶν τούτων καὶ Θεοφραστείων παιδαγωγικῶν διατάξεων νὰ διδάξῃ τὰ κατὰ τὸν ἄνθρωπον εἰς νεαροὺς παῖδας, ἀναλύων ἀμέσως τὰ κατὰ τὸ σῶμα τοῦ μαθητοῦ ἐν τῷ συγγράμματι αὐτοῦ «Wie Gertrud ihre Kinder lehrt (WW. ἔκδ. Seyffarth, 1871, τόμ. 11, σελ. 180 καὶ ἑξ. τόμ. 16, σελ. 238-310) ἤκουσε καὶ ἔτι καὶ νῦν ἀκούει σφοδροτάτας κατακρίσεις. Πρῶτος κατέκρινεν αὐτὸν ὁ μέγας φιλόσοφος Fichte ἐπαναλαβὼν τὰ ἄνω τοῦ Ἀριστοτέλους (Reden an die deutsche Nation, WW. ἔκδ. Berlin, 1847, τόμ. 7, σελ. 407 περὶ τὸ μέσον). Εἶτα ὁ πολὺς K. Raumer (Geschichte der Pädagogik, ἔκδ. 4, τόμ. 2, σελ. 334). Εἶτα ὁ Waitz (Allgemeine Päadagogik, ἔκδ. 1852, § 9, σελ. 114. ἔκδ. 2, 1875, σελ. 118), ὁ Palmer (Encyklopädie v. Schmid, ἔκδ. 2, 1883, τόμ. 5, σελ. 766), ὁ K. Bormann, (Pädagogik-für Volksschullehrer 1873, σελ. 58, ἐν τῇ ὑποσελιδίῳ σημειώσει).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γήματα ἑνὸς καὶ τοῦ αὐτοῦ δημιουργοῦ 1)· εἶνε δημιουργήματα, ἐκ μιᾶς καὶ τῆς αὐτῆς οὐσίας δημιουργηθέντα 2). Ἆρα πάντα τὰ ἐν τῷ κόσμῳ τούτῳ εἶνε ἓν καὶ τὸ αὐτό, πάντα εἶνε φίλα καὶ συγγενῆ καὶ ὅμοια ἀλλήλοις, ἁπλῶς κατὰ τὴν μορφὴν παραλλάσσοντα 3), ἐν ἀμοι-

1) *Ὀρφικά*, ἀπ. 1, στίχ. 8. Mullach, τόμ. 1, σελ. 166 α: Εἷς ἔστ', αὐτογενής, ἑνὸς ἔκγονα πάντα τέτυκται. Αὐτόθ. ἀπ. 2, στίχ. 10: Εἷς ἔστ' αὐτοτελής, αὐτοῦ δὲ ὕπο πάντα τελεῖται. — *Ἀριστοτέλης*, περὶ κόσμου πρὸς Ἀλέξανδρον 397, 6, 14: Ἐκ θεοῦ πάντα καὶ διὰ θεοῦ ἡμῖν συνέστηκεν. — *Πλάτων*, Σοφιστὴς 265 C: Ζῶα δὲ πάντα θνητὰ καὶ φυτά, ὅσα τ' ἐπὶ τῆς γῆς ἐκ σπέρματος καὶ ῥιζῶν φύεται καὶ ὅσα ἄψυχα ἐν γῇ ξυνίσταται, σώματα τηκτὰ καὶ ἄτηκτα μῶν ἄλλου τινὸς ἢ θεοῦ δημιουργοῦντος εἶναι φήσομεν ὕστερον γίγνεσθαι πρότερον οὐκ ὄντα; Τὰ αὐτὰ καὶ Πλάτων, Τίμαιος 28 C: 30 B. 37 C. 41 A. — *Ἀριστοτέλης*, περὶ κόσμου πρὸς Ἀλέξανδρον 397, 6, 20. — *Αὐτόθ.* ἀπόσπ. 13. 1476, α, 29. — *Ἀρριανός*, Ἐπικτήτου διατριβ. 1, 6, 19. — *Πλούταρχος*, Πλατωνικὰ ζητήματα 1000 F - 1001 C. — *Διογένης Λαέρτιος*, 7, 1, 147 — *Γαληνός*, περὶ τῶν καθ' Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων, ἔκδ. Kühn, τόμ. 5, σελ. 791· ἔκδ. Müller, τόμ. 1, σελ. 811. — *Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτ. Ἐγχειρίδ. 1, 1, ἔκδ. Dübner, σελ. 6, στίχ. 3.

2) *Ἀναξαγόρας*, ἀπόσπ. 6 καὶ 16, ἔκδ. Mullach τόμ. 1, σελ. 249 καὶ 251: Ἐν παντὶ παντὸς μοῖρα ἔνεστι — ἐν παντὶ πάντα . . πάντα παντὸς μοῖραν μετέχει. Αὐτόθ. ἀπ. 13: Οὐ κεχώρισται τὰ ἐν τῷ ἑνὶ κόσμῳ οὐδὲ ἀποκέκοπται πελέκεϊ οὔτε τὸ θερμὸν ἀπὸ τοῦ ψυχροῦ οὔτε τὸ ψυχρὸν ἀπὸ τοῦ θερμοῦ. — *Πλάτων*, Τίμαιος 69 C: Ἀλλὰ πάντα ταῦτα — πῦρ καὶ ὕδωρ καὶ εἴ τι τῶν ἄλλων — πρῶτον διεκόσμησεν — ὁ θεὸς — ἔπειτ' ἐκ τούτων πᾶν τόδε ξυνεστήσατο. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς, 4, 26, ἔκδ. Potter, σελ. 639: Ἑνὸς τὰ πάντα θεοῦ· καὶ οὐκ ἄν τις εἴη φύσει τοῦ κόσμου ξένος, μιᾶς μὲν τῆς οὐσίας οὔσης, ἑνὸς δὲ τοῦ Θεοῦ. *Αὐτόθ.* 6, 16, ἔκδ. Potter, σελ. 812. Πάντων ὁμοῦ ἐκ μιᾶς οὐσίας μιᾷ δυνάμει γενομένων· ἓν γάρ, οἶμαι, τὸ βούλημα τοῦ Θεοῦ ἐν μιᾷ ταὐτότητι. — *Μάρκος Ἀντωνῖνος*, Τῶν εἰς ἑαυτὸν 7, 9: Κόσμος εἷς ἐξ ἁπάντων, καὶ θεὸς εἷς δι' ἁπάντων καὶ οὐσία μία καὶ νόμος εἷς, λόγος κοινὸς πάντων τῶν νοερῶν ζώων, καὶ ἀλήθεια μία. — *Ἀρριανός*, Ἐπικτήτου διατριβ. 3, 24, 10: Ὁ κόσμος οὗτος μία πόλις ἐστί, καὶ ἡ οὐσία ἐξ ἧς δεδημιούργηται μία. — Πρβλ. καὶ *Πλάτων*. Ἐπινομίδ. 981 - 986 A. — Φίληβον 29 A - 30 B. Ἐμπεδοκλέους ἔπη 120-131, Müllach, τόμ. 1, σελ. 4.

3) *Ἀναξαγόρας*, ἀποσπάσματα 4. 6. 16, ἔκδ. Mullach, τόμ. 1, σελ. 248 - 251: Ἐν τῷ σύμπαντι χρῆ δοκέειν ἓν εἶναι πάντα χρήματα. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Παιδαγωγὸς 3, 12, ἔκδ. Potter, σελ. 311: Πάντα τῷ ἑνί· ἐν ᾧ τὰ πάντα· δι' ὃν τὰ πάντα ἕν. — *Μάρκος Ἀντωνῖνος*, Τῶν εἰς ἑαυτὸν 7, 9: Πάντα ἀλλήλοις ἐπιπλέκεται καὶ ἡ σύνδεσις ἱερά, καὶ σχεδόν τι οὐδὲν ἀλλότριον ἄλλο ἄλλῳ. *Αὐτόθ.* 6, 38: Πάντα ἀλλήλοις ἐπιπλέκεται, καὶ πάντα κατὰ τοῦτο φίλα ἀλλήλοις ἐστί. — *Ἀρριανός*, Ἐπικτήτου διατριβ. 3, 24, 10 - 11: Ὁ κόσμος οὗτος μία πόλις ἐστί, καὶ ἡ οὐσία ἐξ ἧς δεδημιούργηται μία . . πάντα δὲ φίλων μεστά. — *Πλάτων*, Μένων 81 C: Τῆς φύσεως ἁπάσης συγγενοῦς οὔσης. — *Αὐτόθ.* Πρωταγόρας 331 E: Ἅπαντά ἐστιν ὅμοια ἀλλήλοις. — *Ἐμπεδοκλῆς*, ἔπη 132, Mullach τόμ. 1, σελ. 4: Αὐτὰ γὰρ ἔστιν ταῦτα, δι' ἀλλήλων δὲ θέοντα | γίγνεται ἀλλοιωπά· διάπτυξις γὰρ ἀμείβει. — Πρβλ. καὶ *Πλάτωνος Φαίδωνα* 79 D. Ἐπινομίδα 981 C — 986 A. Θεάγην 121 B καὶ ἑξ. — Ἡ κατὰ τὴν παρελθοῦσαν ἑκατονταετηρίδα περιδόητος καταστᾶσα γνώμη τῆς Sophie

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζαίᾳ δὲ ἐπικοινωνίᾳ καὶ συμπαθείᾳ πρὸς ἄλληλα καὶ ἐν διηνεκεῖ ἀλληλεπιδράσει τὸν ἐγκόσμιον βίον αὐτῶν διάγοντα 1).

Germain καὶ ἡ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις σφόδρα εὐδοκιμοῦσα θεωρία τοῦ Hermann Lotze περὶ τῆς ὁμοιότητος πάντων τῶν ἐν τῷ κόσμῳ εἶνε δόγμα φιλοσοφικὸν Ἑλληνικόν. Εἶναι δόγμα τοῦ Ἐμπεδοκλέους, τοῦ Ἀναξαγόρου, τῶν Πυθαγορείων, τῶν Ἀκαδημαϊκῶν καὶ τῶν Στωικῶν. Περὶ τούτου ἴδε καὶ τὴν ὑποσελίδ. σημ. ἐν Πλάτωνος Μένωνι 81 C τῆς ἐκδόσεως τοῦ Ad. Rich. Fritzche.

1) *Ἐμπεδοκλῆς*, ἔπη 126 (ἔνθ. ἀν.) Ἐν δὲ κότῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται, | σὺν δ' ἔδῃ ἐν φιλότητι καὶ ἀλλήλοισι ποθεῖται. | ἐκ τῶν πάνθ' ὅσα τ' ἦν ὅσα τ' ἔσθ' ὅσα τ' ἔσται ὀπίσσω, | δένδρεά τ' ἐβλάστησε καὶ ἀνέρες ἠδὲ γυναῖκες, | θῆρές τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς | καί τε θεοὶ δολιχαίωνες, | τιμῇσι φέριστοι. | αὐτὰ γάρ ἐστιν ταῦτα — *Πλάτων*, Νόμοι 903 B: Τῷ τοῦ παντὸς ἐπιμελουμένῳ πρὸς τὴν σωτηρίαν καὶ ἀρετὴν τοῦ ὅλου πάντ' ἐστὶ συντεταγμένα, ὧν καὶ τὸ μέρος εἰς δύναμιν ἕκαστον τὸ προσῆκον πάσχει καὶ ποιεῖ. τούτοις δ' εἰσὶν ἄρχοντες προστεταγμένοι ἑκάστοις ἐπὶ τὸ σμικρότατον ἀεὶ πάθης καὶ πράξεως, εἰς μερισμὸν τὸν ἔσχατον τέλος ἀπειργασμένοις. —*Ἀριστοτέλης*, περὶ γενέσεως καὶ φθορᾶς 322, 6, 12: Ἐξ ἑνὸς ἀνάγκη λέγειν τὴν ποίησιν, καὶ τοῦτ' ὀρθῶς λέγει Διογένης, ὅτι εἰ μὴ ἓξ ἑνὸς ἦν ἅπαντα, οὐκ ἂν ἦν τὸ ποιεῖν καὶ τὸ πάσχειν ὑπ' ἀλλήλων. — *Πρόκλος*, Στοιχείωσις Θεολογική, κεφ. 140· Πᾶσαι τῶν θείων αἱ δυνάμεις . . ἄνωθεν μέχρι τῶν τελευταίων ἐκτείνουσιν ἑαυτάς, ὅθεν καὶ ἐν τούτοις εἰσὶ τῶν πρώτων ἐμφάσεις, καὶ συμπαθῆ πάντα πᾶσιν. *Αὐτόθ.* εἰς τὸν Πλάτωνος πρῶτον Ἀλκιβιάδην κ. 21: Καὶ τὰ θνητὰ μετίσχει τῶν θείων ἀπορροιῶν καὶ οὕτω δὴ ζῶα καὶ φυτὰ δημιουργεῖται . . καὶ διὰ τοῦτο συμπαθῆ καὶ τὰ ἔσχατα τοῖς πρώτοις ἐστί. — *Συνέσιος*, σελ. 132: Τοῦ παντὸς τούτου συμπαθοῦς ὄντος καὶ σύμπνου καὶ τὰ μέρη προσήκειν ἀλλήλοις καὶ σοφὸς ὁ εἰδὼς τὴν τῶν μερῶν τοῦ κόσμου συγγένειαν. — *Μάρκος Ἀντωνῖνος*, Τῶν εἰς ἑαυτὸν βιβλ. 4, 40 καὶ 27. 7, 19: Ὡς ἓν ζῷον τὸν κόσμον, μίαν οὐσίαν καὶ ψυχὴν μίαν ἐπέχον, συνεχῶς ἐπινοεῖν· καὶ πῶς εἰς αἴσθησιν μίαν τὴν τούτου πάντα ἀναδίδοται· καὶ πῶς ὁρμῇ μιᾷ πάντα πράσσει· καὶ πῶς πάντα πάντων τῶν γινομένων συναίτια· καὶ οἷά τις ἡ σύννησις καὶ συμμέρισις —Ἤτοι κόσμος διατεταγμένος, ἢ κυκεών, συμπεφορημένος μέν, ἀλλὰ κόσμος. Ἢ ἐν σοὶ μέν τις κόσμος ὑφίστασθαι δύναται; ἐν δὲ τῷ παντὶ ἀκοσμία; καὶ ταῦτα οὕτως πάντων διακεχριμένων καὶ διακεχυμένων καὶ συμπαθῶν — Διὰ τῆς τῶν ὅλων οὐσίας, ὡς διὰ χειμάρρου, διεκπορεύεται πάντα τὰ σώματα, τῷ ὅλῳ συμφυῆ καὶ συνεργά, ὡς τὰ ἡμέτερα μέρη ἀλλήλοις. —*Ἀρριανός*, Ἐπικτήτου διατριβαί 1, 14, 2: Οὐ δοκεῖ σοι, ἔφη, ἡνῶσθαι τὰ πάντα; Δοκεῖ, ἔφη. Τί δέ; συμπαθεῖν τὰ ἐπίγεια τοῖς οὐρανίοις οὐ δοκεῖ σοι; Δοκεῖ, ἔφη. Πόθεν γὰρ οὕτω τεταγμένως, καθάπερ ἐκ προστάγματος τοῦ Θεοῦ, ὅταν ἐκεῖνος εἴπῃ τοῖς φυτοῖς ἀνθεῖν, ἀνθεῖ; ὅταν εἴπῃ βλαστάνειν, βλαστάνει; ὅταν ἐκφέρειν τὸν καρπόν, ἐκφέρει; ὅταν πεπαίνειν, πεπαίνει; ὅταν πάλιν ἀποβάλλειν, ἀποβάλλει; καὶ φυλλορροεῖν, φυλλορροεῖ; καὶ αὐτὰ εἰς αὐτὰ συνειλούμενα ἐφ' ἡσυχίας μένειν καὶ ἀναπαύεσθαι, μένει καὶ ἀναπαύεται; Πόθεν δὲ πρὸς τὴν αὔξησιν καὶ μείωσιν τῆς σελήνης, καὶ τὴν τοῦ ἡλίου πρόσοδον καὶ ἄφοδον, τοσαύτη παραλλαγὴ καὶ ἐπὶ τὰ ἐναντία μεταβολὴ τῶν ἐπιγείων θεωρεῖται; Ἀλλὰ τὰ φυτὰ μὲν καὶ τὰ ἡμέτερα σώματα οὕτως ἐνδέδεται τοῖς ὅλοις, καὶ συμπέπονθεν, αἱ ψυχαὶ δὲ αἱ ἡμέτεραι οὐ πολὺ πλέον; — *Θεόφραστος*, περὶ αἰσθητῶν, ἀπόσπ. 1, κεφ. 8, 39, ἐν ἀρχῇ: Διογένης δέ, ὥσπερ τὸ ζῆν καὶ τὸ φρονεῖν, τῷ ἀέρι καὶ τὰς αἰσθήσεις ἀνάπτει, διὸ καὶ δόξειεν ἂν τῷ ὁμοίῳ ποιεῖν· οὐδὲ γὰρ τὸ ποιεῖν εἶναι καὶ πάσχειν εἰ μὴ πάντα ἦνἑξ ἑνός. — Πρβλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὀρθότατα· καθότι ἡ ἐν τῷ σύμπαντι διακεχυμένη κοσμοπλαστικὴ τῆς φύσεως δύναμις, ἀπὸ τῶν στερεῶν σωμάτων ἀρχομένη τοῦ ἔργου αὐτῆς καὶ εἰς τὰ συνετώτατα τῶν ζώων καταπαύουσα αὐτό, βαίνει δι' ὅλων τῶν βασιλείων καὶ τῶν τάξεων καὶ τῶν γενῶν καὶ τῶν εἰδῶν τῶν ὄντων συνεχῶς καὶ κατὰ μικρὰς διαφοράς, ἀείποτε καὶ ἀνεπαισθήτως ὡς ἐπὶ τὸ πολὺ ἀπὸ τοῦ ἀτελεστάτου μέχρι τοῦ τελειοτάτου τύπου τῆς ἐκφάνσεως αὐτῆς προϊοῦσα, ἀπὸ τοῦ ἀτελεστάτου λιθαρίου μέχρι τοῦ τελειοτάτου αὐτῆς δημιουργήματος 1),

καὶ *Πλάτων*. Γοργ. 481 C. — *Πλούταρχον*, Αἰτίαι τῶν Ἀράτου διοσημειῶν κεφ. 6. ἔκδ. Βερναρδάκη, τόμ. 7, σελ.107 ἐν ἀρχῇ. *Ἀρριανὸν* ἔνθ. ἀν. 4, 7, 6 καὶ 7. *Θεμίστιον* ἔνθ. ἀν. 3, 5. σελ. 191. *Μάξιμ. τὸν Τύριον*, λόγ. 15, 3 ἐν τέλει. λόγ. 19, 3. *Μάρκον* Ἀντωνῖνον ἔνθ. ἀν. 6, 38 καὶ 7, 9. — *Ὥστε* ἡ σφόδρα ἐν τοῖς καθ' ἡμᾶς χρόνοις εὐδοκιμοῦσα τοῦ Hermann Lotze ἀπόδειξις περὶ τῆς ὑπάρξεως μιᾶς δημιουργικῆς αἰτίας τοῦ Σύμπαντος, ἡ βασιζομένη ἐπὶ τῆς ἀμοιβαίας συμπαθείας τῶν ὄντων καὶ τῆς ἀλληλεπιδράσεως αὐτῶν, εἶνε ἔκγονον τοῦ Ἑλληνικοῦ πνεύματος· εἶνε δόγμα φιλοσοφικὸν τοῦ Ἐμπεδοκλέους, τοῦ Πλάτωνος καὶ τοῦ Πλουτάρχου, διατετυπωμένον μάλιστα ἀκριβῶς, ὡς εὕρηται αὐτὸ παρὰ Lotze, ὑπό τε τοῦ Διογένους τοῦ Ἀπολλωνιάτου καὶ τοῦ Πρόκλου.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 588, 6, 4 : Οὕτως δ' ἐκ τῶν ἀψύχων εἰς τὰ ζῶα μεταβαίνει κατὰ μικρὸν ἡ φύσις ὥστε τῇ συνεχείᾳ λανθάνειν τὸ μεθόριον αὐτῶν καὶ τὸ μέσον ποτέρων ἐστίν· μετὰ γὰρ τὸ τῶν ἀψύχων γένος τὸ τῶν φυτῶν πρῶτόν ἐστιν· καὶ τούτων ἕτερον πρὸς ἕτερον διαφέρει τῷ μᾶλλον δοκεῖν μετέχειν ζωῆς, ὅλον δὲ τὸ γένος πρὸς μὲν τἆλλα σώματα φαίνεται σχεδὸν ὥσπερ ἔμψυχον, πρὸς δὲ τὸ τῶν ζώων ἄψυχον· ἡ δὲ μετάβασις ἐξ αὐτῶν εἰς τὰ ζῶα συνεχής ἐστιν . . ἀεὶ δὲ κατὰ μικρὰν διαφορὰν ἕτερα πρὸ ἑτέρων ἤδη φαίνεται μᾶλλον ζωὴν ἔχοντα καὶ κίνησιν. *Αὐτόθ.* περὶ ζώων μορίων 681, α, 12. Ἡ γὰρ φύσις μεταβαίνει συνεχῶς ἀπὸ τῶν ἀψύχων εἰς τὰ ζῶα διὰ τῶν ζώων μὲν οὐκ ὄντων δὲ ζώων, ὥστε δοκεῖν πάμπαν μικρὸν διαφέρειν θατέρου θάτερον τῷ σύνεγγυς ἀλλήλοις — (Αὐτόθι δὲ ἐν σελ. 686, 6, 25-687, α, 5 φέρεται καὶ ἡ αἰτία «δι' ἣν τὰ μὲν δίποδα, τὰ δ' ἄποδα τῶν ζῴων ἐστίν» καὶ δι' ἣν «τὰ μὲν φυτὰ τὰ δὲ ζῷα γέγονε καὶ διότι μόνον ὀρθὸν ἐστι τῶν ζῴων ὁ ἄνθρωπος»). *Αὐτόθ.* περὶ πορείας ζῴων 706, α, 19 : Ὁ ἄνθρωπος τὸ κατὰ φύσιν ἔχει μάλιστα — *Αὐτόθ.* περὶ τὰ ζῶα ἱστοριῶν 608, 6, 6: Ὁ ἄνθρωπος ἔχει τὴν φύσιν ἀποτετελεσμένην. Πρβλ. καὶ Θεμίστιον ἐν παραφράσει τῶν περὶ ψυχῆς Ἀριστοτέλους, 1, 1. ἔκδ. Spengel, τόμ. 2, σελ. 2, στίχ. 23. Αὐτόθ. 2, 1, σελ. 76, στίχ. 25. Τὰ αὐτὰ καὶ οἱ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις σοφοὶ δοξάζουσιν. Ὁ Ulrici ἐν τῷ περισπουδάστῳ αὐτοῦ συγγράμματι Gott und die Natur (ἔκδ. Leipzig 1875) μακρὸν λόγον περὶ τούτου ποιεῖται ἀποκορυφούμενον (σελ. 722) ἐν τούτοις: Sonach ist es denkbar, dass in und mit der Entwickelung der Welt die verschiedenen Reiche der Natur, auch die organischen, lebendigen, beseelten Geschöpfe und somit die ganze Reihenfolge der Geschöpfe vom Silicat bis zum Menschen, aus den ursprünglichen Kräften und Kraftcentren sich hervorgebildet haben. Die Naturwissenschaft nimmt diesen spontanen Entwickelungsprocess der Welt, diese Selbstentwickelung des Silicats zum Menschen an.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μέχρι τοῦ ἀνθρώπου, τοῦ ἐν τοῖς θνητοῖς τούτου Θεοῦ 1).

Ὁ δὲ νοῦς τὸ τιμιώτατον τοῦτο 2) καὶ λεπτότατον καὶ καθαρώτατον καὶ ἰσχυρότατον καὶ κυριώτατον καὶ κράτιστον 3) καὶ τελεσφορώτατον καὶ ἀπαθέστατον καὶ θειότατον πάντων τῶν ἐγκοσμίων φαινομένων 4)· ὁ νοῦς ὁ βασιλεὺς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὁ τὰ ξύμπαντα ἐπιτροπεύων καὶ συντάττων καὶ διακυβερνῶν, ὁ κοσμῶν καὶ συντάττων ἐνιαυτοὺς καὶ ὥρας καὶ μῆνας 5), ὁ ἐν τῇ

1) Ἀριστοτέλης, ἀποσπ. 49, σελ. 1483, 6, 14: Ut ad cursum equum, ad arandum bovem, ad indagandum canem, sic hominem ad duas res, ut ait Aristoteles, ad intelligendum et agendum *esse natum quasi mortalem deum.*

2) *Πλάτων*, Φίληβος 59 D: Νοῦς ἐστι καὶ φρόνησις, ἃ γ' ἄν τις τιμήσειε μάλιστα ὀνόματα. — *Ἀριστοτέλης*, Ἠθικὰ Νικομάχεια 1177, 6, 30 καὶ ἑξ: Ὁ νοῦς.. δυνάμει καὶ τιμιότητι πολὺ μᾶλλον πάντη ὑπερέχει. Ῥητορικὴ 1411, 6, 12: Τὸν νοῦν ὁ Θεὸς φῶς ἀνῆψεν ἐν τῇ ψυχῇ. Ἠθικὰ Νικομάχεια 1096, 6, 28: Ὡς ἐν σώματι ὄψις ἐν ψυχῇ νοῦς — Τὰ αὐτὰ καὶ Πλάτων, Φιλήβος 59 D. 28 C. Τίμαιος 30 A. 47 B. Νόμοι 631 C. 688 B. 892 B. 961 D. 965 A. — *Ἀριστοτέλης*, Τοπικὰ 188, α, 11. Πολιτικὰ 1334, 6, 14. Μετὰ τὰ φυσικὰ 1074, 6, 30.

3) *Ἀναξαγόρας*, ἀποσπ. 6, Mullach τόμ. 1, σελ. 249: Νόος ἐστι ἄπειρον καὶ αὐτοκρατές.. λεπτότατον πάντων χρημάτων καὶ καθαρώτατον.. ἰσχύει μέγιστον.. πάντων κρατεῖ. — *Ἀριστοτέλης*, Ἠθικὰ Νικομάχεια 1177, 6, 30: Θεῖον ὁ νοῦς πρὸς τὸν ἄνθρωπον.. εἰ γὰρ καὶ τῷ ὄγκῳ μικρόν ἐστιν, δυνάμει καὶ τιμιότητι πολὺ μᾶλλον πάντων ὑπερέχει. Περὶ ψυχῆς 410, 6, 11: Κυριώτατον τὸ συνέχον ὅτι ποτ' ἐστίν· τῆς δὲ ψυχῆς εἶναί τι κρεῖττον καὶ ἄρχον ἀδύνατον· ἀδυνατώτερον δ' ἔτι τοῦ νοῦ· εὔλογον γὰρ τοῦτον εἶναι προγενέστατον καὶ κύριον κατὰ φύσιν. — *Ἀριστοτέλης*, Μετὰ τὰ φυσικὰ 1074, 6, 34: Νοῦς ἐστι τὸ κράτιστον· πρβλ. καὶ Ἠθικὰ Νικομάχεια 1177. α, 19-20.

4) *Ἀναξαγόρας*, ἀπ. 7, Mullach, τόμ. 1, σελ. 249: Ἐπεὶ ἤρξατο ὁ νόος κινέειν, ἀπὸ τοῦ κινεουμένου παντὸς ἀπεκρίνετο, καὶ ὅσον ἐκίνησεν ὁ νόος· πᾶν τοῦτο διεκρίθη, κινεομένων δὲ καὶ διακρινομένων ἡ περιχώρησις πολλῷ μᾶλλον ἐποίει διακρίνεσθαι. — *Αὐτόθ.* ἀπ. 6: Νόος δὲ ἐστι.. αὐτοκρατὲς καὶ μέμικται οὐδενὶ χρήματι, ἀλλὰ μοῦνος αὐτὸς ἐφ' ἑωυτοῦ ἐστι.. παντάπασι δ' οὐδὲν ἀποκρίνεται οὐδὲ διακρίνεται τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου πλὴν νόου. Νόος δὲ πᾶς ὅμοιός ἐστιν καὶ ὁ μείζων καὶ ὁ ἐλάσσων. — *Ἀριστοτέλης*, περὶ ψυχῆς 408, β, 29: Ὁ νοῦς ἴσως θειότερόν τι καὶ ἀπαθές ἐστιν. Μετὰ τὰ φυσικὰ 1074, 6, 15: Ὁ νοῦς.. δοκεῖ εἶναι τῶν φαινομένων τὸ θειότατον. Ἴδ. καὶ Πλάτωνος Νόμους 631 C. 897 B. Ἀλκιβιάδην 133 C. — Περὶ ζῴων γενέσεως 736 α, 28. 737 α, 10. 744 6, 21. Ἠθικὰ Νικομάχ. 1177 α, 15 καὶ 6, 30.

5) Πλάτων, Φίληβος 28 C: Πάντες γὰρ συμφωνοῦσιν οἱ σοφοί.. ὡς νοῦς ἐστι βασιλεὺς ἡμῶν οὐρανοῦ τε καὶ γῆς. καὶ ἴσως εὖ λέγουσιν. *Αὐτόθ.* 28 D: Πότερον, ὦ Πρώταρχε, τὰ ξύμπαντα καὶ τόδε τὸ καλούμενον ὅλον ἐπιτροπεύειν φῶμεν τὴν τοῦ ἀλόγου καὶ εἰκῇ δύναμιν καὶ τὸ ὅπῃ ἔτυχεν ἡ τἀναντία, καθάπερ οἱ πρόσθεν ἡμῶν ἔλεγον, νοῦν καὶ φρόνησίν τινα θαυμαστὴν συντάττουσαν διακυβερνᾶν; *Αὐτόθ.* 30 C: Ἔστιν ἃ πολλάκις εἰρήκαμεν, ἄπειρόν τε ἐν τῷ παντὶ πολὺ καὶ πέρας ἱκανὸν καί τις ἐπ' αὐτοῖς αἰτία οὐ φαύλη κοσμοῦσά τε καὶ συντάττουσα ἐνιαυτούς τε καὶ ὥρας καὶ μῆνας, σοφία καὶ νοῦς λεγομένη δικαιότατα — *Ἀναξαγόρας*, ἀπ. 6, Mullach τόμ. 1, σελ. 249:

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τελειοτάτη αὐτοῦ ἐκφάνσει ὡς ποιητικὸς νοῦς ἐκφαινόμενος 1) καὶ ἐν τῇ τελειοτάτῃ αὐτοῦ ἐνεργείᾳ ὡς αὐτὸς ἑαυτὸν νοῶν ὑφιστάμενος 2) διήκει δι' ἁπάσης τῆς φύσεως 3) πολλαχῶς καὶ πολυμόρ-

Καὶ ὁκοῖα ἔμελλε ἐσεσθαι καὶ ὁκοῖα ἦν καὶ ἄσσα νῦν ἐστι καὶ ὁκοῖα ἔσται πάντα διεκόσμησε νόος, καὶ τὴν περιχώρησεν ταύτην, ἣν νῦν περιχωρέει τά τε ἄστρα καὶ ὁ ἠέλιος καὶ ἡ σελήνη καὶ ὁ ἀὴρ καὶ ὁ αἰθήρ, οἱ ἀποκρινόμενοι. — Τὰ αὐτὰ καὶ ὁ *Πλάτων* ἐν Νόμοις 875 C. 962 B. 963 A καὶ ὁ *Ἀριστοτέλης* ἐν Ἠθικοῖς Νικομαχείοις 1177, α, 13.

1) *Θεμίστιος*, Παράφρασις τῶν περὶ ψυχῆς Ἀριστοτέλους 3, 5, ἔκδ. Spengel, τόμ. 2, σελ. 185, στίχ. 27: Ἔσχατον δὲ καὶ ἀκρότατον τῶν εἰδῶν ὁ ποιητικὸς οὗτος νοῦς, καὶ ἄχρι τούτου προελθοῦσα ἡ φύσις ἀπεπαύσατο ὡς μηδὲν ἔχουσα ἕτερον τιμιώτερον, ὅτῳ ἂν αὐτὸν ἐποίησεν ὑποκείμενον.

2) *Ἀριστοτέλης*, Μετὰ τὰ φυσικὰ 1074, 6, 21. 33 καὶ ἑξ: Εἴτε νοῦς ἡ οὐσία αὐτοῦ τοῦ θειοτάτου τῶν φαινομένων τοῦ νοῦ — εἴτε νόησις ἐστι, τί νοεῖ; ἢ γὰρ αὐτὸν ἢ ἕτερόν τι.. αὐτὸν νοεῖ, εἴπερ ἐστὶ τὸ κράτιστον καὶ ἔστιν ἡ νόησις νοήσεως νόησις. *Αὐτόθ.* ἀπόσπ. 46, σελ. 1483, α, 27: Ὁ θεὸς ἢ νοῦς ἐστιν ἢ ἐπέκεινά τι τοῦ νοῦ — Ἀπόσπ. 187, σελ. 1511, α, 43: Τοῦ λογικοῦ ζῴου τὸ μὲν ἐστι θεός, τὸ δ' ἄνθρωπος, τὸ δὲ οἷον Πυθαγόρας. — Μετὰ τὰ φυσικὰ 1072, 6, 18: Ἡ δὲ νόησις ἡ καθ' αὑτὴν τοῦ καθ' αὑτό ἀρίστου, καὶ ἡ μάλιστα τοῦ μάλιστα. αὑτὸν δὲ νοεῖ ὁ νοῦς κατὰ μετάληψιν τοῦ νοητοῦ· νοητὸς γὰρ γίγνεται θιγγάνων καὶ νοῶν· ὥστε ταὐτὸν νοῦς καὶ νοητόν· τὸ γὰρ δεκτικὸν τοῦ νοητοῦ καὶ τῆς οὐσίας νοῦς. ἐνεργεῖ δὲ ἔχων. ὥστ' ἐκεῖνο μᾶλλον τούτου ὃ δοκεῖ ὁ νοῦς θεῖον ἔχειν, καὶ ἡ θεωρία τὸ ἡδιστον καὶ ἄριστον. Εἰ οὖν οὕτως εὖ ἔχει, ὡς ἡμεῖς ποτε ὁ θεὸς ἀεί, θαυμαστόν· εἰ δὲ μᾶλλον, θαυμαστότερον· ἔχει δὲ ὠδί. Καὶ ζωὴ δέ γε ὑπάρχει· ἡ γὰρ νοῦ ἐνέργεια ζωή, ἐκεῖνος δὲ ἡ ἐνέργεια. Ἐνέργεια δὲ ἡ καθ' αὑτὴν ἐκείνου ζωὴ ἀρίστη καὶ ἀΐδιος· φαμὲν δὲ τὸν θεὸν εἶναι ζῶον ἀΐδιον ἄριστον, ὥστε ζωὴ καὶ αἰὼν συνεχὴς καὶ ἀΐδιος ὑπάρχει τῷ θεῷ· τοῦτο γὰρ ὁ θεός. — Ἠθικὰ Εὐδήμ. 1245, 6, 16: Οὐ γὰρ οὕτως ὁ θεὸς εὖ ἔχει, ἀλλὰ βέλτιον ἢ ὥστε ἄλλο τι νοεῖν παρὰ αὐτὸς αὑτόν· αἴτιον δ' ὅτι.. ἐκείνῳ αὐτὸς αὐτοῦ τὸ εὖ ἐστιν. *Θεμίστιος*. Παράφρασις τῶν περὶ ψυχῆς Ἀριστοτέλους 3, 7, ἔκδ. Spengel τόμ. 2, σελ. 211, στίχ. 15: Ἔχει ὁ ἐν τοῖς ἀνθρώποις νοῦς — δύναμιν — τοῦ νοεῖν καὶ τὰ ἄϋλα παντελῶς.. ἡ γὰρ ἐλάττωσις αὐτῷ πρὸς τὸν θεῖον νοῦν οὐχ ὅτι μηδέποτε δύναται νοεῖν τὰ ἄϋλα εἴδη, ἀλλ' ὅτι μὴ συνεχῶς καὶ *ἀεί*. Πρβλ. καὶ *Πλωτῖνον* ἐν Ἐννεάδι 3, λόγῳ 8, κεφαλ. 7, ἔκδ. Dübner, σελ. 186 καὶ *Θεμίστιον* ἐν παραφράσει τῶν περὶ ψυχῆς Ἀριστοτέλους 3, 4, ἔκδ. Spengel, τόμ. 2, σελ. 175, στ. 24. καὶ σελ. 176, στίχ. 14.

3) *Ἐμπεδοκλῆς*, Ἔπη, στίχ. 298 καὶ 271, Mullach τόμ. 1, σελ. 8 καὶ 9: Πάντα γὰρ ἴσθι φρόνησιν ἔχειν καὶ νώματος αἶσαν.. τῇδε μὲν οὖν ἰότητι τύχης πεφρόνηκεν ἅπαντα. — *Ἀναξαγόρας*, ἀπ. 6, Mullach τόμ. 1, σελ. 249: Ὅσα τε ψυχὴν ἔχει καὶ τὰ μέζω καὶ τὰ ἐλάσσω, πάντων νόος κρατέει· καὶ τῆς περιχωρήσιος τῆς συμπάσης νόος ἐκράτησε, ὥστε περιχωρῆσαι τὴν ἀρχήν. καὶ πρῶτον ἀπὸ τοῦ σμικροῦ ἤρξατο περιχωρῆσαι, ἔπειτα πλέον περιχώρεε, καὶ περιεχωρήσει ἐπὶ πλέον. — *Ἀριστοτέλης*, περὶ ψυχῆς 411, α, 7: Καὶ ἐν τῷ ὅλῳ δέ τινες αὐτὴν — τὴν ψυχὴν — μεμῖχθαί φασιν, ὅθεν ἴσως καὶ Θαλῆς ᾠήθη πάντα πλήρη θεῶν — *Θεόφραστος*, περὶ αἰσθήσεως καὶ αἰσθητῶν, ἀπόσπ. 1, κεφ. 1: Παρμενίδης φησὶν καὶ ὅλως πᾶν τὸ ὂν ἔχειν τινὰ γνῶσιν. *Αὐτόθ.* ἀπ. 46, κεφ. 9: Διογένης οὔτε τὴν αἴσθησιν οὔτε τὴν φρόνησιν ἴδιον ποιεῖ τῶν ἐμψύχων. — *Σέξτος ὁ Ἐμπειρικός*, πρὸς Φυσικοὺς Α, 127 καὶ 130, ἔκδ. Bekker,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φως ἐν τοῖς διαφόροις γένεσι καὶ εἴδεσι τῶν ὄντων ἐκφαινόμενος, ἀτελέστερον ἐν τοῖς ἀτελεστέροις, τελειότερον ἐν τοῖς τελειοτέροις, τελειότατα ἐν τοῖς τελειοτάτοις 1)· ὡς ἑλκτικὴ καὶ συνεκτικὴ

σελ. 419: Ἓν γὰρ ὑπάρχει πνεῦμα τὸ διὰ παντὸς τοῦ κόσμου διῆκον ψυχῆς τρόπον καὶ διὰ τῶν λίθων καὶ διὰ τῶν φυτῶν πεφοίτηκέ τι πνεῦμα, — *Ἀρριανός*, Ἐπικτήτου διατριβ. 1, 9, 4: Ὁ τοίνυν τῇ διοικήσει τοῦ κόσμου παρηκολουθηκώς, καὶ μεμαθηκὼς ὅτι τὸ μέγιστον καὶ κυριώτατον καὶ περιεκτικώτατον πάντων τοῦτό ἐστι τὸ σύστημα τὸ ἐξ ἀνθρώπων καὶ θεοῦ, ἀπ' ἐκείνου δὲ τὰ σπέρματα καταπέπτωκεν οὐκ εἰς τὸν πατέρα τὸν ἐμὸν μόνον, οὐδ' εἰς τὸν πάππον, ἀλλ' εἰς ἅπαντα μὲν τὰ ἐπὶ γῆς γεννώμενά τε καὶ φυόμενα, προηγουμένως δ' εἰς τὰ λογικά. — *Πλάτων*, Τίμαιος 30 A. B: Βουληθεὶς ὁ θεὸς ἀγαθὰ μὲν πάντα φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν . . νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι ξυνιστὰς τὸ πᾶν ξυνετεκταίνετο, ὅπως ὅ,τι κάλλιστον εἴη κατὰ φύσιν ἄριστόν τε ἔργον ἀπειργασμένος. Οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα δεῖ λέγειν τόνδε τὸν κόσμον ζῶον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι πρόνοιαν. — Ἴδε καὶ *Παρμενίδην* ἐν ἐπέων λειψάνοις στίχ. 40, ἔκδ. Mullach τόμ. 1, σελ. 118. — *Πυθαγόραν* παρὰ Διογέν. τῷ Λαερτίῳ 8, α, 27 καὶ 28. *Πλάτωνα* ἐν Νόμ. 896 D. 897 B. 966 D. *Ἀριστοτέλην* ἐν τῷ περὶ ζώων γενέσεως σελ. 762, α, 21. *Πορφύριον* ἐν τῷ περὶ ἀποχ. κτλ. 4, 9. *Σέξτον τὸν Ἐμπειρ.* ἐν τῷ πρὸς Λογικοὺς B, 281, ἔκδ. Bekker σελ. 350. *Θεμίστιον* ἐν τῇ παραφράσει τῶν περὶ ψυχῆς Ἀριστοτέλους 1, 5, ἔκδ. Spengel τόμ. 2, σελ. 64, στίχ. 17. *Αὐτόθ.* 1, 2, σελ. 25, στίχ. 13. Ἰδίως δὲ περὶ τῶν ἐπὶ τοῦ ζητήματος τούτου γνωμῶν τοῦ Ἐμπεδοκλέους, τοῦ Ἡρακλείτου, τοῦ Ἀναξαγόρου, τοῦ Θαλοῦ, τοῦ Πλάτωνος, τοῦ Ζήνωνος καὶ τῶν ἀπ' αὐτοῦ ἴδ. Θεμίστιον, ἔνθ. ἀν. 1, 5, ἀπὸ σελ. 63, στίχ. 23 — σελ. 64, στίχ. 20. Ἔτι καὶ Μάρκον Ἀντωνῖνον τῶν εἰς ἑαυτὸν 12, 26.

1) Θεμίστιος, Παράφρασις τῶν περὶ ψυχῆς Ἀριστοτέλους 3, 8 ἔκδ. Spengel, τόμ. 2, σελ. 212, στίχ. 23: Ψυχή . . ἐστιν ἡ τὴν ὕλην μορφοῦσα ποικίλαις μορφαῖς· ἡ γὰρ ζωὴ παρὰ ταύτης ἡ πολὺ τῆς ὕλης τρανεστέρα μὲν ἐπὶ τῶν ζώων, ἀμυδροτέρα δὲ ἐπὶ τῶν φυτῶν καὶ τῶν στοιχείων. — *Μάρκος Ἀντωνῖνος*, Τῶν εἰς ἑαυτὸν 12, 30: Ἓν φῶς ἡλίου, κἂν διείργηται τοίχοις, ὄρεσιν, ἄλλοις μυρίοις. Μία οὐσία κοινή, κἂν διείργηται ἰδίως ποιοῖς σώμασι μυρίοις. Μία ψυχή, κἂν φύσεσι διείργηται μυρίαις καὶ ἰδίαις περιγραφαῖς. Μία νοερὰ ψυχή, κἂν διακεκρίσθαι δοκῇ . . (πάντα) *τὸ νοοῦν συνέχει* καὶ τὸ ἐπὶ τὰ αὐτὰ βρῖθον. — *Πλάτων*, Νόμοι 896 E: Ἄγει μὲν δὴ ψυχὴ πάντα τὰ κατ' οὐρανὸν καὶ γῆν καὶ θάλατταν ταῖς αὑτῆς κινήσεσιν, αἷς ὀνόματά ἐστι βούλεσθαι, σκοπεῖσθαι, ἐπιμελεῖσθαι, βουλεύεσθαι, δοξάζειν ὀρθῶς, ἐψευσμένως, χαίρουσαν, λυπουμένην, θαρροῦσαν, φοβουμένην, μισοῦσαν, στέργουσαν, καὶ πάσαις ὅσαις τούτων ξυγγενεῖς ἡ πρωτουργοὶ κινήσεις τὰς δευτερουργοὺς αὖ παραλαμβάνουσαι κινήσεις σωμάτων ἄγουσι πάντα εἰς αὔξησιν καὶ φθίσιν καὶ διάκρισιν καὶ σύγκρισιν καὶ τούτοις ἑπομένας θερμότητας, ψύξεις, βαρύτητας, κουφότητας, σκληρὸν καὶ μαλακόν, λευκὸν καὶ μέλαν, αὐστηρὸν καὶ γλυκύ, καὶ πᾶσιν οἷς ψυχὴ χρωμένη, νοῦν μὲν προσλαβοῦσα ἀεὶ θεῖον ὀρθῶς θέουσα, ὀρθὰ καὶ εὐδαίμονα παιδαγωγεῖ πάντα, ἀνοίᾳ δὲ ξυγγενομένη πάντα αὖ τἀναντία τούτοις ἀπεργάζεται — *Ἀριστοτέλης*, περὶ ζώων γενέσεως 762, α, 21: Πάντα ψυχῆς πλήρη· διὸ συνίστηται ταχέως, ὁπόταν ἐμπεριληφθῇ . . αἱ διαφοραὶ τοῦ τιμιώτερον εἶναι τὸ γένος καὶ ἀτιμότερον τὸ συνιστάμενον ἐν τῇ περιλήψει τῆς ἀρχῆς τῆς ψυχικῆς ἐστιν. Πρβλ. καὶ αὐτόθ. 736, 6, 31. *Θεμίστιον*, ἔνθ. ἀν. 1, 3. 5, ἔκδ. Spengel τόμ. 2, σελ. 43, 21. 59, 17.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δύναμις δηλ. ἐν τοῖς λίθοις 1), ὡς θρεπτικὴ καὶ αὐξητικὴ καὶ γεννητικὴ δύναμις ἐν τοῖς φυτοῖς 2), ὡς κινητικὴ καὶ αἰσθητικὴ καὶ δια-

1) *Ἀριστοτέλης*, περὶ ψυχῆς 405 α, 19: Θαλῆς τὸν λίθον ἔφη ψυχὴν ἔχειν ὅτι τὸν σίδηρον κινεῖ. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 4, 20: Ὁ δὲ μάγνης λίθος σιδήρῳ ψυχὴν δίδωσι πλησίον γενομένῳ καὶ ὁ βαρύτατος ἀνακουφίζεται λίθος πνεύματι προσανατρέχων λίθου.. οὕτως γὰρ καὶ λίθου τροφὴν τὸ αἴτιον τοῦ συμμένειν εἴποις ἂν καὶ τοῦ ἐκτικῶς διαμένειν. — *Αἰλιανός*, περὶ ζώων 10, 14: Ἄδουσι τὸν Ἡρακλεώτην λίθον καταγοητεύειν πως τὸν σίδηρον. — *Θεόφραστος*, περὶ λίθων, ἀπ. 2, 4, κεφ. 1: Λίθοι.. ἔνιοι τοῖς χρώμασιν ἐξομοιοῦν λέγονται δυνάμενοι τὸ ὕδωρ ὥσπερ ἡ σμάραγδος, οἱ δ' ὅλως ἀπολιθοῦν τὰ τιθέμενα εἰς ἑαυτούς, ἕτεροι δὲ ὁλκήν τινα ποιεῖν, οἱ δὲ βασανίζειν τὸν χρυσὸν καὶ τὸν ἄργυρον ὥσπερ ἥτε καλουμένη λίθος ἡρακλεία καὶ λυδία. *Αὐτόθ.* 28 καὶ 29. κεφ. 5: Τὸ λυγγούριον.. ἕλκει ὥσπερ τὸ ἤλεκτρον· οἱ δέ φασιν οὐ μόνον κάρφη καὶ ξύλον (φύλλα) ἀλλὰ καὶ χαλκὸν καὶ σίδηρον ἐὰν ᾖ λεπτός καὶ τὸ ἤλεκτρον λίθος.. καὶ τούτῳ ἂν ἡ τοῦ ἕλκειν δύναμις ἀκολουθοίη. *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 2, 6, ἔκδ. Potter σελ. 442 καὶ 443: Καὶ γὰρ τὰ κάρφη τὰ ξηρά, ἕτοιμα ὄντα καταδέχεσθαι τὴν δύναμιν τὴν καυστικήν, ῥᾷον ἐξάπτεται καὶ ἡ λίθος ἡ θρυλλουμένη ἕλκει τὸν σίδηρον διὰ συγγένειαν· ὥσπερ καὶ τὸ δάκρυον τὸ σούχειον ἐπισπᾶται τὰ κάρφη, καὶ τὸ ἤλεκτρον τὰς ἀχυρμιὰς ἀνακινεῖ. πείθεται δὲ αὐτοῖς τὰ ἑλκόμενα ἀρρήτῳ πνεύματι, οὐχ ὡς αἴτια, ἀλλ' ὡς συναίτια.—*Πλούταρχος*, Συμποσιακὰ προβλήματα 641 C: Τὸ ἤλεκτρον πάντα κινεῖ καὶ προσάγεται τὰ κοῦφα, πλὴν ὠκίμου καὶ τῶν ἐλαίῳ βρεχομένων· ἡ δὲ σιδηρῖτις λίθος οὐκ ἄγει τὸν σίδηρον, ἂν σκορόδῳ χρισθῇ. Πλατωνικὰ ζητήματα 1005 B: Ἡ μὲν λίθος.. ἀσυνεφέλκεται τὸν σίδηρον, τὸ δ' ἤλεκτρον.. ἐφέλκεται τῶν πλησίον τὰ κουφότατα καὶ ξηρότατα διὰ λεπτότητα καὶ ἀσθένειαν. — *Γαληνός*, περὶ στοιχείων 6'. Φυσικὴ γάρ τις ἐστι δύναμις ἑλκτικὴ τῶν οἰκείων ἑκάστῳ τῶν ὄντων, ὥσπερ ἐν τῇ λίθῳ τῇ Ἡρακλείᾳ τοῦ σιδήρου. — Πρβλ. καὶ Θεμίστιον ἐν παραφράσει τῶν περὶ ψυχῆς Ἀριστοτέλους 1, 2, ἔκδ. Spengel τόμ. 2, σελ. 24, στίχ. 6.

2) Ἀριστοτέλης, περὶ ψυχῆς 413, 6, 7: Θρεπτικὸν δὲ λέγομεν τὸ τοιοῦτον μόριον τῆς ψυχῆς οὗ καὶ τὰ φυτὰ μετέχει. — Περὶ ζώων γενέσεως 741, α, 24: Ψυχή.. ἡ θρεπτική· αὕτη γὰρ ὑπάρχει πᾶσιν ὁμοίως ζώοις τε καὶ φυτοῖς. — Περὶ ζώων μορίων 641, 6, 4: — Οὐκ ἔστι πᾶσα ἡ ψυχὴ κινήσεως ἀρχή, οὐδὲ τὰ μόρια ἅπαντα· ἀλλ' αὐξήσεως μέν, ὅπερ καὶ ἐν τοῖς φυτοῖς κτλ. Περὶ τὰ ζῶα ἱστοριῶν 589 6, 24: Τῶν φυτῶν ἔργον οὐδὲν ἄλλο φαίνεται πλὴν οἷον τὸ αὐτὸ ποιῆσαι πάλιν ἕτερον ὅσα γίνεται διὰ σπέρματος. — *Πλάτων*, Τίμαιος 77 A: Ἕτερον ζῶον.. φυτεύουσιν οἱ θεοὶ δένδρα καὶ φυτὰ καὶ σπέρματα.. μετέχει μὲν τοῦτο τοῦ τρίτου ψυχῆς εἴδους.. ᾧ δόξης μὲν λογισμοῦ τε καὶ νοῦ μέτεστι τὸ μηδέν, αἰσθήσεως δὲ ἡδείας καὶ ἀλγεινῆς μετὰ ἐπιθυμιῶν· πάσχον γὰρ διατελεῖ πάντα. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 8, 4, ἔκδ. Potter, σελ. 909: Πλάτων καὶ τὰ φυτὰ ζῶα καλεῖ, τοῦ τρίτου τῆς ψυχῆς εἴδους τοῦ ἐπιθυμητικοῦ μόνου μετέχοντα. Ἀριστοτέλης δὲ τῆς φυσικῆς τε καὶ θρεπτικῆς ψυχῆς μετέχειν οἴεται τὰ φυτά, ζῶα γὰρ ἤδη προσαγορεύειν οὐκ ἀξιοῖ.. οὐ μὴν οἵ γε Στωϊκοὶ τὴν φυτικὴν δύναμιν ἤδη ψυχὴν ὀνομάζουσιν.. κατὰ μὲν γὰρ Πλάτωνα, τὸ φυτὸν ἔμψυχόν τε καὶ ζῶον, κατὰ δὲ Ἀριστοτέλην, ζῶον μὲν οὔπω.. ἔμψυχον δὲ ἤδη.. κατὰ δὲ τοὺς Στωϊκούς, οὔτε ζῶον οὔτε ἔμψυχόν ἐστι τὸ φυτόν. — *Συμπλίκιος*, Ἐξήγ. εἰς τὸ Ἐπικτήτου ἐγχειρίδ. κεφ. 27, ἔκδ. Dübner σελ. 77, στίχ. 35: Αἱ δὲ τῶν ἀλόγων ψυχαί, μέσαι οὖσαι τῶν τε ἀνθρωπίνων καὶ τῶν ἐν φυτοῖς κατερριζωμένων ψυχῶν κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νοητικὴ καὶ συναισθητικὴ καὶ ἐπιθυμητικὴ καὶ ὀρεκτικὴ δύναμις ἐν τοῖς ζώοις, ὡς λογικὴ καὶ νοητικὴ καὶ βουλητικὴ δύναμις ἐν τοῖς ἀνθρώποις 1), συνεχῶς μὲν καὶ κατὰ μικρὰς παραλλαγὰς ἀείποτε ἀπὸ τῆς ἑλκτικῆς καὶ συνεκτικῆς δυνάμεως τῶν λίθων καὶ τῶν μετάλλων μέχρι τῆς νοητικῆς δυνάμεως καὶ τῆς αὐτοσυνειδησίας τῶν λογικῶν ὄντων ἀνυψούμενος 2) ὑπεμφαίνων δὲ ἐν ἑκάστῃ μὲν τῶν ἀτελεστέρων

— *Ἀριστοτέλης*, περὶ φυτῶν 815, 6, 17: Ὁ δὲ Ἀναξαγόρας καὶ ὁ Δημόκριτος καὶ ὁ Ἐμπεδοκλῆς καὶ νοῦν καὶ γνῶσιν εἶπον ἔχειν τὰ φυτά. — Περὶ τῆς ψυχῆς τῶν φυτῶν ἴδε ἔτ. *Ἀριστοτέλην* περὶ ψυχῆς 411, 6, 27. — *Σέξτον τὸν Ἐμπειρικὸν* πρὸς Λογικοὺς Β, 286, ἔκδ. Bekker, σελ. 350. — *Παρφύριον* περὶ ἀποχ. κτλ 1, 18. 1, 16. — *Πλωτῖνον* ἐν Ἐννεάσιν 6, 6, 11 καὶ 6, 9, 3. — *Γαληνὸν* περὶ τῶν καθ' Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων, ἔκδ. Kühn τόμ. 5, σελ. 522 καὶ 793, ἔκδ. Müller τόμ. 1, σελ. 509 καὶ 804. — *Πυθαγόραν* ἐν Φωτίου βιβλιοθήκῃ ἀριθ. 249, ἔκδ. Bekker σελ. 440, α, 33 καὶ ἑξ. — *θεμίστιον*, ἔνθ. ἀν. 1, 5 (ἔκδ. Spengel τόμ. 2, σελ. 69, στίχ. 24. 2, 2, σελ. 81, στ. 7. σελ. 82, στίχ. 8). — Τῶν καθ' ἡμᾶς σοφῶν αἱ περὶ τῆς ψυχῆς τῶν φυτῶν θεωρίαι (ἴδ. Hermann Lotze, Vorlesungen: Die Psychologie § 97, σελ. 86. Ulrici, Gott und die Natur, σελ. 721.— Fechner, Nanna, oder über das Seelenleben der Pflanzen, Leipzig 1848) εἶνε εἰλημμέναι καὶ ἐξ ἄλλων μὲν συγγραμμάτων τῶν ἀρχαίων, ἀλλ' ἰδίως ἐκ τῶν φυσιογνωστικῶν καὶ ψυχολογικῶν συγγραμμάτων τοῦ Ἀριστοτέλους καὶ ἰδιαίτατα ἐκ τοῦ περὶ φυτῶν συγγραμματίου αὐτοῦ (σελ. 815-830 τῆς ἐν Βερολίνῳ ἐκδόσεως).

1) *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 2, 20 ἔκδ. Migne, σελ. 1056 A: Ἔξεως μὲν οὖν οἱ λίθοι, φύσεως δὲ τὰ φυτά, ὁρμῆς τε καὶ φαντασίας τῶν τε αὖ δυοῖν τῶν προειρημένων καὶ τὰ ἄλογα μετέχει ζῶα. Ἡ λογικὴ δὲ δύναμις, ἰδία.. τῆς ἀνθρωπείας ψυχῆς. — Αἱ ἐν τοῖς συγγράμμασι τῶν ἀρχαίων Ἑλλήνων ὀτὲ μὲν σποραδικῶς ἐγκατεσπαρμέναι, ὁτὲ δὲ καὶ συστηματικῶς ἐκτεθειμέναι περὶ τοῦ ψυχικοῦ βίου τῶν ζώων παρατηρήσεις εἶνε τοιαῦται, ὥστε τὰ περὶ τῶν αὐτῶν ἀντικειμένων ἐν τοῖς συγγράμμασι τῶν καθ' ἡμᾶς ξένων σοφῶν Darvin, Romanes, Büchner, Perty, Schuberth, Wundt, Oppel κτλ. κτλ. ἐκτεθειμένα φαίνονται οἱονεὶ ἐπαναλήψεις αὐτῶν. Μικρὸν κατωτέρω θὰ καταδειχθῶσιν ἀναλυτικώτερον τὰ νῦν ἐπὶ τὸ γενικώτερον ἐνταῦθα λεγόμενα.

2) *Πλωτῖνος*, Ἐννεὰς 3, λόγος 8, κεφ. 7, ἔκδ. Dübner, σελ. 186: Τῆς δὲ θεωρίας ἀναβαινούσης ἐκ τῆς φύσεως ἐπὶ τὴν ψυχήν, καὶ ἀπὸ ταύτης εἰς νοῦν, καὶ ἀεὶ οἰκειοτέρων τῶν θεωριῶν γιγνομένων καὶ ἑνουμένων τοῖς θεωροῦσι, καὶ ἐπὶ τῆς σπουδαίας ψυχῆς πρὸς τὸ αὐτὸ τῷ ὑποκειμένῳ ἰόντων τῶν ἐγνωσμένων, ἅτε εἰς νοῦν σπευδόντων ἐπὶ τούτου δηλονότι ἤδη ἓν ἄμφω, οὐκ οἰκειώσει, ὥσπερ ἐπὶ τῆς ψυχῆς τῆς ἀρίστης, ἀλλ' οὐσίᾳ, καὶ τῷ ταὐτὸν τὸ εἶναι τὸ νοεῖν εἶναι .. δεῖ οὖν τοῦτο ἓν εἶναι ὄντως ἄμφω· τοῦ δ' ἐστὶ θεωρία ζῶσα .. εἰ οὖν ζήσεταί τι θεώρημα καὶ νόημα, δεῖ αὐτὸ ζωὴν εἶναι οὐ φυτικὴν οὐδὲ αἰσθητικήν, οὐδὲ ψυχικὴν τὴν ἄλλην· νοήσεις μὲν γάρ πως καὶ αἱ ἄλλαι· ἀλλ' ἡ μὲν φυτικὴ νόησις, ἡ δὲ αἰσθητική, ἡ δὲ ψυχική. Πῶς οὖν νοήσεις; ὅτι λόγοι, καὶ πᾶσα ζωὴ νόησίς τις, ἀλλὰ ἄλλη ἄλλης ἀμυδροτέρα, ὥσπερ καὶ ζωή· ἡ δὲ ἐναργεστέρα αὕτη καὶ πρώτη ζωή, καὶ πρῶτος νοῦς, εἷς· νόησις οὖν ἡ πρώτη ζωὴ καὶ ζωὴ δευτέρα, νόησις δευτέρα, καὶ ἡ ἐσχάτη ζωή, ἐσχάτη νόησις. Πᾶσα οὖν ζωὴ ἡ τοῦ γένους τούτου καὶ νόησις· ἀλλὰ ζωῆς μὲν ἴσως διαφορὰς τάχα ἂν λέγοιμεν ἄνθρωποι,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτοῦ ἐκφάνσεων σπέρματα καὶ ἴχνη τῶν τελειοτέρων, ἐν ἑκάστῃ δὲ τούτων τοὺς τύπους πάντων τῶν ἀτελεστέρων 1).

Τούτων δ' οὕτως ἐχόντων ὁ ἄνθρωπος, τὸ τελειότατον δημιούργημα τῆς ἐπιγείου πλάσεως, εἶνε συγγενὴς πάντων τῶν ἐν τῷ κόσμῳ.

νοήσεων δ' οὐ λέγουσιν, ἀλλὰ τὰς μέν, τὰς δ' ὅλως οὐ νοήσεις, ὅτι ὅλως τὴν ζωήν, ὅ τι ποτέ ἐστιν οὐ ζητοῦσιν — Πρβλ. καὶ *Πορφύριον* περὶ ἀποχῆς ἐμψύχων 1, 29 — *Ἀριστοτέλην* περὶ τὰ ζῶα ἱστοριῶν 580, α, 18. 612, 6, 18. *Μάξιμον τὸν Τύριον* λόγ. 15, 1-5. Περὶ τῆς μεγίστης ἀξίας τῆς ἄνω ἐκτεθείσης φιλοσοφικῆς γνώμης τοῦ Πλωτίνου περὶ τῶν ἀναβαθμίδων, ἃς ἀνατρέχει τὸ πνεῦμα ἐν τῇ δημιουργίᾳ καὶ περὶ τῆς ὀρθῆς αὐτῆς ἐκδοχῆς ἴδ. τὰ ἐν σελ. 1753 τοῦ 5 τόμου (ἔκδ. 1848) τοῦ Reallexicon τοῦ Pauli, ἐν τῷ περὶ τοῦ Πλωτίνου ἄρθρῳ. Τόσον σπουδαία ὄντως εἶνε ἡ γνώμη αὕτη, ὥστε καὶ μέχρι σήμερον οἱ καθ' ἡμᾶς σοφοὶ αὐταῖς λέξεσι σχεδὸν ἐπαναλαμβάνουσι ταύτην. Ἴδε Ubrici, Gott und die Natur, ἔκδ. 3, 1875, σελ. 715-723. Ἔτι ἐν τῇ γνώμῃ ταύτῃ τοῦ Πλωτίνου ἔχει τὰς ῥίζας αὐτῆς καὶ ἡ περιώνυμος ἐν τῇ ἱστορίᾳ τῆς φιλοσοφίας καταστᾶσα Transscendenthalphilosophie τοῦ *Schelling* (ἴδ. Hermann Lotze, Vorlesungen: Geschichte der deutschen Philosophie seit Kant §. 45 καὶ 46, σελ. 52 καὶ 53 — *Ueberweg*, Grundriss der Geschichte der Philosophie ἔκδ. 5, 1880, τόμ. 3, § 23, σελ. 275-276. — *Wundt*, Vorlesungen über die Menschen und Thierseele 1863, τόμ. 2, σελ. 436-442. τόμ. 1, σελ 24.

1) *Θεμίστιος*, Παράφρασις τῶν περὶ ψυχῆς τοῦ Ἀριστοτέλους 3, 5. ἔκδ. Spengel τόμ. 2, σελ. 195. Οὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων ἡ φύσις ἀφροιμίαστον τὸ τέλος εὐθὺς παραδίδωσιν, ἀλλὰ τὰ καταδεέστερα μὲν συγγενῆ δὲ τῶν τελειοτέρων προτρέχει. *Αὐτόθ.* 3, 1, σελ. 149. Δῆλη δέ ἐστιν ἡ φύσις, ὅτι πανταχοῦ τὰς ἀτελεστέρας δυνάμεις ὁλοκλήρους ταῖς τελειοτέραις προϋποβάλλεται — *Πρόκλος*, εἰς τὸν Πλάτωνος πρῶτον Ἀλκιβιάδην, κεφ. 21 : Καὶ διὰ τοῦτο συμπαθῆ καὶ τὰ ἔσχατα τοῖς πρώτοις ἐστί· τῶν τε γὰρ πρώτων εἰσὶν ἐν τοῖς ἐσχάτοις ἐμφάσεις καὶ τῶν ἐσχάτων ἐν τοῖς πρώτοις τὰ αἴτια προσείληπται. *Αὐτόθ.* Στοιχείωσις θεολογική, κεφ. 140 : Πᾶσαι τῶν θείων αἱ δυνάμεις ἄνωθεν ἀρχόμεναι, καὶ διὰ τῶν οἰκείων προϊοῦσαι μεσοτήτων, μέχρι τῶν ἐσχάτων καθήκουσι, καὶ τῶν περὶ γῆν τόπων· οὔτε γὰρ ἐκείνας διείργει τι καὶ ἀποκωλύει τῆς εἰς πάντα παρουσίας. Ἐὰν οὖν τι τῶν περὶ γῆν ἐπιτήδειον ᾖ μετέχειν, καὶ τούτῳ πάρεισι, καὶ πάντα πεπληρώκασιν ἑαυτῶν καὶ τοῖς μὲν ὑπερτέροις μειζόνως πάρεισι, τοῖς δὲ μέσοις κατὰ τὴν αὐτῶν τάξιν, τοῖς δὲ ἐσχάτοις ἐσχάτως. Ἄνωθεν οὖν μέχρι τῶν τελευταίων ἐκτείνουσιν ἑαυτάς· ὅθεν καὶ ἐν τούτοις εἰσὶν τῶν πρώτων ἐμφάσεις, καὶ συμπαθεῖ πάντα πᾶσιν· ἐν μὲν τοῖς πρώτοις τῶν δευτέρων προϋπαρχόντων, ἐν δὲ τοῖς δευτέροις τῶν πρώτων ἐμφαινομένων. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 2, 20 ἔκδ. Migne, σελ. 1056 B. καὶ ἑξ. Οἱ ἀμφὶ τὸν Βασιλείδην προσαρτήματα τὰ πάθη καλεῖν εἰώθασιν· πνεύματά τινα ταῦτα κατ' οὐσίαν ὑπάρχειν προσηρτημένα τῇ λογικῇ ψυχῇ, κατά τινα τάραχον καὶ σύγχυσιν ἀρχικήν· ἄλλας τε αὖ πνευμάτων νόθους καὶ ἑτερογενεῖς φύσεις προσεπιφύεσθαι ταύταις, οἷον λύκου, πιθήκου, λέοντος, τράγου.. καὶ οὐ μόνον ταῖς ὁρμαῖς καὶ φαντασίαις τῶν ἀλόγων ζώων προσοικειοῦνται, ἀλλὰ καὶ φυτῶν κινήματα καὶ κάλλη ζηλοῦσι, διὰ τὸ καὶ φυτῶν ἰδιώματα προσηρτημένα φέρειν. Ἔχει δὲ καὶ ἕξεως ἰδιώματα, οἷον ἀδάμαντος σκληρίαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Εἶνε συγγενὴς τῶν στοιχείων 1), συγγενὴς τῶν ἄστρων 2), συγγενὴς τῶν φυτῶν 3), συγγενὴς τῶν ζώων 4). Εἶνε ἡ ἑστία, ἐν ᾗ ἐν σμικρῷ συγκεντροῦνται πᾶσαι αἱ ἀκτῖνες τῆς δημιουργίας· πάντα τὰ στοιχεῖα τουτέστιν, ἐξ ὧν συναπαρτίζεται ὁ μέγας κόσμος, πᾶσαι αἱ δυνάμεις,

1) *Ἀρριανός*, Ἐπικτήτου διατριβαί, 3, 13, 14 καὶ ἐξ.: Τὸ ἀνακλητικὸν σημαίνει, τὴν θύραν ἤνοιξε καὶ λέγει σοι, Ἔρχου. Ποῦ; Εἰς οὐδὲν δεινόν, ἀλλ' ὅθεν ἐγένου, εἰς τὰ φίλα καὶ συγγενῆ, εἰς τὰ στοιχεῖα. Ὅσον ἦν ἐν σοὶ πυρός, εἰς πῦρ ἄπεισιν· ὅσον ἦν γηδίου, εἰς γῆδιον· ὅσον πνευματίου, εἰς πνευμάτιον, ὅσον ὑδατίου, εἰς ὑδάτιον.

2) *Πλάτων*, Τίμαιος 47 B: Θεὸν ἡμῖν ἀνευρεῖν δωρήσασθαί τε ὄψιν, ἵνα τὰς ἐν οὐρανῷ κατιδόντες τοῦ νοῦ περιόδους χρησαίμεθα ἐπὶ τὰς περιφορὰς τὰς τῆς παρ' ἡμῖν διανοήσεως, ξυγγενεῖς ἐκείναις οὔσας. — *Πλωτῖνος*, Ἐννεὰς 2, 9, 18: Δεῖ δὲ μένειν μὲν ἐν οἴκοις σῶμα ἔχοντας, κατασκευασθεῖσιν ὑπὸ ψυχῆς ἀδελφῆς ἀγαθῆς, πολλὴν δύναμιν εἰς τὸ δημιουργεῖν ἀπόνως ἐχούσης· ἢ ἀδελφοὺς μὲν καὶ τοὺς φαυλοτάτους ἀξιοῦσι προσενέπειν, *ἥλιον δὲ καὶ τοὺς ἐν τῷ οὐρανῷ ἀπαξιοῦσιν ἀδελφοὺς λέγειν, οὐδὲ τὴν κόσμου ψυχὴν στόματι μαιομένῳ*. Ἴδε καὶ Πλάτων. Ἐπινομ. 981 B καὶ ἐξ.

3) *Πλάτων*, Τίμαιος 77 A: Τῆς ἀνθρωπίνης ξυγγενῆ φύσεως φύσιν ἄλλαις ἰδέαις καὶ αἰσθήσεσι κεραννύντες, ὥσθ' ἕτερον ζῶον εἶναι, φυτεύουσιν (οἱ θεοὶ) . . δένδρα καὶ φυτὰ καὶ σπέρματα. Πᾶν γὰρ οὖν, ὅ τι ἂν μετάσχῃ τοῦ ζῆν, ζῶον μὲν ἂν ἐν δίκῃ λέγοιτο ὀρθότατα· μετέχει γε μὴν τοῦτο, ὃ νῦν λέγομεν, τοῦ τρίτου ψυχῆς εἴδους, ὃ μεταξὺ φρενῶν ὀμφαλοῦ τε ἱδρῦσθαι λόγος, ᾧ δόξης μὲν λογισμοῦ τε καὶ νοῦ μέτεστι τὸ μηδέν, αἰσθήσεως δὲ ἡδείας καὶ ἀλγεινῆς μετὰ ἐπιθυμιῶν. Πάσχον γὰρ διατελεῖ πάντα, στραφέντι δ' αὐτῷ ἐν ἑαυτῷ περὶ ἑαυτό, τὴν μὲν ἔξωθεν ἀπωσαμένῳ κίνησιν, τῇ δ' οἰκείᾳ χρησαμένῳ, τῶν αὐτοῦ τι λογίσασθαι κατιδόντι φύσιν οὐ παραδέδωκεν ἡ γένεσις· διὸ δὴ ζῇ μὲν ἔστι τε οὐχ ἕτερον ζώου, μόνιμον δὲ καὶ κατερριζωμένον πέπηγε διὰ τὸ τῆς ὑφ' ἑαυτοῦ κινήσεως ἐστερῆσθαι. — Ταὐτὰ ταῦτα καὶ οἱ καθ' ἡμᾶς σοφοί. Πρβλ. Lemcke, Popaläre Aesthetik, ἔκδ. 5. σελ. 150: Während wir das Erdreich als Etwas Todtes anzusehen gewohnt sind, begrüssen wir im Pflanzenreich ein uns Aenliches. Daher ist es uns sympathisch κτλ.

4) *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 2, 25: Πάντας δὲ τοὺς ἀνθρώπους ἀλλήλοις φαμὲν οἰκείους τε καὶ συγγενεῖς εἶναι . . καὶ μὴν καὶ πᾶσι τοῖς ζῴοις . . παντάπασιν ἂν οἰκεῖον εἴη καὶ συγγενὲς ἡμῖν τὸ τῶν λοιπῶν ζῴων γένος. — *Σέξτος ὁ Ἐμπειρικός*, πρὸς Φυσικοὺς Α, 127, ἔκδ. Bekker σελ. 419: Οἱ μὲν οὖν περὶ τὸν Πυθαγόραν καὶ τὸν Ἐμπεδοκλέα καὶ Ἰταλῶν πλῆθός φασι μὴ μόνον ἡμῖν πρὸς ἀλλήλους καὶ πρὸς θεοὺς εἶναί τινα κοινωνίαν, ἀλλὰ καὶ πρὸς τὰ ἄλογα τῶν ζώων . . διόπερ καὶ κτείνοντες αὐτὰ καὶ ταῖς σαρξὶ αὐτῶν τρεφόμενοι ἀδικήσομέν τε καὶ ἀσεβήσομεν ὡς συγγενεῖς ἀναιροῦντες. — *Ἐμπεδοκλῆς*, Ἔπη 440 - 447, ἔκδ. Mullach, τόμ. 1, σελ. 13. — *Πλάτων*, Ἐπινομὶς 981 B - 983. Ταὐτὰ ταῦτα καὶ οἱ καθ' ἡμᾶς σοφοί. Πρβλ. Schuberth, Allgemeine Thierseelenkunde 1863, σελ. 320 - 321: «Betrachtet das Thier als ein Wesen, das Euch je nach seiner Art und seinem Grade gleichsteht, das so gut wie ihr von dem evigen Geiste belebt und beseelt wird, liebt und schützt es auf seinen Wegen durch diese Welt. . *Auch das Thier ist unser Nächster*». — Καὶ ὁ Romanes, Die Geistige Entwickelung im Tierreich, Leipzig 1885, σελ. 113: «Sehen wir vom Menschengeschlecht und *seinen nächsten Verwanden* in Thierreich ab» κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δι' ὧν διατηρεῖται, πᾶσαι αἱ ἐνέργειαι, δι' ὧν ἐν χώρῳ καὶ χρόνῳ τὴν ὕπαρξιν αὐτοῦ ἐκφαίνει 1). Εἶνε τὸ κρυσταλῶδες κάτοπτρον, ἐν ᾧ ἀντικατοπτρίζεται ὁ κόσμος σύμπας. Εἶνε Μικρόκοσμος 2).

---

1) *Φιλόλαος*, ἀπόσπ. 19, ἔκδ. Mullach τόμ. 2, σελ. 6: Καὶ τέσσαρες ἀρχαὶ τοῦ ζῴου τοῦ λογικοῦ . . ἐγκέφαλος, καρδία, ὀμφαλός, αἰδοῖον· κεφαλὰ μὲν νόω, καρδία δὲ ψυχᾶς καὶ αἰσθήσιος, ὀμφαλὸς δὲ ῥιζώσιος καὶ ἀναφύσιος τῶ πρώτω, αἰδοῖον δὲ σπέρματος καταβολᾶς τε καὶ γεννάσιος· ἐγκέφαλος δὲ τὰν ἀνθρώπω ἀρχάν, καρδία δὲ τὰν ζώω, ὀμφαλὸς δὲ τὰν φυτῶ, αἰδοῖον δὲ τὰν ξυναπάντων [ἐμφαίνει]. — *Πλάτων*, Φίληβος 29 B - 30 A: Πῦρ ἔστι μέν που παρ' ἡμῖν, ἔστι δ' ἐν τῷ παντί . . σμικρὸν μέν τι τὸ παρ' ἡμῖν καὶ ἀσθενὲς καὶ φαῦλον, τὸ δ' ἐν τῷ παντὶ πληθεί τε θαυμαστὸν καὶ κάλλει καὶ πάσῃ δυνάμει τῇ περὶ τὸ πῦρ οὖσῃ . . τρέφεται δὲ καὶ γίγνεται ὑπ' ἐκείνου τό τ' ἐμὸν καὶ τὸ σὸν καὶ τὸ τῶν ἄλλων ζώων . . ταὐτὰ γὰρ ἐρεῖς, οἶμαι περί τε τῆς ἐν τοῖς ζώοις γῆς τῆς ἐνθάδε καὶ τῆς ἐν τῷ παντὶ καὶ τῶν ἄλλων δὴ πάντων (ὕδατος καὶ πνεύματος δηλ.) . . πάντα ἡμεῖς ταῦτα τὰ νῦν δὴ λεχθέντα . . εἰς ἓν συγκείμενα ἰδόντες ἐπωνομάσαμεν σῶμα . . ταὐτὸν δὲ λαβὲ καὶ περὶ τοῦδε, ὃν κόσμον λέγομεν· διὰ τὸν αὐτὸν γὰρ τρόπον ἂν εἴη που σῶμα, σύνθετον ὂν ἐκ τῶν αὐτῶν. Ἐκ τούτου τοῦ σώματος ὅλως τὸ παρ' ἡμῖν σῶμα . . τρέφεταί τε καὶ ὅσα νῦν δὴ περὶ αὐτῶν εἴπομεν εἴληφέ τε καὶ ἴσχει . . Τί δέ; . . τὸ παρ' ἡμῖν σῶμα ἆρ' οὐ ψυχὴν φήσομεν ἔχειν; — Δῆλον ὅτι φήσομεν — Πόθεν, ὦ φίλε, λαβόν, εἴπερ μὴ τό γε τοῦ παντὸς σῶμα ἔμψυχον ὂν ἐτύγχανε, ταὐτά γε ἔχον τούτῳ καὶ ἔτι πάντη καλλίονα; Δῆλον ὡς οὐδαμόθεν ἄλλοθεν. — Νόμοι 903 B: Πείθωμεν τὸν νεανίαν τοῖς λόγοις ὡς τῷ τοῦ παντὸς ἐπιμελουμένῳ πρὸς τὴν σωτηρίαν καὶ ἀρετὴν τοῦ ὅλου πάντ' ἔστι συντεταγμένα, ὧν καὶ τὸ μέρος εἰς δύναμιν ἕκαστον τὸ προσῆκον πάσχει καὶ ποιεῖ· τούτοις δ' εἰσὶν ἄρχοντες προστεταγμένοι ἑκάστοις ἐπὶ τὸ σμικρότατον ἀεὶ πάθης καὶ πράξεως, εἰς μερισμὸν τὸν ἔσχατον τέλος ἀπειργασμένοι· ὧν ἓν καὶ τὸ σόν, σχέτλιε, μόριον εἰς τὸ πᾶν ξυντείνει βλέπον ἀεί, καίπερ πάνσμικρον ὄν, σὲ δὲ λέληθε περὶ τοῦτο αὐτὸ ὡς γένεσις ἕνεκα ἐκείνου γίγνεται πᾶσα, ὅπως ἡ τῷ τοῦ παντὸς βίου ὑπάρχουσα εὐδαίμων οὐσία, οὐχ ἕνεκα σοῦ γιγνομένη, σὺ δὲ ἕνεκα ἐκείνου. — *Ξενοφῶν*, Ἀπομνημονεύματα 1, 4, 8: Σὺ δὲ σαυτὸν δοκεῖς τι φρόνιμον ἔχειν; . . Ἄλλοθι δὲ οὐδαμοῦ οὐδὲν οἴει φρόνιμον εἶναι, καὶ ταῦτα εἰδώς, ὅτι γῆς τε μικρὸν μέρος ἐν τῷ σώματι πολλῆς οὔσης ἔχεις καὶ ὑγρὸν βραχὺ πολλοῦ ὄντος, καὶ τῶν ἄλλων δήπου μεγάλων ὄντων ἑκάστου μικρὸν μέρος λαβόντι τὸ σῶμα συνήρμοσταί σοι; νοῦν δὲ μόνον ἆρα οὐδαμοῦ ὄντα σὲ εὐτυχῶς πως δοκεῖς συναρπάσθαι, καὶ τάδε τὰ ὑπερμεγέθη καὶ πλῆθος ἄπειρα δι' ἀφροσύνην τινὰ οὕτως οἴει εὐτάκτως ἔχειν; — *Κλήμης ὁ Ἀλεξανδρεύς*, ἀπ. 17, ἔκδ. Migne, τόμ. 2, σελ. 769 c: Φύσις λέγεται παρὰ τὸ πεφυκέναι. Πρώτη οὐσία ἐστὶ πᾶν καθ' ἑαυτοῦ ὑφεστώς, οἷον λίθος οὐσία λέγεται. Δευτέρα δὲ οὐσία αὐξητική, καθὸ αὔξει καὶ φθίνει, τὸ φυτόν. Τρίτη δὲ οὐσία ἔμψυχος αἰσθητικὴ τὸ ζῶον, ὁ ἵππος. Τετάρτη δὲ οὐσία ἔμψυχος αἰσθητικὴ, λογική, ἄνθρωπος· *δι' ὃ καὶ ἕκαστος γέγονεν ὡς ὢν ἐκ πάντων*, τὴν ψυχὴν ἔχων ἄϋλον καὶ τὸν νοῦν Θεοῦ εἰκόνα.

2) *Βίος Πυθαγόρου* ἐν Φωτίου βιβλιοθήκῃ ὑπ' ἀριθ. 249, ἔκδ. Bekker, σελ. 440 a, στίχ. 33 καὶ ἑξ.: Ὁ ἄνθρωπος *μικρὸς κόσμος* λέγεται οὐχ ὅτι ἐκ τῶν τεσσάρων στοιχείων σύγκειται (τοῦτο γὰρ καὶ ἕκαστον τῶν ζώων καὶ τῶν εὐτελεστάτων), ἀλλ' ὅτι πάσας ἔχει τὰς τοῦ κόσμου δυνάμεις. Ἐν γὰρ τῷ κόσμῳ εἰσὶ θεοί, ἔστι καὶ τὰ τέσσαρα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στοιχεῖά, ἔστι καὶ τὰ ἄλογα ζῶα, ἔστι καὶ φυτά. Πάσας δὲ ταύτας τὰς δυνάμεις ἔχει ὁ ἄνθρωπος· ἔχει γὰρ θείαν μὲν δύναμιν τὴν λογικήν, ἔχει τὴν τῶν στοιχείων φύσιν, τὴν θρεπτικήν, τὴν αὐξητικήν καὶ τοῦ ὁμοίου γεννητικήν. Ἐν ἑκάστῃ δὲ τούτων λείπεται, καὶ ὥσπερ ὁ πένταθλος πάσας ἔχων τὰς δυνάμεις τῶν ἀθλημάτων ἐν ἑκάστῃ ἥττων ἐστὶ τοῦ ἓν τι ἐπιτηδεύοντος, οὕτω καὶ ὁ ἄνθρωπος πάσας ἔχων τὰς δυνάμεις ἐν ἑκάστῃ λείπεται· ἧττον μὲν γὰρ ἔχομεν τὴν λογικὴν δύναμιν ἢπερ οἱ θεοί, καὶ τὰ τῶν στοιχείων ὁμοίως ἧττον ἢ ἐκεῖνα, καὶ τὸν θυμὸν καὶ ἐπιθυμίαν ἐνδεέστερα τῶν ἐν τοῖς ἀλόγοις, καὶ τὴν θρεπτικὴν καὶ αὐξητικὴν δύναμιν ἐλαττουμένας τῶν ἐν τοῖς φυτοῖς. — *Ἀνωνύμου βίος Πυθαγόρου*, ἔκδ. Kiessl. σελ. 114: Ὁ ἄνθρωπος *μικρὸς κόσμος* λέγεται οὐχ ὅτι ἐκ τεσσάρων στοιχείων σύγκειται (τοῦτο γὰρ καὶ ἕκαστον τῶν ζώων), ἀλλ' ὅτι πάσας ἔχει τὰς τοῦ κόσμου δυνάμεις. — *Πρόκλος*, εἰς Τίμαιον 1, 348: Δεῖ ὡς τὸν ὅλον κόσμον, οὕτω καὶ τὸν ἄνθρωπον ἐπισκέψασθαι τελείως, διότι *μικρός ἐστι καὶ οὗτος κόσμος*. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 1, ἔκδ. Potter σελ. 5: Καὶ δὴ τὸ ἄσμα τὸ ἀκήρατον, ἔρεισμα τῶν ὅλων καὶ ἁρμονία τῶν πάντων, ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα, καὶ ἀπὸ τῶν ἄκρων ἐπὶ τὰ μέσα διαταθέν, ἡρμόσατο τόδε τὸ πᾶν, οὐ κατὰ τὴν Θρᾴκιον μουσικήν, κατὰ δὲ τὴν πάτριον Θεοῦ βούλησιν, ἣν ἐζήλωσε Δαβίδ. Ὁ δὲ ἐκ Δαβὶδ καὶ πρὸ αὐτοῦ ὁ τοῦ Θεοῦ λόγος, λύραν μὲν καὶ κιθάραν τὰ ἄψυχα ὄργανα ὑπεριδών, κόσμον δὲ τόνδε, καὶ δὴ καὶ *τὸν σμικρὸν κόσμον, τὸν ἄνθρωπον*, ψυχήν τε καὶ σῶμα αὐτοῦ, ἁγίῳ Πνεύματι ἁρμοσάμενος, ψάλλει τῷ Θεῷ, διὰ τοῦ πολυφώνου ὀργάνου καὶ προσάδει τούτῳ τῷ ὀργάνῳ τῷ ἀνθρώπῳ: «Σὺ γὰρ εἶ κιθάρα καὶ αὐλὸς καὶ ναὸς ἐμός». — *Κοσμᾶς ὁ Αἰγύπτιος μοναχός*, Χριστιανικὴ τοπογραφία (Ἰνδοπλευστής), Patrologiae Graece, τόμ. 88, σελ. 368 A: Σύνδεσμος γάρ τις ὢν καὶ ἐνέχυρον φιλίας παντὸς τοῦ κόσμου ὁ ἄνθρωπος, ἐξ ἀνάγκης πάντα τὰ προειρημένα περιέχει κατά τινα ἀναλογίαν. Εὖ γὰρ εἴρηται παρὰ τοῖς ἔξω *μικρὸς κόσμος ὁ ἄνθρωπος*. — Ἀπὸ τῆς Πυθαγορείου δὲ ταύτης ἀντιλήψεως τῶν κατὰ τὸν κόσμον καὶ τὸν ἄνθρωπον ἀφορμώμενοι ἐκάλεσαν προσέτι τὸν μὲν ἄνθρωπον «*βραχὺν κόσμον*» (Φίλων ὁ Ἰουδαῖος, περὶ βίου Μωϋσέως βιβλ. 3, § 14, σελ. 673 D) καὶ «*βραχὺν οὐρανόν*» (ὁ αὐτὸς περὶ τῆς Μωϋσέως κοσμοποιίας § 27, σελ. 18 E) καὶ «*μικρὸν διάκοσμον*» (Πορφύριος παρὰ Ἰωάννῃ τῷ Στοβαίῳ, Ἀνθολ. 21, 27, σελ. 185), τὸν δὲ κόσμον «*μέγαν ἄνθρωπον*» (Φίλων ὁ Ἰουδαῖος, σελ. 502 c λέγων: Ἐθάρρησαν ἔνιοι καὶ τῷ παντὶ κόσμῳ τὸ βραχύτατον ζῶον, ἄνθρωπον, ἴσον ἀποφῆναι — καὶ ἐναλλάττοντες *βραχὺν μὲν κόσμον* τὸν ἄνθρωπον, *μέγαν δὲ ἄνθρωπον* ἔφασαν τὸν κόσμον εἶναι). — Τούτοις ἑπόμενος καὶ ὁ Γερμανὸς Hermann Lotze, φιλόσοφος ἐκ τῶν διαπρεπεστάτων τοῦ αἰῶνος ἡμῶν, «τὰς εἰς τὴν φυσικὴν ἱστορίαν καὶ τὴν ἱστορίαν τῆς ἀνθρωπότητος ἰδέας αὐτοῦ (Ideen zur Naturgeschichte und Geschichte der Menschheit»), σύγγραμμα τρίτομον ἐμβριθέστατον, παγκοσμίου ἀπολαῦον φήμης, ἐπέγραφε «*Mikrokosmus*», ἐπαναλαμβάνων ἐν ταῖς τελευταίαις σειραῖς τοῦ πρώτου τόμου (σελ. 453) αὐταῖς λέξεσι τὰ Πυθαγόρεια ἐκεῖνα ὡς ἑξῆς: «*In dieser Regsamkeit . . wird der Mensch das sein, was eine alte Ahnung, ihn vor allen Geschöpfen sein lässt: das vollkomene Abtild der grossen Wirklichkeit, die kleine Welt, der Mikrokosmus*».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ

Ὁ ψυχικὸς βίος τῶν ζώων.

Ἡ ὁμοιότης τοῦ ἀνθρώπου πρὸς τὰ ζῶα καταφανεστέρα τῆς ὁμοιότητος πρὸς τὰ λοιπὰ τῆς φύσεως ὄντα, ἑπομένως τὰ ζῶα τοῖς φιλομαθοῦσι παιδαρίοις γνωριμώτερα. — Πάντα τὰ κατὰ τὴν ὀργάνωσιν καὶ τὰ πάθη καὶ τὰς πράξεις καὶ τὸν βίον τῶν ἀνθρώπων ἐμφανίζονται καὶ ἐν τοῖς ζώοις. — Τὰ ἀτελέστατα ζῶα. — Τὰ ἧττον ἀτελῆ τῶν ζώων. — Τὰ τελειότερα ζῶα· ἡ νοητικὴ δύναμις αὐτῶν ἐν συγκρίσει πρὸς τὴν τῶν ἀνθρώπων. — Ὁ κόσμος τῶν συναισθημάτων καθόλου εἰπεῖν ὁ αὐτὸς παρά τε τοῖς ζώοις καὶ τοῖς ἀνθρώποις. — Τὰ πάθη τῶν ζώων τὰ αὐτὰ τοῖς τῶν ἀνθρώπων. — Τὰ ἤθη τῶν ζώων ὅμοια τοῖς τῶν ἀνθρώπων.

Ἡ ὁμοιότης καὶ συγγένεια τῶν δυνάμεων τῶν ἀνθρώπων καὶ τοῦ τρόπου τῆς ἐκφάνσεως αὐτῶν πρὸς τὰς δυνάμεις καὶ τὸν τρόπον τῆς ἐκφάνσεως αὐτῶν ἐν τῷ οὐρανῷ καὶ τῇ ἀψύχῳ καλουμένῃ φύσει καὶ τοῖς φυτοῖς, σφόδρα εὐνόητος τοῖς εὐπαιδεύτοις καὶ τοῖς ἐπιστημονικῶς τὸν νοῦν μεμορφωμένον ἔχουσιν, εἶνε, ὡς ἐκ τῆς προφαινομένης διαφορότητος τῆς ἐξωτερικῆς μορφῆς αὐτῶν, ἥκιστα εὐνόητος τοῖς παιδαρίοις, τοῖς ἀνάσκητον ἔτι τὸν νοῦν καὶ ἀπαίδευτον αὐτὸν ἔχουσιν. Τούτοις εὐνόητος εἶνε ἡ ὁμοιότης καὶ ἡ συγγένεια τῶν δυνάμεων καὶ τοῦ τρόπου τῆς ἐκφάνσεως αὐτῶν ἐν τοῖς ἀνθρώποις πρὸς τὰς δυνάμεις καὶ τὸν τρόπον τῆς ἐκφάνσεως αὐτῶν ἐν τοῖς ζώοις, ἅμα μὲν διότι ἥ τε φυσικὴ ὀργάνωσις καὶ οἱ κατὰ τὴν ψυχὴν τρόποι καὶ οἱ τρόποι τῆς ζωῆς αὐτῶν οὐδαμῶς ἢ μικρόν τι κατ' οὐσίαν τῶν ἡμετέρων διαφέρουσιν 1), ἅμα δὲ καὶ διότι πάντα ταῦτα φύσει ἀμι-

1) *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 7. Καὶ ὅτι μὲν ἄχρι γε αἰσθήσεως τῆς τε ἄλλης ὀργανώσεως τῆς τε κατὰ τὰ αἰσθητήρια καὶ τῆς κατὰ σάρκα ὁμοίως ἡμῖν διάκειται τὰ ζῶα πᾶς σχεδὸν συγκεχώρηκεν. καὶ γὰρ οὐ μόνον τῶν κατὰ φύσιν παθῶν τε καὶ κινημάτων τῶν διὰ τούτων ὁμοίως ἡμῖν κεκοινώνηκεν, ἀλλ' ἤδη καὶ τῶν παρὰ φύσιν καὶ νοσωδῶν ἐν αὐτοῖς θεωρουμένων — *Ἀριστοτέλης*, περὶ τὰ ζῷα ἱστοριῶν 588, α, 16: Τῶν ζώων.. αἱ πράξεις καὶ οἱ βίοι κατὰ τὰ ἤθη καὶ τὰς τροφὰς διαφέρουσιν. ἔνε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γέστερα ἐν τοῖς ζώοις ἁπλούστερα καὶ ἐναργέστερα ἢ ἐν τοῖς ἀνθρώποις ἐμφανίζονται 1). Τοιαῦτα δὲ ὄντα εἶνε, ὡς εἰκός, τῇ αἰσθήσει ἐμφανέστερα καὶ ἐπομένως τοῖς φιλομαθοῦσι παιδαρίοις γνωριμώτερα 2).

στι γὰρ ἐν τοῖς πλείστοις καὶ τῶν ἄλλων ζώων ἴχνη τῶν περὶ τὴν ψυχὴν τρόπων, ἅπερ ἐπὶ τῶν ἀνθρώπων ἔχει φανερωτέρας τὰς διαφοράς· καὶ γὰρ ἡμερότης καὶ ἀγριότης, καὶ πραότης καὶ χαλεπότης, καὶ ἀνδρία καὶ δειλία, καὶ φόβοι καὶ θάρρη, καὶ θυμοὶ καὶ πανουργίαι καὶ τῆς περὶ τὴν διάνοιαν συνέσεως ἔνεισιν ἐν πολλοῖς αὐτῶν ὁμοιότητες . . τὰ γὰρ τῷ μᾶλλον καὶ ἧττον διαφέρει πρὸς τὸν ἄνθρωπον, καὶ ὁ ἄνθρωπος πρὸς πολλὰ τῶν ζώων (ἔνια γὰρ τῶν τοιούτων ὑπάρχει μᾶλλον ἐν ἀνθρώπῳ, ἕνια δ' ἐν τοῖς ἄλλοις ζώοις μᾶλλον), τὰ δὲ τῷ ἀνάλογον διαφέρει . . ὥστ' οὐδὲν ἄλογον εἰ τὰ μὲν ταὐτὰ τὰ δὲ παραπλήσια τὰ δ' ἀνάλογον ὑπάρχει τοῖς ἄλλοις ζώοις — *Αὐτόθ.* 612, 6, 18. Ὅλως δὲ περὶ τοὺς βίους πολλὰ ἂν θεωρηθείη μιμήματα τῶν ἄλλων ζώων τῆς ἀνθρωπίνης ζωῆς. — *Σέξτος ὁ Ἐμπειρικός*, Ὑποτυπ. Α 76, ἔκδ. Bekker, σελ. 18, στίχ. 20. Τὰ καλούμενα ἄλογα ζῶα μήτε ἀκριβείᾳ τῶν αἰσθήσεων λείπεται τῶν ἀνθρώπων, μήτε τῷ ἐνδιαθέτῳ λόγῳ, ἐκ περιουσίας δὲ εἰπεῖν μηδὲ τῷ προφορικῷ.

1) *Πλούταρχος*, περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργίας 493 Β, καὶ Ε: Οἱ φιλόσοφοι τῶν προβλημάτων ἔνια . . ἐπὶ τὴν τῶν ἀλόγων φύσιν ζώων ἐκκαλοῦνται καὶ τοῖς ἐκείνων πάθεσι καὶ ἤθεσιν ἐφιᾶσι τὴν κρίσιν . . *ἄκρατον* γὰρ ἐν ἐκείνοις ἡ φύσις καὶ *ἀμιγὲς* καὶ *ἁπλοῦν* φυλάττει τὸ ἴδιον· ἐν δ' ἀνθρώποις ὑπὸ τοῦ λόγου καὶ τῆς συνηθείας, ὃ τοὔλαιον ὑπὸ τῶν μυρεψῶν πέπονθε, πρὸς πολλὰ μιγνυμένη δόγματα καὶ κρίσεις ἐπιθέτους ποικίλη γέγονε καὶ ἰδία, τὸ δ' οἰκεῖον οὐ τετήρηκε . . *τὰ ἄλογα ζῶα τῶν λογικῶν μᾶλλον ἔπεται τῇ φύσει* — ὡς ἐπ' ἀγκύρας τῆς φύσεως σαλεύει· καθάπερ οὖν ὁδὸν ὑφ' ἡνία καὶ χαλινῷ βαδίζοντα δείκνυσιν εὐθεῖαν· ὁ δὲ δεσπότης ἐν ἀνθρώπῳ καὶ αὐτοκρατὴς λόγος ἄλλας ἄλλοτε παρεκβάσεις καὶ καινοτομίας ἀνευρίσκων οὐδὲν ἴχνος ἐμφανὲς οὐδ' ἐναργὲς ἀπολέλοιπε τῆς φύσεως. — *Φιλήμων*, ἀπ. 93 (Kock, Comic. Attic. Fragm. τόμ. 2, σελ. 505): Ὦ τρισμακάρια πάντα καὶ τρισόλβια | τὰ θηρία, οἷς οὐκ ἔστι περὶ τούτων λόγος· | οὔτ' εἰς ἔλεγχον οὐδὲν αὐτῶν ἔρχεται, | οὔτ' ἄλλο τοιοῦτ' οὐδὲν ἔστ' αὐτοῖς κακόν | ἐπακτόν, ἣν δ' ἂν εἰσενέγκηται φύσιν | ἕκαστον, εὐθὺς καὶ νόμον ταύτην ἔχει. | ἡμεῖς δ' ἀθίωτον ζῶμεν ἄνθρωποι βίον· | δουλεύομεν δόξαισιν, εὑρόντες νόμους, | προγόνοισιν, ἐγγόνοισιν. οὐκ ἔστ' ἀποτυχεῖν | κακοῦ, πρόφασιν δ' ἀεὶ τιν' ἐξευρίσκομεν.

2) *Θεόφραστος*, περὶ φυτῶν ἱστορίας, 1, 2,3. Διὰ τῶν γνωριμωτέρων μεταδιώκειν δεῖ τὰ ἀγνώριστα, γνωριμώτερα δὲ τὰ μείζω καὶ τὰ ἐμφανῆ τῇ αἰσθήσει. Ἔπιθι καὶ τὰς ἐν τῇ σελ. 17 καὶ 18 ὑποσελιδίους σημ. 2 καὶ 1. Τούτοις παραπλήσια καὶ ὁ Oppel ἐν τῷ συγγράμματι αὐτοῦ Thiergeschichten, ἔκδ. 1873, σελ. 2. Am meisten lenken natürlich die Thiere unseren Blick auf sich, sie die uns am nächsten stehen . . deren Beobachtung am wenigsten gelehrtes Wissen, specielle Bildung und tiefes Studium erfordert — καὶ Wundt ἐν τῷ συγγράμματι αὐτοῦ Vorlesungen über die Menschen und Thierseele, ἔκδ. 1863, τόμ. 1, σελ. 23 ἐν τέλει: Was wir im Menschen allein oft nicht zu enträthseln vermöchten, das wird uns klar werden, wenn wir die einfacheren Formen ins Ange fassen, in denen uns das Nämliche in der Thierseele entgegentritt.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πάντα τὰ κατὰ τὴν ὀργάνωσιν καὶ τὰ πάθη καὶ τὰ ἤθη καὶ τὰς πράξεις καὶ τὸν βίον τῶν ἀνθρώπων ἐμφανίζονται καὶ ἐν τοῖς ζώοις.

Καὶ ταῦτα, ὅπως καὶ οἱ ἄνθρωποι, συνίστανται ἐκ ψυχῆς καὶ σώματος 1). Καὶ ταῦτα, ὅπως καὶ οἱ ἄνθρωποι, γεννῶνται, τρέφονται, αὐξάνουσιν, ἀκμάζουσι, γηράσκουσι, φθίνουσι καὶ ἀποθνήσκουσιν 2). Καὶ ταῦτα, ὅπως καὶ οἱ ἄνθρωποι, αἰσθάνονται 3), γινώσκου-

1) *Ἀριστοτέλης*, Πολιτικὰ 1254, α, 34: Τὸ δὲ ζῶον πρῶτον συνέστηκεν ἐκ ψυχῆς καὶ σώματος — *θεμίστιος*, Παράφρασις τῶν περὶ ψυχῆς Ἀριστοτέλους 2, 1, ἔκδ. Spengel, τόμ. 2, σελ. 74, στίχ. 14: Καὶ τὸ ζῶόν φαμεν ἐκ ψυχῆς καὶ σώματος. — Πρβλ. καὶ *Ἀριστοτέλους* Πολιτικὰ 1291, α, 24. 1277, α, 6 — *θεμίστιον*, ἔνθ. ἀνωτέρω σελ. 73, στίχ. 27.

2) *Ἀριστοτέλης*, περὶ ζώων γενέσεως 731, α, 30. 731, 6, 35: Τὸ *γεννῆσαι* κοινὸν τῶν ζώντων πάντων.. διὸ γένος ἀεὶ ἀνθρώπων καὶ ζώων ἐστὶ καὶ φυτῶν — Περὶ ψυχῆς 415, α, 24: Φυσικώτατον τῶν ἔργων τοῖς ζῶσι.. *τὸ ποιῆσαι ἕτερον οἷον αὐτὸ ζῶον* μὲν ζῶον, φυτὸν δὲ φυτόν. Περὶ ἀναπνοῆς 476, α, 16: Πρὸς τὸ εἶναι *τροφῆς* δεῖται τῶν ζώων ἕκαστον. — Περὶ ψυχῆς 415, α, 23: Ἡ θρεπτικὴ ψυχή.. πρώτη καὶ κοινοτάτη δύναμίς ἐστι ψυχῆς, καθ' ἣν ὑπάρχει τὸ ζῆν ἅπασιν, ἧς ἐστι ἔργα *γεννῆσαι καὶ τροφῇ χρῆσθαι*. — Περὶ ζώων γενέσεως 735, α, 16: Εἴτε γὰρ φυτὸν εἴτε ζῶον ὁμοίως τοῦτο πᾶσιν ὑπάρχει τὸ θρεπτικόν.. ἀνάγκη δὲ διὰ τόδε, ὅτι ὅταν τι γένηται, *αὐξάνεσθαι* ἀνάγκη.. αὔξεται δὲ δι' ἑαυτοῦ. — Μετεωρολογικὰ 351, α, 26: Τῆς γῆς τὰ ἐντός, ὥσπερ τὰ σώματα τὰ τῶν φυτῶν καὶ ζώων *ἀκμὴν ἔχει καὶ γῆρας* — Περὶ ψυχῆς 432, 6, 24: Ἔστι *γεννητικὰ καὶ ἀκμὴν ἔχει καὶ φθίσιν*. — *θεμίστιος*, ἔνθ. ἀνωτ. 3, 12, σελ. 224, στίχ. 17: Πᾶν τὸ γεννώμενον *αὔξησιν ἔχει καὶ ἀκμὴν καὶ φθίσιν*. — Ἀριστοτέλης περὶ ἀναπνοῆς 478, 6, 22: Ἔστι μὲν οὖν πᾶσι τοῖς ζώοις κοινὸν *γένεσις καὶ θάνατος*. — *Πορφύριος*, περὶ ἀποχ. 3, 7. Ὄνος.. ἀποθνήσκει ὥσπερ ἄνθρωπος, ἵππος δέ.. φθίνει ὥσπερ ἄνθρωπος — *Εὐσέβιος*, Προπαρασκευὴ εὐαγγελικὴ 6, 10, 1: Κατὰ φύσιν ὁ ἄνθρωπος γεννᾶται, τρέφεται, ἀκμάζει, γεννᾷ, ἐσθίει, πίνει, κοιμᾶται, γηρᾷ, ἀποθνήσκει, καὶ τοῦτο παντὸς ἀνθρώπου καὶ παντὸς ἀλόγου ζώου. Ἴδε καὶ *Ἀριστοτέλην* περὶ ψυχῆς 415, α, 24. 434, α, 24. 435, 6, 35. 416, 6, 14. 19 — Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 436, α, 14. Περὶ ἀναπνοῆς 478, 6, 24, 479, α, 29 — Περὶ τὰ ζῶα ἱστοριῶν 488, 6, 29. 539, α, 1, καὶ ἐξ. 602, 6, 32 — Περὶ ζώων γενέσεως 725, α, 18. — *Κλήμεντα τὸν Ἀλεξανδρέα*, Προτρεπτ. πρὸς Ἕλληνας, κεφ. 4, ἔκδ. Potter, σελ. 45. — *Ἀρριανὸν*, Ἐπικτήτου διατριβαὶ 1, 28, 18. Τὰ αὐτὰ περὶ αὐτῶν καὶ ὁ Schuberth ἐν τῷ συγγράμματι αὐτοῦ Allgemeine Thierseelenkunde, ἔκδ. 1863, σελ. 320: Das Thier hat aber auch ein Schicksal, so gut als der Mensch. Jede Secunde hat.. Myriaden Thierwesen hervorgebracht und jedem nach der Geburt sein eigenes Schicksal bestimmt an dessen Ende der Tod steht, dem auch wir nicht entrinnen können.

3) *Ἀριστοτέλης*, Μετὰ τὰ φυσικὰ 980, α, 87. Φύσει μὲν οὖν ἔχοντα αἴσθησιν γίνεται τὰ ζῶα — Περὶ νεότητος καὶ γήρως 476, 6, 24: Τῷ αἰσθάνεσθαι τὸ ζῶον πρὸς τὸ μὴ ζῶον διορίζομεν — Περὶ ζώων γενέσεως 736, α, 30 Ζῶον δ' ἐστὶ κατὰ τὸ μόριον τῆς ψυχῆς τὸ αἰσθητικόν. — Ἴδε καὶ *Ἀριστοτέλην*, Περὶ ὕπνου καὶ ἐγρηγόρσεως 454, 6, 24 — Περὶ ψυχῆς 413, 6, 2. 427, α, 15. 434, α, 30. 6, 7. 23. 445, 6, 16. Περὶ ζωῆς καὶ θανάτου 469, α, 19. 6, 4 — Περὶ ζώων γενέσεως 741, α, 24 — Περὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σι 1), διανοοῦνται 2), συναισθάνονται 3), ὀρέγονται 4), κινοῦνται 5),

ζῴων μορίων 653, 6, 22. 678, 6, 2. *Πλούταρχον*, Πότερα τῶν ζώων φρονιμώτερα κτλ. σελ. 690 D καὶ E. — *Πορφύριον*, περὶ ἀποχῆς ἐμψύχων 3, 7. 8. 19. — *Θεμίστιον*, ἔνθ. ἀνωτ. 2, 2, σελ. 82, στίχ. 1 καὶ 8. 3, 12, σελ. 225, στίχ. 10 καὶ ἑξ. 1, 2. σελ. 15, στίχ. 26. *Κλήμεντ. τὸν Ἀλεξανδρ.* Στρωματεῖς 8, 4, ἔκδ. Potter, σελ. 912.

1) *Ἀριστοτέλης*, περὶ ζώων γενέσεως 731, α, 30: Τοῦ δὲ ζώου οὐ μόνον τὸ γεννῆσαι ἔργον . . ἀλλὰ καὶ γνώσεώς τινος πάντα μετέχουσι, τὰ μὲν πλείονος τὰ δ' ἐλάττονος, τὰ δὲ πάμπαν μικρᾶς· αἴσθησιν γὰρ ἔχουσιν, ἡ δὲ αἴσθησις γνῶσίς τις. Ἰδ. καὶ *Θεόφραστον*, περὶ αἰσθήσεως καὶ αἰσθητῶν, ἀπ. 1, κεφ. 1. Τὰ αὐτὰ καὶ ὁ Wundt ἔνθ. ἀνωτ. τόμ. 1, σελ. 316. So sind wir genöthigt anzunehmen, dass das Bewustsein keinem einzigen Thier gänzlich mangelt, ja in vielen Thieren weit früher als beim Menschen zum Durchbruch kommt.

2) *Πλούταρχος*, Πότερα τῶν ζώων φρονιμώτερα κτλ. 960 A: Μετέχει ἀμωσγέπως πάντα τὰ ζῶα διανοίας καὶ λογισμοῦ. — *Αὐτόθ.* 963 B: Μὴ τὰ θηρία λέγωμεν, εἰ νωθρότερον - ἡμῶν - φρονεῖ καὶ κάκιον διανοεῖται, μὴ διανοεῖσθαι μηδὲ φρονεῖν ὅλως μηδὲ κεκτῆσθαι λόγον, ἀσθενῆ δὲ κεκτῆσθαι καὶ θολερόν. ὥσπερ ὀφθαλμὸν ἀμβλυώττοντα καὶ τεταραγμένον.

3) *Ἀριστοτέλης*, περὶ ὕπνου καὶ ἐγρηγόρσεως 454, 6, 29: Οἷς αἴσθησις ὑπάρχει, καὶ τὸ λυπεῖσθαι καὶ τὸ χαίρειν. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 19: Τὰ ζῶα πέφυκεν αἰσθάνεσθαι, ἀλγεῖν, φοβεῖσθαι. — Ἰδ. καὶ *Ἀριστοτέλην*, περὶ ζώων μορίων 661, α, 6. Περὶ ψυχῆς 434, α, 3. 414, 6, 4. — *Πλούταρχον*, Πότερα τῶν ζώων κτλ. 960 F - 961 A. — *Θεμίστιον*, ἔνθ. ἀνωτέρ. 3, 11, σελ. 223, στίχ. 25. — *Αὐτόθ.* Παράφρασις εἰς τὸ περὶ ὕπνου καὶ ἐγρηγόρσεως τοῦ Ἀριστοτέλους 1, σελ. 259, στίχ. 29.

4) *Ἀριστοτέλης*, περὶ ψυχῆς 414, 6, 2-16: Ὄρεξις μὲν γὰρ ἐπιθυμία καὶ θυμὸς καὶ βούλησις, τὰ δὲ ζῶα πάντ' ἔχουσι μίαν γε τῶν αἰσθήσεων, τὴν ἁφήν . . τῶν ζώων τοῖς ἔχουσιν ἁφὴν καὶ ὄρεξις ὑπάρχει. — *Αὐτόθ.* 413, 6, 23: Εἰ δ' αἴσθησιν καὶ φαντασίαν καὶ ὄρεξιν· ὅπου μὲν γὰρ αἴσθησις καὶ λύπη τε καὶ ἡδονή, ὅπου δὲ ταῦτα, ἐξ ἀνάγκης καὶ ἐπιθυμία. *Αὐτόθ.* 433, α, 25: Ἡ γὰρ ἐπιθυμία ὄρεξίς τις ἐστιν. — *Πλούταρχος*, Πότερα τῶν ζώων κτλ. 960 E: Μηδ' εἶνε ζῶον ᾧ μὴ δόξα τις καὶ λογισμὸς ὥσπερ αἴσθησις καὶ ὁρμὴ κατὰ φύσιν πάρεστιν. — *Αὐτόθ.* περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργίας 493 D: Τὰ θηρία . . ἀλόγους ὁρμὰς καὶ ὀρέξεις ἔχοντα. — *Ἀριστοτέλης*, περὶ αἰσθήσεως καὶ αἰσθητῶν 436, α, 6: Φαίνεται δὲ τὰ μέγιστα, καὶ τὰ κοινὰ καὶ τὰ ἴδια τῶν ζώων, κοινὰ τῆς ψυχῆς ὄντα καὶ τοῦ σώματος, οἷον αἴσθησις, καὶ μνήμη, καὶ θυμὸς καὶ ἐπιθυμία καὶ ὅλως ὄρεξις, καὶ πρὸς τούτοις ἡδονή τε καὶ λύπη· καὶ γὰρ ταῦτα σχεδὸν ὑπάρχει πᾶσι τοῖς ζώοις. — *Σιμπλίκιος* Ἐξήγησ. εἰς τὸ Ἐπικτήτ. Ἐγχειρίδ. 1, 1, ἔκδ. Dübner, σελ. 10, στίχ. 4: Ἀλλ' ἡ μὲν τῶν ἀλόγων ἄλογος ζωή, σωματικὴ οὖσα καὶ μηδὲν σχεδὸν ἔχουσα τῶν σωμάτων ὑπερανέχον, ὡς ἐπ' οἰκείαις ἐνδείαις ταῖς τοῦ σώματος τὰς ὀρέξεις προβάλλεται μονοειδεῖς οὔσας.

5) *Ἀριστοτέλης*, περὶ φυσικῆς ἀκροάσεως 254, 6, 14: Τό τε γὰρ αὐτὸ ὑφ' αὑτοῦ κινούμενον φύσει κινεῖται, οἷον ἕκαστον τῶν ζώων· κινεῖται γὰρ τὸ ζῶον αὐτὸ ὑφ' αὑτοῦ.. τὸ ζῶον ὅλον φύσει αὐτὸ ἑαυτὸ κινεῖ. — *Αὐτόθ.* 265, 6, 34: Ἡ ψυχή.. κινεῖ τὸ ζῶον τὴν κατὰ τόπον ἑαυτὸ κίνησιν. — Περὶ ζώων κινήσεως 7, 6, 15: Πάντα τὰ ζῶα.. κινεῖται ἕνεκά τινος.. ὁρῶμεν δὲ τὰ κινοῦντα τὸ ζῶον διάνοιαν καὶ φαντασίαν καὶ προ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἡσυχάζουσιν 1), ἐγρηγοροῦσι καὶ καθεύδουσιν 2).

Καὶ ταῦτα μὲν γενικῶς ἐπὶ πάντων τῶν ζώων.

Ἀλλ' ὅπως εἰς τὸ ἀνθρώπινον γένος, οὔτε πάντες οἱ ἄνθρωποι ἔχουσι τὴν αὐτὴν νοημοσύνην οὔτε πάντες ἔχουσι τὸ αὐτὸ ἦθος οὔτε πάντων αἱ πράξεις καὶ οἱ βίοι εἶνε τῶν αὐτῶν τρόπων ἐκδηλώσεις, οὕτω καὶ εἰς τὸ βασίλειον τῶν ζώων. Ποικίλει ἡ νοημοσύνη, ποικίλλουσι τὰ ἤθη, ποικίλλουσιν αἱ πράξεις, ποικίλλει ὁ βίος ἔν τε τοῖς ζώοις καὶ τοῖς ἀνθρώποις 3). Ἡ διαφορὰ τῆς νοημοσύνης τοῦ προβάτου καὶ τοῦ κονός, ἡ διαφορὰ τοῦ ἤθους τοῦ ἱέρακος καὶ τῆς περιστερᾶς, ἡ διαφορὰ τῶν πράξεων τῶν φαλαγγίων καὶ τῶν πελαργῶν, ἡ διαφορὰ τοῦ βίου τῶν ἀετῶν καὶ τῶν μελισσῶν δὲν εἶνε, ὡς φαίνεται, μεγαλη-

αἵρεσιν καὶ βούλησιν καὶ ἐπιθυμίαν. — *Θεμίστιος*, Παράφρασις τῶν περὶ ψυχῆς Ἀριστοτέλους 1, 2, σελ. 15, στίχ. 26: Τὸ ἔμψυχον τοῦ ἀψύχου δύο τούτοις μάλιστα διενήνοχε τῷ τε κινεῖσθαι ἐξ ἑαυτοῦ καὶ τῷ αἰσθάνεσθαι. — Πρβλ. καὶ *Ἀριστοτέλην* περὶ ψυχῆς 406, 6, 24 — Περὶ φυσικῆς ἀκροάσεως 252, 6, 22. 253, α, 12. 254, 6, 31 καὶ τὰς δύο εἰδικὰς αὐτοῦ μονογραφίας, περὶ ζώων κινήσεως, σελ. 698 - 704 καὶ περὶ ζώων πορείας σελ. 704 - 714 — *Θεμίστιον*, ἔνθ. ἀνωτ. 2, 2, σελ 84, στίχ. 6. *Κλήμεντα τὸν Ἀλεξανδρ.* Στρωματεῖς 8, 4, ἔκδ. Potter, σελ. 912.

1) *Ἀριστοτέλης*, Φυσικῆς ἀκροάσεως 252, 6, 12. 9: Εἰς ἄπειρον πέφυκε κινεῖσθαι μηδέν.. ἡσυχάζοντες ὅμως κινούμεθά ποτε, καὶ ἐγγίνεται ἐν ἡμῖν ἐξ ἡμῶν αὐτῶν ἀρχὴ κινήσεως ἐνίοτε, κἂν μηδὲν ἔξωθεν κινήσῃ.. Τὸ ζῶον αὐτὸ φαμὲν ἑαυτὸ κινεῖν, ὥστ' εἴπερ ἠρεμεῖ ποτε πάμπαν, ἐν ἀκινήτῳ κίνησις αὖ γένοιτο ἐξ αὐτοῦ καὶ οὐκ ἔξωθεν. — *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 1, 6, 14: Ἐκείνοις - τοῖς ζώοις - ἀρκεῖ τὸ ἐσθίειν καὶ πίνειν, καὶ τὸ ἀναπαύεσθαι καὶ ὀχεύειν. — Πρβλ. καὶ Αἰλιανὸν περὶ ζώων 11, 22.

2) *Ἀριστοτέλης*, περὶ ὕπνου καὶ ἐγρηγόρσεως 455, α, 26: Ἐγρήγορσις καὶ ὕπνος.. πᾶσιν ὑπάρχει τοῖς ζώοις. — Περὶ τὰ ζῶα ἱστοριῶν 536, 6, 24. 29. 32. 537, 6, 5: Ὅσα πεζὰ καὶ ἔναιμα πάντα καθεύδει καὶ ἐγρήγορεν — περὶ δὲ τῶν ᾠοτοκούντων ὅτι καθεύδουσι φανερόν — ὁμοίως δὲ καὶ τὰ ἔνυδρα, οἷον οἵ τε ἰχθύες καὶ τὰ μαλάκια καὶ τὰ μαλακόστρακα, κάραβοί τε καὶ τὰ τοιαῦτα — καὶ τὰ ἔντομα δὲ τῶν ζώων τυγχάνει ὕπνου — Περὶ ὕπνου καὶ ἐγρηγόρσεως 454, 6, 23: Ὕπνου κοινωνεῖ τὰ ζῶα πάντα. Ἰδ. αὐτόθ. 454 α, 19. 6, 7. 14 - 24. 453 6, 14. 25. *Θεμίστιον* ἐν παραφράσει εἰς τὸ περὶ ὕπνου καὶ ἐγρηγόρσεως τοῦ Ἀριστοτέλους κ. 1, σελ. 258, στίχ. 1. σελ. 259, στίχ. 5. 19. κεφ. 2, σελ. 259, στίχ. 22. σελ. 263, στίχ. 3.

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν, 487, α, 11: Αἱ διαφοραὶ τῶν ζώων εἰσὶν κατά τε τοὺς βίους καὶ τὰς πράξεις καὶ τὰ ἤθη καὶ τὰ μόρια. — *Αὐτόθ.* 610, 6, 20.: Τὰ ἤθη τῶν ζώων.. διαφέρει κατά τε δειλίαν καὶ πραότητα καὶ ἀνδρίαν καὶ ἡμερότητα καὶ νοῦν τε καὶ ἄνοιαν. — *Θεμίστιος*, ἔνθ. ἀν. 2, 2, σελ. 84, ἔκδ. Spengel: Τῇ μὲν οὖν πρώτῃ διαφορᾷ τὰ ζῶα ταῦτα διήνεγκεν, ὅτι τοῖς μὲν ἅπασαι τῆς ψυχῆς ὑπάρχουσιν αἱ εἰρημέναι δυνάμεις, τοῖς δὲ πλείους, τοῖς δὲ ἐλάττους, τοῖς δὲ καὶ μία μόνη.. δευτέρᾳ δέ, ὅτι τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον ἀκριβῆς. — Ἰδ. καὶ *Ἀριστοτέλην*, ἔνθ. ἀν. 588, α, 16. 629, 6, 5. — *Πορφύριον*, περὶ ἀποχ. 3, 7. — *Θεμίστιον*, ἔνθ. ἀν. 2, 3, σελ. 86 καὶ 90. 3, 3, σελ. 162.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τέρα τῆς διαφορᾶς τῆς ὑφισταμένης μεταξὺ τοῦ Μαργίτου καὶ τοῦ Πλάτωνος, τοῦ Φαλάριδος καὶ τοῦ Σωκράτους, τοῦ Θερσίτου καὶ τοῦ Ἀλεξάνδρου, τῶν πατραλοιῶν καὶ τοῦ Αἰνείου, τῶν Λαιστρυγόνων καὶ τῶν Ἀθηναίων 1).

Ὅπως δὲ εἰς τὸ ἀνθρώπινον γένος, εἰ καὶ τὰ ὑποκείμενα θεμέλια τῆς φυσικῆς καὶ πνευματικῆς καὶ ἠθικῆς ὑποστάσεως αὐτοῦ εἶνε τὰ αὐτά, ἐν τούτοις αἱ διαφοραὶ τῆς ἐκφάνσεως αὐτῶν εἶνε τεράστιαι τὸ μέγεθος 2), οὕτω καὶ εἰς τὰ ζῶα· εἰ καὶ αἱ φυσικαὶ καὶ αἱ πνευματικαὶ καὶ αἱ ἠθικαὶ αὐτῶν ἀρχαὶ εἶνε αἱ αὐταί, ἐν τούτοις αἱ ἐκφάνσεις αὐτῶν εἶνε ποικιλώταται καὶ πολὺ διάφοροι ἀπ' ἀλλήλων 3).

1) *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα λόγῳ χρῆσθαι 992 D. Ζῶον ἕτερον ἑτέρῳ τῷ φρονεῖν ἀργότερον.. καὶ δυσμαθέστερον.. ἄλλα μᾶλλον καὶ ἧττον ἄλλων.. τὰς ἑνίων ἀβελτηρίας καὶ βλακείας ἐλέγχουσιν ἑτέρων πανουργίαι καὶ δριμύτητες, ὅταν ἀλώπεκι καὶ λύκῳ καὶ μελίττῃ παραβάλῃς ὄνον καὶ πρόβατον — ὥσπερ εἰ σαυτῷ τὸν Πολύφημον.. *οὐ γὰρ οἶμαι θηρίου πρὸς θηρίον ἀπόστασιν εἶναι τοσαύτην, ὅσον ἄνθρωπος ἀνθρώπου τῷ φρονεῖν καὶ λογίζεσθαι καὶ μνημονεύειν ἀφέστηκεν.*

2) *Πλάτων*, Νόμοι 766 A: Ἄνθρωπος δέ, ὡς φαμεν, ἥμερον, ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὸν καὶ φύσεως εὐτυχοῦς θειότατον ἡμερώτατόν τε ζῶον γίγνεσθαι φιλεῖ, μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν ἀγριώτατον ὁπόσα φύει γῆ. — *Ἀριστοτέλης*, Πολιτικὰ 1253, a, 31: Ὥσπερ γὰρ καὶ τελεωθὲν βέλτιστον τῶν ζώων ἄνθρωπός ἐστιν, οὕτω καὶ χωρισθὲν νόμου καὶ δίκης χείριστον πάντων. Χαλεπωτάτη γὰρ ἀδικία ἔχουσα ὅπλα· ὁ δ' ἄνθρωπος ὅπλα ἔχων φύεται φρονήσει καὶ ἀρετῇ, οἷς ἐπὶ τἀναντία ἔστι χρῆσθαι μάλιστα. διὸ ἀνοσιώτατον καὶ ἀγριώτατον ἄνευ ἀρετῆς, καὶ πρὸς ἀφροδίσια καὶ ἐδωδὴν χείριστον. — *Ὀκελλος ὁ Λευκανός*, περὶ τῆς τοῦ παντὸς φύσεως κ. 3, 3 καὶ 4, 14. (Mullach Fragm. Philos. Graec. τόμ. 1, σελ. 401 καὶ 406): Ὑπερέχον τι γένος ἐντέτακται τῶν ἄλλων.. ἐν γῇ ἄνθρωπος — μετὰ πάσης οὖν σπουδῆς καὶ προσοχῆς δεῖ καταβάλλεσθαι, ὅπως τὰ γεννώμενα γίνηται χαριέστατα, καὶ γενόμενα καλῶς ἀνατραφῇ.. ταῦτα γὰρ ἀμελούμενα πάσης κακίας καὶ φαυλότητος παραίτια γίνεται, βοσκηματώδη καὶ ἀγεννῆ ἀποτελοῦντα τὰ γεννώμενα. — Πρβλ. καὶ *Ἰάμβλιχον* ἐν Προτρεπτικῷ ἐπὶ φιλοσοφίαν, κεφ. 9. ἔκδ. Pistelli, σελ. 51, 4. ἔκδ. Kiessling, σ. 144.

3) *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 25: Πᾶσι τοῖς ζώοις.. αἱ τῶν σωμάτων ἀρχαὶ πεφύκασιν αἱ αὐταί· λέγω δὲ.. οἷον δέρμα, σάρκας καὶ τὸ τῶν ὑγρῶν τοῖς ζώοις σύμφυτον γένος· πολὺ δὲ μᾶλλον τῷ τὰς ἐν αὐτοῖς ψυχὰς ἀδιαφόρους πεφυκέναι, λέγω δὴ ταῖς ἐπιθυμίαις καὶ ταῖς ὀργαῖς, ἔτι δὲ τοῖς λογισμοῖς, καὶ μάλιστα πάντων ταῖς αἰσθήσεσιν. ἀλλ' ὥσπερ τὰ σώματα, οὕτω καὶ τὰς ψυχὰς τὰ μὲν ἀπηκριβωμένας ἔχει τῶν ζώων, τὰ δὲ ἧττον τοιαύτας, πᾶσί γε μὴν αὐτοῖς αἱ αὐταὶ πεφύκασιν ἀρχαί. δηλοῖ δὲ ἡ τῶν παθῶν οἰκειότης. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 608, 4: Τούτων ἴχνη μὲν τῶν ἠθῶν ἔστιν ἐν πᾶσιν ὡς εἰπεῖν, μᾶλλον δὲ φανερώτερα ἐν τοῖς ἔχουσι μᾶλλον ἦθος καὶ μάλιστα ἐν ἀνθρώπῳ· τοῦτο γὰρ ἔχει τὴν φύσιν ἀποτετελεσμένην, ὥστε καὶ ταύτας τὰς ἕξεις εἶναι φανερωτέρας ἐν αὐτοῖς. — *Πορφύριος*, ἔνθ. ἀν. 3, 7: Οὐκ ἂν δέ τις εὖ φρονῶν διὰ τὸ ἐξηλλαγμένον τῆς ἕξεως τοῦ σώματος ἄδεκτα λογικῆς εἶποι διαθέσεως — τὰ ζῶα — ὁρῶν καὶ ἐπ' ἀνθρώπων πολλὴν τὴν παραλλαγὴν τῆς ἕξεως κατά τε γένη καὶ ἔθνη, καὶ ὅμως λογικοὺς συγχωρεῖ πάντας.. σχεδὸν ἁπάντων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Εὑρίσκεται δηλ. ἐν τούτοις ὅ,τι καὶ ἐν τοῖς ἀνθρώποις ὑπάρχει, καὶ δὴ καὶ ἀπαράλλακτα καὶ κατὰ τὰς αὐτὰς ἀναλογίας. Ἀτέλεια ἐκεῖ, ἀτέλεια καὶ ἐδώ· τελειότης ἐκεῖ, τελειότης καὶ ἐδώ· ποικιλία ἐκεῖ, ποικιλία καὶ ἐδώ. Καὶ ἐν τοῖς τοιούτοις τὰ ζῶα εἶνε διαυγέστατον κάτοπτρον τῶν ἐν τοῖς ἀνθρώποις συμβαινόντων.

Τὰ ἀτελέστα τῶν ζῴων ἔχουσι τὸ αἰσθητήριον τῆς ἁφῆς καὶ τῆς γεύσεως 1), αἰσθάνονται τὴν διαφορὰν τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ 2),

τὰ σώματα ὁμοίως τοῖς ἡμετέροις κατὰ τὰ πάθη. Τά γε μὴν τῆς ψυχῆς πάθη ὅρα εἰ μὴ πάντα ὅμοια· καὶ πρῶτά γε τὴν αἴσθησιν . . αἰσθήσεως μέν γε καὶ πλεονεκτεῖν ἔοικεν μᾶλλον τὰ ζῶα . . σωμάτων παραλλαγαὶ εὐπαθῆ μὲν ἢ δυσπαθῆ ποιῆσαι δύνανται καὶ μᾶλλον ἢ ἧττον πρόχειρον ἔχειν τὸν λόγον, κατ' οὐσίαν δὲ τὴν ψυχὴν ἐξαλλάττειν οὐ δύνανται, ὅπου γε οὐδὲ τὰς αἰσθήσεις οὐδὲ τὰ πάθη ἔτρεψαν, οὐδὲ τέλεον ἐκβεβηκυίας ἐποίησαν. ἐν οὖν τῷ μᾶλλον καὶ ἧττον ἡ διαφορὰ συγχωρείσθω, οὐκ ἐν τῇ τελείᾳ στερήσει· οὐδ' ἐν τῷ καθάπαξ τὸ μὲν ἔχειν τὸ δὲ μή· ἀλλ' ὡς ἐν ἑνὶ γένει τὸ μὲν ὑγιεινότερον σῶμά ἐστιν, τὸ δὲ ἧττον. καὶ ἐπὶ νόσου ὁμοίως πολὺ τὸ διάφορον ἔν τε εὐφυίαις καὶ ἀφυίαις, οὕτω καὶ ἐν ψυχαῖς ἡ μὲν ἀγαθή, ἡ δὲ φαύλη· καὶ τῶν φαύλων ἡ μὲν μᾶλλον, ἡ δὲ ἧττον· καὶ τῶν ἀγαθῶν οὐχ ἡ αὐτὴ ἰσότης, οὐδ' ὁμοίως Σωκράτης ἀγαθὸς καὶ Ἀριστοτέλης καὶ Πλάτων, οὐδ' ἐν ὁμοδόξοις ἡ ταὐτότης· οὐ τοίνυν οὐδ' εἰ μᾶλλον ἡμεῖς νοοῦμεν ἢ τὰ ζῶα, διὰ τοῦτο ἀφαιρετέον τῶν ζώων τὸ νοεῖν . . συμπάσχειν μὲν οὖν δοίη ἄν τις ψυχὴν σώματι καὶ πάσχειν τι πρὸς αὐτοῦ εὖ ἢ κακῶς διακειμένου, μεταβάλλειν δὲ τὴν αὐτῆς φύσιν οὐδαμῶς. εἰ δὲ συμπάσχει μόνον καὶ χρῆται αὐτῷ ὡς ὀργάνῳ, δράσειε μὲν ἄν δι' αὐτοῦ πολλά, ἀλλοίως ὠργανουμένου ἢ ὡς ἡμῖν, ὧν ἡμεῖς δρᾶν ἀδύνατοι, καὶ συμπάθοι ἄν πως διακειμένου, οὐ μέντοι τὴν αὐτῆς ἐξαλλάξειε φύσιν.— Τὰ αὐτὰ ἐπαναλαμβάνει ὅ τε Wundt ἐν τῷ συγγράμματι αὐτοῦ Vorlesungen über die Menschen=und Thierseele, ἔκδ. 1863, τόμ. 1, σελ. 318-321, καὶ τόμ. 2, σελ. 186 καὶ ὁ Schuberth ἐν τῷ συγγράμματι αὐτοῦ Allgemeine Thierseelenkunde, ἔκδ. 1863, σελ. 318 περὶ τὸ τέλος.

1) *Ἀριστοτέλης*, περὶ ψυχῆς 433, 6, 31: Σκεπτέον δὲ καὶ περὶ τῶν ἀτελῶν, τί τὸ κινοῦν ἐστιν, οἷς ἁφὴ μόνον ὑπάρχει αἴσθησις — Περὶ ζώων γενέσεως 489, α, 17: Πᾶσι δὲ τοῖς ζώοις αἴσθησις μία ὑπάρχει κοινὴ μόνη ἡ ἁφή — Περὶ ὕπνου καὶ ἐγρηγόρσεως 455, α, 7: Τὴν ἁφὴν καὶ τὴν γεῦσιν ἅπαντα ἔχει — Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 536, 6, 10: Τοῖς δὲ ζώοις. ἡ ἁφὴ καὶ ἡ γεῦσις ἀκολουθεῖ πᾶσιν ἐξ ἀνάγκης. —Ἴδε καὶ περὶ ψυχῆς 414, 6, 3. 415, α, 3. Πρβλ. καὶ *Θεμίστιον* ἐν παραφράσει εἰς τὸ περὶ ὕπνου καὶ ἐγρηγόρσεως τοῦ Ἀριστοτέλους κεφ. 2, σελ. 260, στίχ. 10. 261, 17 — Παράφρασις τῶν περὶ ψυχῆς 3, 12, σελ. 225, 10 καὶ ἑξ. 227, 5 καὶ ἑξ. 3, 13, σελ. 231, 13. — *Κλήμεντα τὸν Ἀλεξανδρ.* Προτρεπτ. πρὸς Ἕλληνας, κεφ. 4, ἔκδ. Potter, σελ. 45.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 596, 6, 23: Πάντα τῆς κατὰ τὸ θερμὸν καὶ ψυχρὸν μεταβολῆς αἴσθησιν ἔχει σύμφυτον. Ἴδε αὐτόθ. 592, α, 15. 598, α, 1. 603, α, 3. 621, 6, 13 καὶ *Θεμίστιον* ἐν παραφράσει τῶν περὶ ψυχῆς Ἀριστοτέλους 2, 3, σελ. 87, στίχ. 14.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αἰσθάνονται λύπην καὶ ἡδονὴν 1), διακρίνουσι τὸ ἡδὺ καὶ τὸ λυπηρὸν περὶ τὴν τροφὴν 2), γνωρίζουσι τὰ συγγενῆ 3), γνωρίζουσι τὰ φιλίως καὶ τὰ ἐχθρικῶς πρὸς αὐτὰ διακείμενα 4), κινοῦνται καὶ ἡσυχάζουσιν 5), ἄγονται κατὰ προαίρεσιν 6), διακρίνουσι τὰ οἰκεῖα καὶ τὰ ἀλλότρια πρὸς αὐτά, ἐπιζητοῦσι τὰ ὠφελοῦντα τὸν βίον αὐτῶν, ἀποφεύγουσι τὰ βλάπτοντα αὐτόν, προνοοῦσι περὶ πάντων τούτων, ζητοῦσι καὶ ἐκλέγουσι τὴν οἰκείαν τροφὴν καὶ τὴν συμφέρουσαν αὐτοῖς κατοικίαν, μηχανῶνται πολλὰ καὶ πάντοτε τὰ λυσιτελέστατα πρὸς πορισμὸν τῆς τροφῆς αὐτῶν, πρὸς ἐξασφάλισιν τῆς ζωῆς αὐτῶν, πρὸς ἀπόκρουσιν τῶν ἐχθρῶν αὐτῶν 7) καὶ

1) *Θεμίστιος*, Παράφρασις τῶν περὶ ψυχῆς Ἀριστοτέλους 3, 11, σελ. 223, 25: Φαίνεται δὲ καὶ λύπη ἐνοῦσα — τοῖς ἀτελεστέροις ζώοις — καὶ ἡδονή.

2) *Ἀριστοτέλης*, περὶ ζώων μορίων 661, α, 6: Ἐπιθυμίαν δ' ἔχει τροφῆς τὰ ζῶα πάντα ὡς ἔχοντα αἴσθησιν τῆς ἡδονῆς τῆς γινομένης ἐκ τῆς τροφῆς, ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος ἐστιν — Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 436, 6, 15: Τὸ ἡδὺ διακρίνει καὶ τὸ λυπηρόν — ἡ γεῦσις — περὶ τὴν τροφήν, ὥστε τὸ μὲν φεύγειν τὸ δὲ διώκειν — Ἠθικὰ Νικομάχ. 1119, α, 7: Τὰ ζῶα διακρίνει τὰ βρώματα, καὶ τοῖς μὲν χαίρει τοῖς δ' οὔ.

3) *Θεόφραστος*, περὶ αἰσθήσεως καὶ αἰσθητῶν, ἀπόσπ. 1, κεφ. 1: Σύμφυτόν ἐστι πᾶσι τοῖς ζώοις τὰ συγγενῆ γνωρίζειν.

4) *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 10: Παρατηρήσας δ' ἄν τις κατίδοι καὶ σὺν τάξει ἰόντα — τὰ ζῶα — πάντα καὶ διαπαντῶντα μετὰ τοῦ σαίνειν τῷ τρέφοντι καὶ ἐπιγινώσκειν τὸν δεσπότην καὶ μηνύειν τὸν ἐπίβουλον.

5) *Θεμίστιος*, Παράφρασις τῶν περὶ ψυχῆς Ἀριστοτέλους 3, 1, σελ. 223, 22: Κινεῖται κατὰ τόπον καὶ τὰ ἀτελέστερα ζῶα· οἷον μυῖαι καὶ εὐλαὶ καὶ ὅσα τοιαῦτα. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 537, 6, 7: Καὶ τὰ ἔντομα . . ἡσυχάζουσί τε καὶ ἀκινητίζουσιν ἐπιδήλως μάλιστα δ' ἐπὶ τῶν μελιττῶν τοῦτο δῆλον· ἠρεμοῦσί τε γὰρ καὶ παύονται βομβοῦσαι τῆς νυκτός. δῆλον δὲ καὶ ἐπὶ τῶν ἐν ποσὶ μάλιστα τῶν τοιούτων· οὐ γὰρ μόνον διὰ τὸ μὴ ὀξὺ βλέπειν ἡσυχάζουσι τῆς νυκτὸς (ἅπαντα γὰρ ἀμυδρῶς βλέπουσι τὰ σκληρόφθαλμα), ἀλλὰ καὶ πρὸς τὸ φῶς τὸ τῶν λύχνων ἡσυχάζοντα φαίνονται οὐδὲν ἧττον. — Ἴδ. καὶ *Ἀριστοτέλ.* περὶ τὰ ζῶα ἱστορ. 537, α, 4. 15. 20. 22.

6) *Ἀριστοτέλης*, περὶ ζώων κινήσεως 701, α, 4: Κινεῖται γὰρ καὶ πορεύεται τὸ ζῶον ὀρέξει ἢ προαιρέσει, ἀλλοιωθέντος τινὸς κατα τὴν αἴσθησιν ἢ τὴν φαντασίαν. — Αὐτόθ. 700, 6, 17: Ὁρῶμεν δὲ τὰ κινοῦντα τὸ ζῶον διάνοιαν καὶ φαντασίαν καὶ προαίρεσιν καὶ βούλησιν καὶ ἐπιθυμίαν· ταῦτα δὲ πάντα ἀνάγεται εἰς νοῦν καὶ ὄρεξιν. καὶ γὰρ ἡ φαντασία καὶ ἡ αἴσθησις τὴν αὐτὴν τῷ νῷ χώραν ἔχουσιν· κριτικὰ γὰρ πάντα . . βούλησις δὲ καὶ θυμὸς καὶ ἐπιθυμία πάντα ὄρεξις, ἡ δὲ προαίρεσις κοινὸν διανοίας καὶ ὀρέξεως· ὥστε κινεῖ πρῶτον τὸ ὀρεκτὸν καὶ τὸ διανοητικόν.

7) *Πλούταρχος*, Πότερα τῶν ζώων κτλ. 960 Ε κέξ.: Ἡ γὰρ φύσις, ἣν ἕνεκά του καὶ πρός τι πάντα ποιεῖν ὀρθῶς λέγουσιν, οὐκ ἐπὶ ψιλῷ τῷ πάσχον τι αἰσθάνεσθαι τὸ ζῶον αἰσθητικὸν ἐποίησεν· ἀλλ' ὄντων μὲν οἰκείων πρὸς αὐτὸ πολλῶν ὄντων δ' ἀλλοτρίων, οὐδ' ἀκαρὲς ἦν περιεῖναι μὴ μαθόντι τὰ μὲν φυλάττεσθαι τοῖς δὲ συμφέρεσθαι. τὴν μὲν οὖν γνῶσιν ἀμφοῖν ὁμοίως ἡ αἴσθησις ἑκάστῳ παρέχει· τὰς δ' ἑπομένας τῇ αἰσθήσει τῶν μὲν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δεικνύουσι τὰ τίκτοντα ποιάν τινα πρόνοιαν τῶν γεννωμένων 1).

ὠφελίμων λήψεις καὶ διώξεις, διακρούσεις δὲ καὶ φυγὰς τῶν ὀλεθρίων καὶ λυπηρῶν, οὐδεμία μηχανὴ παρεῖναι τοῖς μὴ λογίζεσθαί τι καὶ κρίνειν καὶ μνημονεύειν καὶ προσέχειν πεφυκόσιν — Καὶ παρακατιὼν 961 B: Ἀλλ' ὅταν γε τῷ ζώῳ πρὸς τὸ οἰκεῖον καὶ ταλλότριον ἡ αἴσθησις ἐνεργασαμένη διαφορὰν ἀπέλθῃ, τί τὸ μνημονεῦόν ἐστιν ἤδη καὶ δεδιὸς τὰ λυποῦντα καὶ ποθοῦντα τὰ ὠφέλιμα καί, μὴ παρόντων, ὅπως παρέσται μηχανώμενον ἐν αὐτοῖς καὶ παρασκευαζόμενον ὁρμητήρια καὶ καταφυγὰς καὶ θήρατρα πάλιν αὖ τοῖς ἁλωσομένοις καὶ ἀποδράσεις τῶν ἐπιτιθεμένων; — Περὶ τοῦ τὰ ἄλογα λόγῳ χρῆσθαι 991 E: Τῶν δὲ ζώων ἕκαστον . . αὐτότεχνόν ἐστιν . . πρὸς διατροφὴν καὶ πρὸς ἀλκὴν θήραν τε καὶ φυλακήν . . ὅσον ἑκάστῳ προσήκει κατὰ φύσιν. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 9: Πρῶτον μὲν ἕκαστον — ζῶον — οἶδεν εἴτε ἀσθενές ἐστιν εἴτε ἰσχυρόν καὶ τὰ μὲν φυλάττεται, τοῖς δὲ χρῆται . . ἄλλο δὲ ἄλλῳ χρῆται σῷζον ἑαυτὸ ἕκαστον . . καὶ πᾶν ὅσον τὸ πρὸς τὸ συμφέρον οἶδεν. — *Ἀριστοτέλης*, περὶ αἰσθήσεως καὶ αἰσθητῶν 436, 6, 10 καὶ ἑξ.: Τοῖς δὲ ζώοις, ᾗ μὲν ζῶον ἕκαστον, ἀνάγκη ὑπάρχειν αἴσθησιν . . πᾶσι μὲν τοῖς ἔχουσι σωτηρίας ἕνεκεν ὑπάρχουσιν, ὅπως διώκωσί τι προαισθανόμενα τὴν τροφὴν καὶ τὰ φαῦλα καὶ τὰ φθαρτικὰ φεύγωσιν. — *Αἰλιανός*, περὶ ζώων 2, 22: Αἱ ἀφύαι ἄγονται αἰτίᾳ θαυμαστῇ εἰς τὰ σωτήρια, ἔνθα ἔξουσι σκέπην καὶ πρόβλημα, ᾗ μέλλει βιώσιμα αὐτοῖς ἔσεσθαι. — *Σεμπλίκιος*, Ἐξήγ. εἰς τὸ Ἐπικτήτ. Ἐγχειρίδ. κεφ. 22, ἔκδ. Dübner, σελ. 78, στίχ. 5: Τῶν ἀλόγων ζώων τὰ ἀμφίβια, ὅσα καὶ ἐν ὕδατι καὶ ἐν γῇ πέφυκε διάγειν, φύσιν μὲν ἔχει τοιαύτην, κατὰ δὲ τὴν οἰκείαν ὄρεξιν μεθίσταται ἑκατέρωσε, οὐκ ἀναγκαζόμενα ὑπό τινος, ἀλλ' ὅταν αὐτὰ προθυμηθῇ. — *Γαληνός*, περὶ ἠθῶν, ἔκδ. Dietz, σελ. 119. ἔκδ. Ivan Müller, τόμ. 2, σελ. 20: Τὰ ζῶα πρὸς τὰς οἰκείας ἔρχονται τροφὰς ἀδιδάκτως ὑπὸ τῆς φύσεως ὠθούμενα, τὰ μὲν ὑποζύγια πρός τε τὰς βοτάνας καὶ τὰ ἄχυρα καὶ χιλὴν καὶ κριθήν, οἱ λέοντες δὲ πρὸς τὰς σάρκας, ὥσπερ καὶ παρδάλεις καὶ λύκοι. Ἴδε καὶ *Εὐσέβιον*, Προπαρασκευὴ Εὐαγγελικὴ 6, 10 καὶ ἑξ. *Ἀριστοτέλην*, περὶ τὰ ζῶα ἱστοριῶν 614, 6, 31. — *Θεμίστιον*, ἔνθ. ἀνωτ. 2, 2, σελ. 84, 6 καὶ ἑξ. 2, 3, σελ. 87, 6. — *Σέξτον τὸν Ἐμπειρικόν*, ἐν Πυρρωνείων ὑποτυπώσεων A. 65, ἔκδ. Bekker, σελ. 16. — *Αἰλιανόν*, περὶ ζώων 9, 16. — *Μάξιμον τὸν Τύριον*, λόγ. 35, 7.

1) *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 2, 16, ἐκδ. Potter, σελ. 468: Φυσικὴ ἡ πρὸς τὰ τέκνα φιλοστοργία τοῖς ζώοις. — *Πλούταρχος*, Πότερα τῶν ζώων κτλ. 981 F. Ἀλλ' ἥ γε πρόνοια κοινὴ τοῖς τίκτουσι τῶν γεννωμένων — Αὐτόθι 963 B'. Ἀπόδειξις τοῦ μετέχειν λόγου τὰ ζῶα εἰσὶ *προθέσεις* παρασκευαὶ μνῆμαι πάθη τέκνων ἐπιμέλειαι . . εὑρέσεις τῶν ἀναγκαίων. — Ἴδε αὐτόθι καὶ 962 A. 966 B. 971 C. 982 A. περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργίας 493 - 497 E — *Ἀριστοτέλην*, περὶ τὰ ζῶα ἱστοριῶν 588, 6, 32. — Ὁ δὲ Schuberth οἱονεὶ μεταφράζων ἐπαναλαμβάνει ἐν τῷ συγγράμματι αὐτοῦ Allgemeine Thierselenkunde (1863, σ. 318) πάντα τὰ ἀνωτέρω αὐτολεξεὶ οὕτω: « Wir fanden selbst bei den niedrigsten Thieren schon, dass Alle Wahl- und Willensfreiheit haben.. Wir fanden in ihnen schon Unterscheidungsgabe in Bezug auf Nahrung, Aufenthalt und Feinde, Gefühl für Wärme und Kälte, Empfindung des Schmerzes und der Freude, willkürlicke Bewegung und Ruhe, was stets eigenen selbständigen Willen voraussetzt, und selbst schon Spuren von Kinderliebe ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τὰ δὲ ἧττον ἀτελῆ τῶν ζώων ἔχουσιν ἤδη τὰ αἰσθητήρια τῆς γεύσεως, τῆς ὀσφρήσεως, τῆς ἀκοῆς καὶ τῆς ὁράσεως ἀρκετὰ ἀνεπτυγμένα 1). Ἔχουσιν αἴσθησιν τῶν χυμῶν, τῆς ὀσμῆς, τῶν ψόφων, τοῦ φωτὸς καὶ τῶν χρωμάτων 2). Ἔχουσι μνήμην 3) καὶ κρίσιν κατὰ

1) *Θεμίστιος*, Παράφρασις τῶν περὶ ψυχῆς Ἀριστοτέλους 3, 12, σελ. 227, 27: Φανερὸν ὅτι οὐχ οἷόν τε ἄνευ ἁφῆς εἶναι ζῶον, κἂν τέλειον κἂν ἀτελὲς ᾖ· τὰ γὰρ καλούμενα ζωόφυτα διὰ ταῦτα κεχοινώνηκε τοῦ ζῶά πως εἶναι, αἱ δὲ ἄλλαι τοῦ ὧν ἕνεκα καὶ γένει ζώων ἤδη οὐ τῷ τυχόντι, ἀλλὰ τοῖς τελειοτέροις καὶ πορευτικοῖς. Ταῦτα γὰρ εἰ μέλλει σώζεσθαι δεῖ πόρρωθεν προαισθάνεσθαι, ἅ τε φευκτέον αὐτοῖς καὶ διωκτέον· διόπερ ἀκοὴ καὶ ὄψις καὶ ὄσφρησις πρὸς τοῦτο αὐτοῖς ὑπηρετοῦσιν. Ἴδ. αὐτόθ. καὶ 3, 13, σελ. 231, 13.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 532, 6, 29 καὶ ἑξ: Περὶ τῶν αἰσθήσεων νῦν λεκτέον· οὐ γὰρ ὁμοίως πᾶσιν ὑπάρχουσιν, ἀλλὰ τοῖς μὲν πᾶσαι, τοῖς δ' ἐλάττους. Εἰσὶ δ' αἱ πλεῖσται, καὶ παρ' ἃς οὐδεμία φαίνεται ἴδιος ἑτέρα, πέντε τὸν ἀριθμόν, ὄψις, ἀκοή, ὄσφρησις, γεῦσις, ἁφή· ἄνθρωπος μεν οὖν καὶ τὰ ζωοτόκα καὶ πεζὰ πρὸς δὲ τούτοις καὶ ὅσα ἔναιμα καὶ ζωοτόκα πάντα φαίνεται ἔχοντα ταύτας πάσας πλὴν εἴ τε πεπήρωται γένος . . τὰ δ' ἄλλα καὶ τῶν χρωμάτων αἴσθησιν ἔχει καὶ τῶν ψόφων, ἔτι δὲ ὀσμῆς καὶ χυμῶν. Τὴν δὲ πέμπτην αἴσθησιν τὴν ἁφὴν καλουμένην καὶ ταῦλα πάντα ἔχει ζῶα.— *Αὐτόθ.* 533, α, 25 κἑξ. Ἐν δὲ τοῖς ἐνύδροις . . ὅτι αἰσθάνονται γευόμενα φανερόν· ἰδίοις τε γὰρ πολλὰ χαίρει χυμοῖς . . ὅτι δὲ ἀκούουσι καὶ ὀσφραίνονται φανερόν· τοὺς γὰρ ψόφους φεύγοντα φαίνονται τοὺς μεγάλους . . ὁμοίως δὲ καὶ περὶ ὀσφρήσεως ἔχει. τοῦ τε γὰρ μὴ προσφάτου δελέατος οὐκ ἐθέλουσιν ἅπτεσθαι οἱ πλεῖστοι τῶν ἰχθύων, τοῖς τε δελέασιν οὐ τοῖς αὐτοῖς ἁλίσκονται πάντες, ἀλλ' ἰδίοις διαγινώσκοντες τῷ ὀσφραίνεσθαι . . Ὅτι μὲν πάσας ταύτας τὰς αἰσθήσεις ταῦτα τὰ ζῶα ἔχει φανερόν· τὰ δὲ λοιπὰ γένη τῶν ζώων . . τά τε μαλάκια καὶ τὰ μαλακόστρακα καὶ τὰ ἔντομα ἔχει πάσας τὰς αἰσθήσεις· καὶ γὰρ ὄψιν ἔχει καὶ ὄσφρησιν καὶ γεῦσιν . . τὰ ὀστρακόδερμα ὄσφρησιν μὲν καὶ γεῦσιν ἔχει . . περὶ δὲ ὄψεως καὶ ἀκοῆς βέβαιον μὲν οὐδέν ἐστιν οὐδὲ λίαν φανερόν· δοκοῦσι δὲ οἵ τε σωλῆνες ἄν τις ψοφήσῃ, καταδύεσθαι. . καὶ οἱ κτένες, ἐάν τις προσφέρῃ τὸν δάκτυλον, χάσκουσι καὶ συμμύουσιν ὡς ὁρῶντες. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 4, ἔκδ. Potter, σελ. 45: Τινὰ τῶν ζώων οὐχὶ πάσας ἔχει τὰς αἰσθήσεις, ὥσπερ εὐλαὶ καὶ κάμπαι, καὶ ὅσα διὰ τῆς πρώτης γενέσεως εὐθὺς ἀνάπηρα φαίνεται, καθάπερ οἱ ἀσπάλακες καὶ ἡ μυγαλῆ . . ἔχουσιν μίαν γέ τινα, φέρε εἰπεῖν ἀκουστικὴν ἢ ἁπτικήν, ἢ τὴν ἀναλογοῦσαν τῇ ὀσφρήσει, ἢ τῇ γεύσει. . πολλὰ δ' ἐστὶ τῶν ζώων, ὅσα οὐδὲ ὅρασιν ἔχει, οὔτε ἀκοήν, οὔτε μὴν φωνήν, οἷον τὸ τῶν ὀστρέων γένος, ἀλλὰ ζῇ γε καὶ αὔξεται, πρὸς δὲ καὶ τῇ σελήνῃ συμπάσχει. — *Αὐτόθ.* Παιδαγωγὸς 5, 11, ἔκδ. Potter, σελ. 300: Τοὺς πολύποδας ταῖς πέτραις φασὶν ἐξομοιουμένους· αἷς ἂν προσομιλῶσιν, τοιούτους φαίνεσθαι καὶ τὴν χροιάν. Ἴδ. καὶ *Ἀριστοτέλην* ἐν τῷ περὶ ψυχῆς 419, α, 15. 421, 6, 10. 421, α, 13. 434, 6, 22. 435, 6, 19. — Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 444, 6, 7 καὶ ἑξ. — Περὶ τὰ ζῶα ἱστοριῶν 622, α, 8-14. ἀποσπ. 39, σελ. 1481, α, 10. — *Πλούταρχον*, Πότερα τῶν ζώων κτλ. 966 F. — *Θεμίστιον* ἐν παραφράσει τοῦ περὶ ψυχῆς Ἀριστοτέλους 2, 9, σελ. 124, 17. 3, 1, σελ. 149, 8. 2, 7, σελ. 115, 3. 2, 9, σελ. 126, 20 καὶ 27. — Ἐν παραφράσει τοῦ περὶ ὕπνου καὶ ἐγρηγόρσεως τοῦ Ἀριστοτέλους κεφ. 2, σελ. 260, 9 καὶ *Αἰλιανὸς*, περὶ ζώων 1, 23.

3) *Ἀριστοτέλης*, περὶ μνήμης καὶ ἀναμνήσεως 450, α, 12-15: Ἡ μνήμη . . καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸ μᾶλλον καὶ ἧτον ὀξεῖαν 1). Ἔχουσι συνείδησιν τοῦ χρόνου 2) καὶ ἑτέροις τισὶ ὑπάρχει τῶν ζώων καὶ οὐ μόνον ἀνθρώποις καὶ τοῖς ἔχουσι δόξαν ἢ φρόνησιν.—Μετὰ τὰ φυσικὰ 980, α, 27: Φύσει μὲν οὖν αἴσθησιν ἔχοντα γίνεται τὰ ζῶα, ἐκ δὲ τῆς αἰσθήσεως τοῖς μὲν αὐτῶν οὐκ ἐγγίγνεται μνήμη, τοῖς δ' ἐγγίγνεται· καὶ διὰ τοῦτο ταῦτα φρονιμώτερα καὶ μαθητικώτερα τῶν μὴ δυναμένων μνημονεύειν. — Περὶ μνήμης καὶ ἀναμνήσεως 449, 6, 28: Ὅσα χρόνου αἰσθάνονται, ταῦτα μόνα τῶν ζώων μνημονεύει — Περὶ τὰ ζῶα ἱστοριῶν 488, 6, 25: Μνήμης .. πολλὰ κοινωνεῖ. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 10: Καίτοι ἐπὶ τῶν ἄλλων ζώων .. τὰ πολλά .. ἔχει μνήμην, ἥπερ εἰς ἀνάληψιν λογισμοῦ καὶ φρονήσεως ἐτύγχανεν οὖσα κυριωτάτη.— *Πλούταρχος*, Πότερα τῶν ζώων κτλ. 975 Ε: Ἡ δὲ θάλασσα μικρὰ κατιδεῖν καὶ γλίσχρα δίδωσι· τῶν δὲ πλείστων κατακαλύπτει γενέσεις καὶ τροφὰς ἐπιθέσεις τε, καὶ φυλακὰς ἀλλήλων, ἐν αἷς οὐκ ὀλίγα καὶ συνέσεως ἔργα καὶ μνήμης καὶ κοινωνίας. — Ἰδ. καὶ *Ἀριστοτέλ.* περὶ αἰσθήσεως καὶ αἰσθητῶν 136, α, 9. — *Πλούταρχ.* ἐνθ. ἀνωτερ. 960 F. 961 B καὶ C. 966 B.— *Θεμίστιον* ἐν τῇ παραφράσει εἰς τὸ περὶ μνήμης καὶ ἀναμνήσεως Ἀριστοτέλ. κεφ. 2, σελ. 253, 6. κεφ. 1, σελ. 234, 7. 236, 20 — Τὰ αὐτὰ τούτοις περὶ τῆς μνήμης τῶν ζώων καὶ ὁ Romanes, ἔνθ. ἀνωτ. σελ. 127 - 130 καὶ δὴ περὶ τῆς μνήμης τῶν κοχλιῶν καὶ τῶν πολυπόδων σελ. 128. περὶ τῆς μνήμης τῶν κανθάρων, τῶν μυῶν, τῶν ἰχθύων, τῶν βατράχων, τῶν χελωνῶν σελ. 129, περὶ τῆς ἰσχυροτάτης μνήμης τῶν πτηνῶν σελ. 130.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 612, 6, 18: Ὅλως δὲ περὶ τοὺς βίους πολλὰ ἂν θεωρηθείη μιμήματα τῶν ἄλλων ζώων τῆς ἀνθρωπίνης ζωῆς, καὶ μᾶλλον ἐπὶ τῶν ἐλαττόνων ἢ μειζόνων ἴδοι τις ἂν τὴν τῆς διανοίας ἀκρίβειαν, οἷον πρῶτον ἐπὶ τῶν ὀρνίθων ἡ τῆς χελιδόνος σκηνοπηγία. — *Πλούταρχος*, Πότερα τῶν ζώων κτλ. 960 F: Τὰς ἐπομένας τῇ αἰσθήσει τῶν μὲν ὠφελίμων λήψεις καὶ διώξεις, διακρούσεις δὲ καὶ φυγὰς τῶν ὀλεθρίων καὶ λυπηρῶν οὐδεμία μηχανὴ παρεῖναι τοῖς *μὴ λογίζεσθαί τε καὶ κρίνειν καὶ μνημονεύειν καὶ προσέχειν πεφυκόσιν*. Ἰδ*εαυτόθι* 982 D. Πρβλ. καὶ *Σέξτον Ἐμπειρικόν* ἐν Πυρρωνείων ὑποτυπώσεων Α. 65 καὶ ἐξ.ἐκδ. Bekker, σελ. 16. *Ἀριστοτέλην* περὶ ψυχῆς 418, α, 14. Περὶ ὕπνου καὶ ἐγρηγόρσεως 455 α, 17. — *Θεμίστιον* περὶ ψυχῆς κτλ. 3, 4, σελ. 177, 6. — *Αἰλιανὸν* περὶ ζώων 9, 3. — Τὰ αὐτὰ καὶ ὁ Wundt, ἔνθ. ἀνωτ. τόμ. 1, σελ. 23: «Auch in den Thieren beoachten wir ja Erscheinungen, die auf ein Empfinden, Füllen, Vorstellen und *sogar auf ein Denken hinweisen*.

2) *Ἀριστοτέλης*, περὶ μνήμης καὶ ἀναμνήσεως 449, 6, 29. 22: Ὅσα χρόνου αἰσθάνεται ταῦτα μόνα τῶν ζώων μνημονεύει .. ἀεὶ γὰρ ὅταν ἐνεργῇ κατὰ τὸ μνημονεύειν, οὕτως ἐν τῇ ψυχῇ λέγει, ὅτι πρότερον τοῦτο ἤκουσεν ἢ ἥσθετο ἢ ἐνόησεν. — *Αὐτόθ.* 450, α, 18: Μνήμη οὐ πᾶσι τοις ζώοις διὰ τὸ μὴ πάντα χρόνου αἴσθησιν ἔχειν. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 9: Τὰ ζῶα ἀμείβει καὶ τόπους κατὰ τὰς ὥρας. — *Πλούταρχος*, Πότερα τῶν ζώων κτλ. 982 Β καὶ ἑξ: Θαυμαστὴ δὲ καὶ ἡ τῆς χελώνης περὶ τὴν γένεσιν καὶ τὴν σωτηρίαν τῶν γεννωμένων ἐπιμέλεια· τίκτει μὲν γὰρ ἐκβαίνουσα τῆς θαλάττης πλησίον· ἐπῳάζειν δὲ μὴ δυναμένη μηδὲ χερσεύειν πολὺν χρόνον ἐντίθησι τῇ ψάμμῳ τὰ ᾠά .. ἡμέραν δὲ ἐπιφυλάξασα τεσσαρακοστήν, ἐν τοσαύταις γὰρ ἐκπέττεται καὶ περιρρύγνυται τὰ ᾠά, πρόσεισι καὶ γνωρίσασα τὸν ἑαυτῆς ἑκάστη θησαυρόν .. ἀσμένως ἀνοίγει καὶ προθύμως. — *Θεμίστιος*, Παράφρασις τῶν περὶ ψυχῆς Ἀριστοτέλους 3, 10, σελ. 220, 19: Ἐν μύρμηξι καὶ μελίτταις καὶ τοῖς ἀποθησαυρίζουσι τὴν τροφὴν ἔστι πως καὶ τοῦ μέλλοντος αἴσθησις χρόνου. — *Αὐτόθ.* περὶ μνήμης καὶ ἀναμνήσεως, κεφ. 1, σελ. 236, 18. Πρβλ. καὶ Πλούταρχ. Πότερα κτλ. 973 F.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μνήμην τοῦ τόπου 1). Ἔχουσι συνείδησιν τῶν ἀποστάσεων 2) καὶ τῆς διαφόρου χρησιμότητος τῶν διαφόρων τόπων 3). Ἔχουσιν αἴσθησιν τῶν τόνων καὶ τῶν ῥυθμῶν 4). Γνωρίζουσι τὴν μητέρα αὐτῶν ἐκ γενετῆς 5). Γνωρίζουσι τὰ ὁμογενῆ καὶ ὁμόφυλα καὶ συζῶσι μετ' αὐτῶν ὡς ἐπὶ τὸ πολὺ λίαν εὐχαρίστως 6). Ἀναγνωρίζουσι καὶ μετὰ παρέλευσιν πολλοῦ χρόνου τὸν τόπον τῆς γεννήσεως αὐτῶν 7). Ἡ γε-

1) *Αἰλιανός*, περὶ ζώων 6, 10: Μέμνηται δ' ὧν πάσχει τὰ ζῶα.. ἔνθα γοῦν ἀφῃρέθη ἡ βοῦς τὸν μόσχον, ἐνταῦθα ἐλθοῦσα ὠδύρατο μυκηθμῷ συντρόφῳ τὸ πάθος. — *Αὐτόθ.* 8, 23: Ἀστακὸν εἰ λάβοις καὶ πορρωτάτω κομίσειας.. εὑρίσκεις τὸν αὐτὸν ἐνταῦθα ἔνθα συνείληπται. — Ἴδ. αὐτόθ. 3, 23. Τὰ αὐτὰ περὶ τῶν αὐτῶν καὶ ὁ *Romanes*, ἔνθ. ἀνωτ. σελ. 154 «Ebenso muss die Schlüsselmuschel welche von ihrer Nahrungssuche nach Hause zurückehrt notwendigerweise eine schwache Erinnerung der betreffenten Oertlichkeit besitzen. — Τὸ αὐτὸ παρατηρεῖ καὶ ὁ *Lousdales* περὶ τοῦ κοχλίου (Romanes, σελ. 128 ἐν ἀρχῇ) καὶ περὶ ἄλλων ἔτι ἀτελεστέρων ζώων ἐπιστρεφόντων εἰς τὰς κατοικίας αὐτῶν μετὰ τὴν ἀναζήτησιν καὶ εὕρεσιν τροφῆς αὐτόθ. 127. Περὶ τῶν βατράχων ἐπανερχομένων εἰς τὰς κατοικίας των αὐτόθ. σελ. 162 ἐν τέλει, ἔτι σελ. 318 κέξ.

2) *Πλούταρχος*, Πότερα τῶν ζώων κτλ. 982 C: Τῶν δὲ κροκοδείλων τῆς χώρας ὁ στοχασμὸς ἐπίνοιαν ἀνθρώπῳ τῆς αἰτίας οὐ δίδωσιν οὐδὲ συλλογισμόν.. οὔτε γὰρ πλέον οὔτε ἔλαττον ἑκβὰς ἀλλ' ὅσον εἰς ὥραν ἔτους ὁ Νεῖλος αὐξηθεὶς ἐπικλύσει καὶ ἐπικρύψει τῆς γῆς, ἐκεῖ τὰ ᾠὰ τίθησιν.. οὕτω συνεμετρήσατο, μὴ βρεχομένων αὐτὸς βρεχόμενος ἐπῳάζει.

3) *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 3, 10: Τὰ ζῶα.. τόπου προνοεῖ οὗ μέλλουσι τίκτειν. — *Αἰλιανός*, περὶ ζώων 2, 49: Λέγει Ἀριστοτέλης εἰδέναι τοὺς κόρακας διαφορὰν γῆς εὐδαίμονός τε καὶ λυπρᾶς, καὶ ἐν μὲν τῇ παμφόρῳ τε καὶ πολυφόρῳ κατά τε ἀγέλας καὶ πλήθει φέρεσθαι, ἐν δὲ τῇ ἀγόνῳ καὶ τῇ στερίφῃ κατά δύο. — Πρβλ. *Ἀριστοτέλ.* περὶ τὰ ζῶα ἱστ. 618, 6, 9 — Περὶ θαυμασίων ἀκουσμάτων 126, σελ. 842, 6, 10.

4) *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 4, 6: Σωφρονίζονται καὶ μέλεσιν καὶ ἥμεροι ἐξ ἀγρίων γίγνονται ἔλαφοι καὶ ταῦροι καὶ ἕτερα ζῶα.

5) *Αἰλιανός*, περὶ ζώων 5, 25: Οἱ ἄρνες περὶ τὰς μητέρας πηδῶσιν ἀπό γενεᾶς καὶ ἴσασι τὸ ὀθνεῖον καὶ τὸ οἰκεῖον.

6) *Αἰλιανός*, περὶ ζώων 5, 25: Ἴσασι τὸ οἰκεῖον καὶ τὸ ὀθνεῖον. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 610, 6, 1: Συναγελάζονται πολλάκις τὰ ὁμόγονα. — *Πλούταρχος*, ἔνθ. ἀνωτ. 979 F. 980 A. Θύννοι πάνυ χαίρουσι τῷ συντρέφεσθαι καὶ συναγελάζεσθαι μετ' ἀλλήλων.. τῶν δ' ἄλλων γενῶν ὅσα φαίνεται καὶ ζῇ κοινωνικῶς μετ' ἀλλήλων ἀγεληδὸν οὐκ ἂν τις εἴποι τὸν ἀριθμόν. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 2, 16: Φυσικὴ ἡ πρὸς τὰ τέκνα φιλοστοργία τοῖς ζώοις, ἥ τε ἐκ συνηθείας τοῖς ὁμογνώμοσι φιλία. — *Ξενοφῶν*, Ἀπομνημονεύματα 2, 3, 4: Καὶ τοῖς θηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρόφων. — Ἴδ. καὶ *Αἰλιανὸν* 7, 27. 4, 30: *Πλούταρχ.* Πότερα κτλ. 977 C. *Ἀριστοτέλ.* ἔνθ. ἀνωτ. 611 α, 3.

7) *Αἰλιανός*, ἔνθ. ἀνωτ. 3, 23: Προσακούω δὲ τοὺς πελαργοὺς καὶ αὐτοὺς συμφεύγειν τοῖς γεράνοις καὶ συναποδιδράσκειν τὸν χειμῶνα· τῆς ὥρας δὲ τῆς κρυμώδους διελθούσης, ὅταν ὑποστρέψωσιν εἰς τὰ ἴδια καὶ οἴδε καὶ αἵδε, τὴν ἑαυτῶν ἕκαστος καλιὰν ἀναγνωρίζουσιν, ὡς τὴν οἰκίαν ἄνθρωποι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νετήσιος ὁρμὴ φαίνεται ἤδη καθ' ὡρισμένας ὥρας τοῦ ἔτους σαφῶς ἐκδεδηλωμένη καὶ ἥκιστα ἀσθενῶς ἐστιν ὅτε ἐξεγηγερμένη 1). Ὁ κόσμος τῶν συναισθημάτων αὐτῶν ἄρχεται μικρὸν κατὰ μικρὸν νὰ διευκρινίζηται καὶ εἰς ὡρισμένους τύπους νὰ διατυποῦται· ἥδονται δηλ. καὶ χαίρουσι καὶ λυποῦνται 2). Ἡ πρὸς τὰ ὁμόφυλα αὐτῶν ἀγάπη εἶνε ἰσχυρά 3). Ἡ συζυγικὴ ἀφοσίωσις καὶ ἀγάπη πολλαχοῦ μὲν σφοδρὰ ἐπίδηλος 4), ἐνιαχοῦ δὲ καὶ ἐξυψουμένη μέχρι τοῦ ἀκροτάτου τῆς τελειότητος 5). Ἡ πρὸς τὰ ἔκγονα φιλοστοργία ἐξυψοῦται καὶ ἐπιλαμπρύνεται 6). Τὰ πάθη ἄρ-

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 588, 6, 21: Ἀεὶ δὲ κατὰ μικρὰν διαφορὰν ἕτερα πρὸ ἑτέρων ἡδη φαίνεται μᾶλλον ζωὴν ἔχοντα καὶ κίνησιν. καὶ κατὰ τὰς τοῦ βίου δὲ πράξεις τὸν αὐτὸν ἔχει τρόπον. τῶν τε γὰρ φυτῶν ἔργον οὐδὲν ἄλλο φαίνεται πλὴν οἷον αὐτὸ ποιῆσαι πάλιν ἕτερον, ὅσα γίνεται διὰ σπέρματος, ὁμοίως δὲ καὶ τῶν ζώων ἐνίων παρὰ τὴν γένεσιν οὐδέν ἐστιν ἄλλο λαβεῖν ἔργον· διόπερ αἱ μὲν τοιαῦται πράξεις κοιναὶ πάντων εἰσί· προσούσης δὲ αἰσθήσεως ἤδη, περί τε τὴν ὀχείαν διὰ τὴν ἡδονὴν διαφέρουσιν αὐτῶν οἱ βίοι, καὶ περὶ τοὺς τόκους καὶ τὰς ἐκτροφὰς τῶν τέκνων. — *Αὐτόθ.* 542, α, 19: Ὧραι δὲ καὶ ἡλικίαι ταῖς ὀχείαις ἑκάστοις εἰσὶν ὡρισμέναι τῶν ζώων. βούλεται μὲν ἡ φύσις τῶν πλείστων περὶ τὸν αὐτὸν χρόνον ποιεῖσθαι τὴν ὁμιλίαν ταύτην, ὅταν ἐκ τοῦ χειμῶνος μεταβάλλῃ πρὸς τὸ θέρος· αὕτη δ' ἐστὶν ἡ τοῦ ἔαρος ὥρα, ἐν ᾗ τὰ πλεῖστα καὶ πτηνὰ καὶ πεζὰ καὶ πλωτὰ ὁρμᾷ πρὸς συνδυασμόν. — *Ξενοφῶν*, Ἀπομνημονεύματα 1, 4, 12: Τὸ δὲ καὶ τὰς τῶν ἀφροδισίων ἡδονὰς τοῖς μὲν ἄλλοις ζώοις δοῦναι περιγράψαντας τοῦ ἔτους χρόνου κτλ. — *Αἰλιανός*, περὶ ζώων 10, 27: Πτοίαν ἐς ἀφροδίσια ἰσχυρὰν ἔχει βοῦς θῆλυς, καὶ ὀργᾷ τοῦ ἄρρενος μᾶλλον. ἀκούσασα γοῦν τοῦ μυκήματος εἰς τὴν μῖξιν θερμότατα ἐξηνέμωται καὶ ἐκπέφληκται. Ἴδε καὶ *Ἀριστοτέλην*, ἔνθ. ἀνωτ. 539, 6, 17 - 546, 6, 15. 633, α, 9. 536, α, 13. 571, 6, 18 - 572, 6, 26. — *Πλούταρχον*, Πότερα κτλ. 982 E. — *Αἰλιανόν*, ἰδίως 9, 63, εἶτα δὲ καὶ 1, 26 καὶ 50. 4, 9. 31 καὶ 34. 10, 2.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 588, 6, 29: Προσούσης δ' αἰσθήσεως ἤδη περὶ τὴν ὀχείαν διὰ τὴν ἡδονὴν διαφέρουσιν αὐτῶν οἱ βίοι. — *Αὐτόθ.* 535, α, 12. Ὅσα ἔχει στόμα χαίρει καὶ λυπεῖται τῇ τῶν χυμῶν ἅψει. — *Ἐπίκτητος*, ἀπόσπ. 36: Οἱ τέττιγες μουσικοί· οἱ δὲ κοχλίαι ἄφωνοι· χαίρουσι δὲ οἱ μὲν ὑγραινόμενοι, οἱ δὲ ἀλεαινόμενοι· ἔπειτα προκαλεῖται τοὺς μὲν ἡ δρόσος, καὶ ἐπὶ ταύτῃ ἐκδύνουσι τοὺς δ' αὖ διεγείρει ἀκμάζων ὁ ἥλιος, καὶ ἐν αὐτῷ ᾄδουσι.

3) *Αἰλιανός*, περὶ ζώων, 4, 30: Οἱ κολοιοὶ δεινῶς φιλοῦσι τὸ ὁμόφυλον. — *Αὐτόθ.* 7, 27: Τὰ πρόβατα φιλεῖ ἄλληλα ἰσχυρῶς.

4) *Αἰλιανός*, περὶ ζ. 9, 63: Ἰχθύων τινὲς καὶ συνοικοῦσιν ὡς γαμεταῖς καὶ φυλάττουσιν αὐτάς. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 599 6, 6: Κατὰ συζυγίας δὲ οἱ πέτραιοι ἰχθύες φωλοῦσιν οἱ ἄρρενες τοῖς θήλεσιν. ὥσπερ καὶ νεοττεύουσιν, οἷον κίχλαι κάττυφοι πέρκαι. — *Αἰλιανός*, περὶ ζ. 9, 53: Ἀλῶνται δὲ ἄρα ἰχθῦς, καὶ πλανῶνται οἱ μὲν ἀθρόοι.. ἤδη δὲ νήχονται καὶ κατὰ ζεύγη τινές.

5) *Αἰλιανός*, περὶ ζ. 1, 13: Ὁ ἰχθὺς ὁ καλούμενος Αἰτναῖος ἐπὰν τῇ ἑαυτοῦ συννόμῳ, οἱονεὶ γαμετῇ τινι συνδυασθεὶς κληρώσηται τὸ λέχος, ἄλλης οὐχ ἅπτεται — Ἴδ. καὶ *Πορφύρ.* περὶ ἀποχ. 3, 10. *Αἰλιαν.* 1, 13. 3, 5, 9. *Πλούταρχ.* πότερα κτλ. 982 F - 983 C.

6) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 588, 6, 30: Τῶν ζώων.. τὰ μὲν ἁπλῶς ὥσπερ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χονται νὰ διακρίνωνται καὶ ὡς φόβος 1) καὶ φρίκη 2) καὶ ἔκπληξις 3)

φυτά, κατὰ τὰς ὥρας ἀποτελεῖ τὴν οἰκείαν γένεσιν· τὰ δὲ καὶ περὶ τὰς τροφὰς ἐκπονεῖται τῶν τέκνων· ὅταν δὲ ἀποτελέσῃ, χωρίζονται καὶ κοινωνίαν οὐδεμίαν ἔτι ποιοῦνται· τὰ δὲ συνετώτερα καὶ κοινωνοῦντα μνήμης ἐπὶ πλέον καὶ πολιτικώτερον χρῶνται τοῖς ἀπογόνοις. — *Πλάτων*, Συμπόσιον 207 A: Οὐκ αἰσθάνει ὡς δεινῶς διατίθεται πάντα τὰ θηρία, ἐπειδὰν γενναῖν ἐπιθυμήσῃ καὶ τὰ πεζὰ καὶ τὰ πτηνὰ νοσοῦντά τε πάντα καὶ ἐρωτικῶς διατιθέμενα, πρῶτον μὲν περὶ τὸ ξυμμιγῆναι ἀλλήλοις, ἔπειτα περὶ τὴν τροφὴν τοῦ γενομένου, καὶ ἑτοῖμά ἐστιν ὑπὲρ τούτων καὶ διαμάχεσθαι τὰ ἀσθενέστατα τοῖς ἰσχυροτάτοις καὶ ὑπεραποθνήσκειν, καὶ αὐτὰ τῷ λιμῷ παρατεινόμενα ὥστ' ἐκεῖνα ἐκτρέφειν, καὶ ἄλλο πᾶν ποιοῦντα; — *Πλούταρχος*, περὶ τῆς εἰς τὰ ἔγκονα κτλ. 494 D - F: Καθόλου γὰρ ἡ πρὸς τὰ ἔγκονα φιλοστοργία καὶ τολμηρὰ τὰ δειλὰ ποιεῖ καὶ φιλόπονα τὰ ῥᾴθυμα καὶ φειδωλὰ τὰ γαστρίμαργα . . καὶ ἂν μέν τι περὶ αὐτῶν φοβηθῶσι, φεύγουσιν, ἂν δὲ περὶ τῶν τέκνων, ἀμύνονται καὶ διαμάχονται παρὰ δύναμιν. — *Ἰωάννης ὁ Στοβαῖος*, Ἀνθολόγιον 75, 13: Ἀλλὰ μὴν μάχεταί γε πᾶν ζῷον διαφερόντως παρόντων ὧν ἂν τέκῃ. — Ἔτι ἴδ. καὶ *Ἀριστοτέλ.* Ἠθικὰ Εὐδήμια 1235, a, 33 — Περὶ τὰ ζῶα ἱστ. 612, 6, 27. 35. 613, 6, 13. 614, 6, 33. — *Ξενοφῶντ.* Ἀπομνημον. 1, 4, 7 — Κυνηγετικ. 9, 6. 9. — *Πλούταρχος*, Πότερα κτλ. 962 F. 970 E. 982 F — Περὶ τοῦ τὰ ἄλογα κτλ. 987 F. 988 B. 983 B. — *Πορφύρ.* περὶ ἀποχῆς ἐμψ. 3, 10. — *Αἰλιαν.* περὶ ζ. 2, 40. 3, 23. 9, 3. 10, 16. 11, 38. 12, 14. 13, 11. *Ἀρριαν.* Ἐπικτήτου διατριβαὶ 1, 23, 7 καὶ 8. — Ἔπιθ. προσέτι τήν τε ἀνωτέρω ἐν σελ. 39 ὑποσελ. σημ. 1 καὶ τὴν ἐπανάληψιν πάντων τούτων παρά τε Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 190 - 192 καὶ παρ' Oppel, ἔνθ. ἀν. σελ. 10 - 11.

1) *Ἀριστοτέλης*, περὶ ψυχῆς 403, a, 16: Ἔοικε δὲ καὶ τὰ τῆς ψυχῆς πάθη πάντα εἶναι μετὰ σώματος, θυμός, πραότης, φόβος, ἔλεος, θάρσος· ἔτι χαρὰ καὶ τὸ φιλεῖν τε καὶ μισεῖν — Πορφύριος, περὶ ἀποχῆς ἐμψύχων 3, 19: Τὰ ζῶα αἰσθάνεσθαι πέφυκε καὶ ἀλγεῖν καὶ φοβεῖσθαι καὶ βλάπτεσθαι — *Αἰλιανός*, περὶ ζώων 9, 41: Οἱ μῦς οἱ κατὰ τὴν οἰκίαν φοβοῦνται κτύπον. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 533, 6, 28: Οἱ ἰχθύες τὸν ψόφον καὶ τὸν θόρυβον ἀκούοντες ἐμπίπτουσι τοῖς δικτύοις διὰ τὸν φόβον — *Αὐτόθ.* 621, 6, 31: Ὁ πολύπους καὶ ἡ τευθὶς διὰ φόβον ἀφίησι τὸν θόλον — *Αὐτόθ.* 622, a, 10: Ὁ πολύπους . . θηρεύει τοὺς ἰχθῦς τὸ χρῶμα μεταβάλλων καὶ ποιῶν ὅμοιον οἷς ἂν πλησιάζει λίθοις. τὸ αὐτὸ τοῦτο ποιεῖ καὶ φοβηθείς. — *Αὐτόθ.* 590, 6, 16: Οἱ κάραβοι . . ἂν τοὺς πολύποδας ὄντας πλησίον ἐν ταὐτῷ δικτύῳ αἴσθωνται, ἀποθνήσκουσι διὰ τὸν φόβον. — Ἔτι ἴδ. καὶ *Ἀριστοτέλ.* περὶ ψυχῆς 403, 6, 18. — Περὶ τὰ ζῶα ἱστορ. 545, a, 1. 590, 6, 28. 591, 6, 3. 608, 6, 31. 620, 6, 2. 621, 6, 30. — *Ξενοφ.* Κυνηγετ. 6, 25.

2) *Αἰλιανός*, περὶ ζώων 10, 24: Ὁ κροκόδειλος πέφρικε τοὺς κτύπους πάντας — 9, 41: Οἱ μῦς οἱ κατὰ τὴν οἰκίαν . . τὴν γαλῆν πεφρίκασιν — 13, 11: Ὁ λαγὼς πέφρικε . . τὰς ἐκ τῶν ὀρνίθων ἐπιδρομάς . . φωνὴν δὲ κοράκων καὶ ἀετῶν μᾶλλον — 5, 50: Οἱ ὄρνεις οἱ ἠθάδες . . γαλῆν κρίξασαν πεφρίκασιν — 3, 45: Αἱ περιστεραὶ τοὺς ἁλιαέτους καὶ τοὺς κίρκους περφρίκασι. — Ὅμηρος Ἰλ. Λ 383: Οἵ τε σε περφρίκασι λέονθ' ὡς μηκάδες αἶγες. — Ἴδε καὶ Αἰλιανὸν ἔνθ. ἀν. 5, 24. 8, 16. 9, 36. 57. 16, 36. Τὰ αὐτὰ καὶ ὁ Romanes ἐν σελ. 212.

3) *Ἀρριανός*, Κυνηγετ. 21, 2: Ὁ λαγὼς ὑπὸ τῆς κλαγγῆς τῶν κυνῶν ἐκπλήσσεται. — *Ξενοφῶν*, Κυνηγετικὸς 5, 9: Οἱ λαγοὶ . . ὑπὸ τῶν κυνῶν ἔμπληκτοι γίγνονται. — Ἴδ. καὶ *Ἀρριαν.* Κυνηγ. 7, 3. 15, 1. — *Ξενοφ.* περὶ ἱππ. 10, 2. — *Αἰλιαν.* 16. 25.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ὀργὴ 1) καὶ μανία 2) σαφῶς ἤδη νὰ προφαίνωνται. Κοιμῶνται δὲ ἤδη καθ' ὥρας ὡρισμένας καὶ εἰς μέρη πρὸς τοῦτο κατάλληλα, ὑπ' αὐτῶν τῶν ἰδίων ἐκλεγόμενα 3).

Τὰ δὲ τελειότερα τῶν ζώων, ὡς ὀρθῶς παρατηρεῖ ὁ Ἀριστοτέλης, ἔν τισιν ὑπερέχουσιν, ἐν ἄλλοις ὑπολείπονται, ἐν ἄλλοις ταὐτίζονται καὶ ἐν ἄλλοις προσομοιάζουσι τοῖς ἀνθρώποις 4).

1) *Πορφύριος*, ἔνθ. ἀν. 3, 25: Τὰς ἐν τοῖς ζώοις ψυχάς — λέγω — ἀδιαφόρους, πεφυκέναι, λέγω δὴ ταῖς ἐπιθυμίαις καὶ ταῖς ὀργαῖς, ἔτι δὲ τοῖς λογισμοῖς καὶ μάλιστα πάντων ταῖς αἰσθήσεσιν. — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 16: Οἱ πέρδικες εἰς ὀργὴν ἀλλήλους ἐξάπτουσι, καὶ παίουσί τε καὶ παίονται πικρότατα. — Ἴδε καὶ *Ἀριστοτέλην* περὶ αἰσθήσ. καὶ αἰσθητῶν 436, α, 9 — Περὶ τὰ ζῷα ἱστορ. 588, α, 18. 488, α, 13. — Περὶ ψυχῆς 403, α, 7.

2) *Πλούταρχος*, Πότερα κτλ. 963 D: Ἀλλὰ μὴν ἐντετύχηκάς γε λυττώσσαις κυσίν, ἐγὼ δὲ καὶ ἵπποις· ἔνιοι δέ φασι καὶ βοῦς μαίνεσθαι καὶ ἀλώπεκας. — *Πορφύριος*, ἔνθ. ἀνωτ. 3, 7: Πυρέττει δὲ καὶ βοῦς καὶ μαίνεται, καθάπερ καὶ ὁ κάμηλος. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 604, α, 6: Ἡ λύττα ἐμποιεῖ μανίαν. — *Πλούταρχος*, ἔνθ. ἀνωτ. 963 C: Οὐ γὰρ ἔστι τυφλότης μὴ πεφυκότος ὁρᾶν οὐδὲ χωλότης μὴ πεφυκότος βαδίζειν, ψελλόν τε τῶν ἀγλώσσων ἢ τῶν ἀναύδων φύσει τραυλὸν οὐδὲν ἂν προσείποις· οὐκοῦν οὐδὲ παραπαῖον ἢ παραφρονοῦν ἢ μαινόμενον, ᾧ μὴ τὸ φρονεῖν καὶ διανοεῖσθαι καὶ λογίζεσθαι κατὰ φύσιν ὑπῆρχεν· οὐ γάρ ἔστιν ἐν πάθει γενέσθαι μὴ κεκτημένον δύναμιν, ἧς τὸ πάθος ἡ στέρησις ἢ πήρωσις ἤ τις ἄλλη κάκωσις ἦν. — Ιρβλ. καὶ *Ἀριστοτέλ.* περὶ τὰ ζῶα ἱστ. 577, α, 12. Τὰ αὐτὰ καὶ ὁ Lauder Lindsay καὶ ὁ Fleming καὶ ὁ Pirquin παρὰ Romanes σ. 158. Ἰδ. αὐτόθ. καὶ τὰ ἐν σελ. 185-186.

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 537, 6, 6 καὶ 11 καὶ ἑξ.: Τὰ ἔντομα τῶν ζώων τυγχάνει ὕπναυ.. ἡσυχάζουσι τῆς νυκτός.. καὶ πρὸς τὸ φῶς τὸ τῶν λύχνων ἡσυχάζοντα φαίνονται οὐδὲν ἧττον — *Αὐτόθ.* 536, 6, 32 — 537 α, 25: Τὰ ἔνυδρα, οἷον οἵ τε ἰχθύες καὶ τὰ μαλάκια καὶ τὰ μαλακόστρακα κάραβοί τε καὶ τὰ τοιαῦτα βραχύυπνα μὲν οὖν ἐστι ταῦτα πάντα, φαίνεται δὲ καθεύδοντα.. οἱ ἰχθύες καθεύδουσι τῆς νυκτὸς μᾶλλον ἢ τῆς ἡμέρας.. τὰ πλεῖστα καθεύδουσι τῆς γῆς ἢ τῆς ἄμμου ἢ λίθου τινὸς ἐχόμενοι ἐν τῷ βυθῷ, ἢ ἀποκρύψαντες ὑπὸ πέτραν ἢ θῖνα ἑαυτούς, οἱ δὲ πλατεῖς ἐν τῇ ἄμμῳ — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 13: Αἱ γέρανοι πηγῆς ὅταν τύχωσιν, ἀναπαύονται νύκτωρ καὶ καθεύδουσιν. Ἔτι αὐτόθ. 11, 22. — Τούτοις οὐδαμῶς διάφορα, ἢ ἀκριβέστερον εἰπεῖν, αὐτολεξεὶ σχεδὸν πάντα ταῦτα ἐπαναλαμβάνει ὁ Schuberth, ἔνθ. ἀν. σελ. 318 γράφων ὡς ἑξῆς: «Je höher wir stiegen um so weiter breitete sich der Kreis unserer Wahrnehmungen aus, die Unterscheidungsgabe wird schärfer, das Gefühl ausgebildeter, bestimmter, Geschlechtssinn, Gattenliebe, Gedächtniss, Erinnerungskraft, Raumsinn, Ortsinn treten auf, denen sich später Zeitsinn, Farbensinn, Tonsinn und schon Affekte, wie Furcht, Angst, Schrecken, Bestürtzung, Zorn, Wuth usw. anschliessen. Naturell und Temperament nehmen ein schärfer ausgedrücktes Gepräg an und der regelmässige Wechsel des Wachens und Schlafens tritt ein».

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 588, α, 17: Αἱ πράξεις καὶ οἱ βίοι (τῶν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πολλὰ τούτων ἔχουσι τὰ αἰσθητήρια τῆς γεύσεως, τῆς ὀσφρήσεως, τῆς ἀκοῆς, τῆς ὄψεως καὶ τὸ γενικὸν αἰσθητήριον πολὺ περισσότερον ἀνεπτυγμένα ἢ οἱ ἄνθρωποι 1). Οὐκ ὀλίγων τούτων, πρᾶγμα θαυμαστὸν

ζώων) κατὰ τὰ ἤθη καὶ τὰς τροφὰς διαφέρουσιν. Ἔνεστι γὰρ καὶ ἐν τοῖς πλείστοις καὶ τῶν ἄλλων ζώων ἴχνη τῶν περὶ τὴν ψυχὴν τρόπων, ἅπερ ἐπὶ τῶν ἀνθρώπων ἔχει φανερωτέρας τὰς διαφοράς· καὶ γὰρ ἡμερότης καὶ ἀγριότης, καὶ πραότης καὶ χαλεπότης, καὶ ἀνδρεία καὶ δειλία, καὶ φόβοι καὶ θάρρη, καὶ θυμοὶ καὶ πανουργίαι καὶ τῆς περὶ τὴν διάνοιαν συνέσεως, ἔνεισιν ἐν πολλοῖς αὐτῶν ὁμοιότητες . . τὰ μὲν γὰρ τῷ μᾶλλον καὶ ἧττον διαφέρει πρὸς τὸν ἄνθρωπον, καὶ ὁ ἄνθρωπος πρὸς πολλὰ τῶν ζώων (ἔνια γὰρ τῶν τοιούτων ὑπάρχει μᾶλλον ἐν ἀνθρώπῳ, ἔνια δ' ἐν τοῖς ἄλλοις ζώοις μᾶλλον), τὰ δὲ τῷ ἀνάλογον διαφέρει· ὡς γὰρ ἐν ἀνθρώπῳ τέχνη καὶ σοφία καὶ σύνεσις, οὕτω ἐνίοις τῶν ζώων ἔστι τις ἑτέρα τοιαύτη φυσικὴ δύναμις. φανερώτατον δ' ἐστὶ τὸ τοιοῦτον ἐπὶ τὴν τῶν παίδων ἡλικίαν βλέψασιν· ἐν τούτοις γὰρ τῶν μὲν ὕστερον ἕξεων ἐσομένων ἔστιν ἰδεῖν οἷον ἴχνη καὶ σπέρματα, διαφέρει δ' οὐδὲν ὡς εἰπεῖν ἡ ψυχὴ τῆς τῶν θηρίων ψυχῆς κατὰ τὸν χρόνον τοῦτον, **ὥστ' οὐδὲν ἄλογον, εἰ τὰ μὲν ταὐτὰ, τὰ δὲ παραπλήσια, τὰ δ' ἀνάλογον ὑπάρχει τοῖς ἄλλοις ζώοις.** — *Πορφύριος*, ἔνθ. ἀν. 3, 7 : Φαίνεται δὲ ἡ παραλλαγή, ὡς φησί που καὶ Ἀριστοτέλης, οὐκ οὐσίᾳ διαλλάττουσα, ἀλλ' ἐν τῷ μᾶλλον καὶ ἧττον θεωρουμένη.

1) *Πλούταρχος*, Πότερα τῶν ζώων κτλ. 963 Α : Τῶν ζώων πολλὰ **ὄψεως** ῥώμῃ καὶ **ἀκοῆς** ἀκριβείᾳ πάντας ἀνθρώπους ἀπολέλοιπεν. — *Πορφύριος*, ἔνθ. ἀν. 3, 8 : Αἰσθήσεως μέν γε καὶ πλεονεκτεῖν ἔοικεν μᾶλλον τὰ ζῶα. τίς μὲν γὰρ ἄνθρωπος τοσοῦτον **βλέπει** ὅσον ὁ δράκων ; . . τὸν δὲ ἀετὸν « Ὑψόθ' ἑόντα οὐκ ἔλαθε πτώξ ». τίς δὲ **ὀξυκοώτερος** γεράνων ; οἱ ἀπὸ τοσούτου ἀκούουσιν ὅπως οὐδὲ ἀνθρώπων τις **ὁρᾷ** τῇ μὲν γὰρ **ὀσφρήσει** τοσοῦτο πλεονεκτεῖ, σχεδὸν πάντα τὰ ζῶα, ὡς ἐκείνοις προσπίπτειν τὰ ἡμᾶς λανθάνοντα, καὶ κατὰ γένος ἐπιγινώσκειν ἕκαστον ἤδη καὶ ἐξ' ἴχνους ὀσφραινόμενα. οἱ δὲ ἄνθρωποι ἠγεμόσι κυσὶ χρῶνται εἰ δεῖ ἑλθεῖν ἐπὶ σῦν ἢ ἔλαφον καὶ **ἡμῶν μὲν ὀψὲ ἡ τοῦ ἀέρος κατάστασις ἅπτεται**, τῶν δὲ ἄλλων ζώων εὐθύς, ὡς τούτοις τεκμήριον χρῆσθαι τοῦ μέλλοντος· τὴν δὲ τῶν **χυμῶν** διάκρισιν οὕτως οἶδεν, ὡς ἐξακριδοῦν καὶ τὰ νοσηρὰ καὶ τὰ ὑγιεινὰ καὶ τὰ ὀληθτήρια, ὡς οὐδὲ ἀνθρώπων οἱ ἰατροί. — *Ἀριστοτέλης*, περὶ αἰσθήσεως καὶ αἰσθητῶν 444, 6, 28 : Ἰχθύες δὲ καὶ τὸ τῶν ἐντόμων γένος πᾶν ἀκριβῶς καὶ πόρρωθεν αἰσθάνεται τοῦ **ὀσφραντοῦ** . . οἷον αἵ τε μέλιτται . . καὶ τὸ τῶν μικρῶν μυρμήκων γένος . . καὶ τῶν θαλαττίων αἱ πορφύραι καὶ πολλὰ τῶν ἄλλων τῶν τοιούτων ζώων ὀξέως αἰσθάνονται τῆς τροφῆς διὰ τὴν **ὀσμήν**. — *Αἰλιανός*, ἔνθ. ἀνωτ. 9, 56 : Οἱ ἐλέφαντες **ῥινηλατοῦσιν** ἰσχυρῶς καὶ αἴσθησιν ὀξυτάτην ἔχουσι. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 534, α, 5 : Εἰσὶ δέ τινες οἳ φασι καὶ μάλιστα **ὀξυκόους** εἶναι τοὺς ἰχθῦς . . μάλιστα δ' εἰσὶ τῶν ἰχθύων **ὀξύκοοι** κεστρεύς, χρέμψ, λάβραξ, σάλπη, χρομὶς καὶ ὅσοι ἄλλοι τοιοῦτοι τῶν ἰχθύων. *Αἰλιανός*, ἔνθ. ἀνωτ. 10, 26 : Λύκος **ὀξυωπέστατον** ἐστι ζῶον, καὶ μέντοι καὶ νύκτωρ καὶ σελήνης οὐκ οὔσης . . ὁρᾷ. — *Αὐτόθ.* 10, 48 : Κύων **ὀξύκοον** καὶ **ὀξυωπέστατον** ζῶον — *Ἀριστοτέλης*, περὶ ψυχῆς 421, α, 20 : Ἐν ταῖς ἄλλαις - αἰσθήσεσι - **λείπεται** ὁ ἄνθρωπος πολλῷ τῶν ζώων, κατὰ δὲ τὴν **ἀφὴν** πολλῶν τῶν ἄλλων διαφερόντως ἀκριβοῖ — Περὶ αἰσθήσ. καὶ αἰσθητῶν 441 α, 2 : Τὴν ἀφὴν ἀκριβεστάτην τῶν ἄλλων ζώων ἔχομεν. Ἰδ. καὶ *Ἀριστοτέλην*, αὐτόθ. 436, 6, 10 καὶ ἑξ. — *Θεόφραστον*, περὶ αἰσθήσεως καὶ αἰσθητῶν, ἀπ. 1, κεφ. 8, σελ. 41 — *Πλούταρχον*, περὶ τοῦ τὰ ἄλογα λόγῳ χρῆσθαι 990 Α. — *Σέξτον τὸν Ἐμπειρ.* Πυρρωνείων ὑποτυπώσ. Α. 64

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ τοῖς πολλοῖς ἀπίστευτον, αἱ γνωστικαί, αἱ συναισθητικαὶ καὶ αἱ ἠθικαὶ τῆς ψυχῆς δυνάμεις οὐδαμῶς εἶνε διάφοροι τῶν ἀνθρωπίνων. Ἔχουσι καὶ μνήμην 1) καὶ φαντασίαν 2) καὶ διάνοιαν 3) καὶ κρίσιν 4),

καὶ 76, ἔκδ. Bekker, σελ. 16 καὶ 18. — *Αἰλιανὸν*, ἔνθ. ἀνωτ. 1, 42. 2, 26. 9, 7. 10. 14. 45. *Ὅμηρον* Ἰλ. Ρ 674 : Πάντοσε παπταίνων ὣς τ' αἰετός, ὅν ῥά τε φασιν | ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν, | ὅν τε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτώξ | θάμνῳ ὑπ' ἀμφικόμῳ κατακείμενος, ἀλλὰ τ' ἐπ' αὐτῷ | ἔσσυτο, καὶ τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν.

1) *Ἀριστοτέλ.* Ἠθικ. Νικομάχεια 1147, 6,5 : Τὰ θηρία οὐκ ἔχει τὴν καθόλου ὑπόληψιν, ἀλλὰ τῶν καθ' ἕκαστα φαντασίαν καὶ μνήμην. — *Πλούταρχος*, Πότερα σελ. 960 F: Ὧν ἂν ἀφέλῃς παντάπασι προσδοκίαν μνήμην πρόθεσιν παρασκευὴν τὸ ἐλπίζειν τὸ δεδοικέναι τὸ ἐπιθυμεῖν τὸ ἀσχάλλειν, οὔτ' ὀμμάτων ὄφελος οὐδὲν αὐτοῖς παρόντων οὔτ' ὤτων. — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 48 : Μνήμην δὲ παρακολουθεῖν καὶ τοῖς ζώοις καὶ ἴδιον αὐτῶν καὶ τοῦτο εἶναι.—*Αὐτόθ.* 6, 48 : Μήτηρ δ' ἄρα καὶ ἡ θῆλεια ἵππος ἀγαθὴ ἦν καὶ τοῦ πώλου τοῦ ἐξ αὐτῆς μεμνῆσθαι δεινή — *Αὐτόθ.* 16, 25. 11, 14. Ἔπιθι καὶ τὴν ἐν σελίδ. 40 ὑποσελ.σημ. 3. Τὰ αὐτὰ καὶ ὁ Romanes, ἔνθ. ἀν. σελ. 127-130 καὶ 154 : περὶ τῆς τεραστίας μνήμης τῶν ἵππων, τῶν κυνῶν, τῶν ἐλεφάντων καὶ τῶν πιθήκων ἴδ. αὐτόθ. (σελ. 130).

2) *Ἀριστοτέλης*, περὶ ψυχῆς 415, α, 10. Τοῖς μὲν οὐδὲ φαντασία ὑπάρχει τὰ δὲ ταύτῃ μόνῃ ζῶσι. — *Αὐτόθ.* 428, α, 122. Τῶν θηρίων οὐδενὶ ὑπάρχει πίστις.. φαντασία δὲ πολλοῖς. — *Θεμίστιος*, Παράφρασις τῶν περὶ ψυχῆς Ἀριστοτέλους 3, 3, σελ. 165, 22. Αἴσθησις μὲν πᾶσιν ὑπάρχει τοῖς ζώοις, φαντασία δὲ τοῖς μὲν τοῖς δ' οὔ, μύρμηκι μὲν ἴσως καὶ μελίττῃ καὶ πολλῷ μᾶλλον κυνὶ καὶ ἵππῳ,σκώληκι δὲ οὔ. — Ἴδε καὶ *Ἀριστοτέλ.* περὶ ψυχῆς 427, 6, 14,—428, α, 1. 10. 429, α, 1. 433, α, 9. 434, α, 5. — *Θεμίστιον*, ἔνθ. ἀνωτ. 3, 3, σελ. 166, 19. 169, 4. 170, 13. 171, 10. 172, 16. 3, 10, σελ. 223, 22. — *Πλούταρχ.* Πότερα κτλ. 960 D. — Τὰ αὐτὰ καὶ παρὰ Romanes, ἔνθ. ἀν. σελ. 156-163 : περὶ τῆς φαντασίας τῶν κονίκλων ἴδ. σελ. 156, περὶ τῆς φαντασίας τῶν κατωτέρων καὶ μάλιστα τῶν ἀνωτέρων ζώων σελ. 156. 159. 161. 163.

3) *Ἀριστοτέλης*, περὶ ψυχῆς 410, 6, 24. Τῶν ζώων πολλὰ διάνοιαν οὐκ ἔχει. — *Αὐτόθ.* 415, α, 8. Ἔχει ἐλάχιστα λογισμὸν καὶ διάνοιαν. Περὶ ζώων μορίων 650, 6, 19. Συμβαίνει δ' ἔνιά γε καὶ γλαφυρωτέραν ἔχειν τὴν διάνοιαν τῶν τοιούτων. — Περὶ τὰ ζῶα ἱστορ. 612, 6, 19. Μᾶλλον ἐπὶ τῶν ἐλαττόνων ἢ μειζόνων ἴδοι τις ἂν καὶ τῆς διανοίας ἀκρίβειαν· οἷον πρῶτον ἐπὶ τῶν ὀρνίθων. Ἴδ. καὶ αὐτόθ. 616, 6, 20. — Περὶ ψυχῆς 427, 6, 12. — *Πλούταρχον*, Πότερα κτλ. 960 E. 963 D. — *Θεμίστιος*, Παράφρασις τῶν περὶ ψυχῆς Ἀριστοτέλους 1, 4, σελ. 55-56 Νοεῖν, ὅταν τοὺς ἁπλοῦς ὅρους καταλαμβάνῃ — διανοεῖσθαι ἐν τῷ συντιθέναι τούτους καὶ διαιρεῖν — νοῦς ἐπιβολὴ καὶ θίξις τοῦ νοουμένου — διανοεῖσθαι κίνησις περὶ αὐτό καὶ ἐπέλευσις, ἀσθένεια τοῦ κατασχεῖν ἄθρουν, ὥσπερ καὶ οἱ τυφλώττοντες παρὰ τοὺς ὀξὺ ὁρῶντας. Ἴδ. αὐτόθ. 3, 3, σελ. 162.

4) *Ἀριστοτέλης*, περὶ ψυχῆς 432, α, 15 : Ἡ ψυχὴ κατὰ δύο ὥρισται δυνάμεις ἡ τῶν ζώων τῇ τε κριτικῇ, ὃ διανοίας ἔργον ἐστιν, καὶ αἰσθήσει, καὶ ἔτι τῷ κινεῖν τὴν κατὰ τόπον κίνησιν. *Αὐτόθ.* 434, α, 5 : Ἡ μὲν οὖν αἰσθητικὴ φαντασία.. καὶ ἐν τοῖς ἄλλοις ζώοις ὑπάρχει, ἡ δὲ βουλευτικὴ ἐν τοῖς λογιστικοῖς· πότερον γὰρ πράξει τόδε ἢ τόδε λογισμοῦ ἤδη ἐστίν ἔργον· καὶ ἀνάγκη ἑνὶ μετρεῖν· τὸ μεῖζον γὰρ διώκει· ὥστε

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καί, τὸ παντὸς θαυμασμοῦ ἄξιον, ἔχουσι καὶ λόγον 1) καὶ νοῦν 2)

δύναται ἐν ἐκ πλειόνων φαντασμάτων ποιεῖν. — *Πλούταρχος*, Πότερα κτλ. 960 F. Τὰς δ' ἑπομένας τῇ αἰσθήσει τῶν μὲν ὠφελίμων λήψεις καὶ διώξεις διακρούσεις δὲ καὶ φυγὰς τῶν ὀλεθρίων καὶ λυπηρῶν, οὐδεμία μηχανὴ παρεῖναι τοῖς μὴ λογίζεσθαί τι καὶ κρίνειν καὶ μνημονεύειν καὶ προσέχειν πεφυκόσιν. — Πρβλ. καὶ Ἀριστοτέλ. ἐν Ἠθικ. Νικομαχείοις 1126, 6, 3. 1139, α, 21 — Περὶ ψυχῆς 427, 6, 13. 428, α, 3. 460, 6, 17. — Μετὰ τὰ φυσικὰ 1012, α, 2. 1027, 6, 27 - 35.—*Πορφύριον*, ἔνθ. ἀνωτ. 3, 14. Τὰ αὐτὰ καὶ ὁ Romanes, ἔνθ. ἀν. σελ. 282 ἐν τέλει.

1) *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα λόγῳ χρῆσθαι 992 C: Ἡ τῶν θηρίων φύσις λόγου καὶ συνέσεως οὐκ ἔστιν ἄμοιρος — *Γαληνός*, Προτρεπτικὸς ἐπὶ τέχνας, ἔκδ. Kühn, τόμ. 1, καὶ 3. ἔκδ. Marquard, τόμ. 1, σελ. 103 καὶ 104 : Εἰ μὲν μηδ' ὅλως λόγου μέτεστι τοῖς ἀλόγοις ὀνομαζομένοις ζώοις, ἄδηλόν ἐστιν· ἴσως γὰρ εἰ καὶ μὴ τοῦ κατὰ τὴν φωνήν, ὅν καὶ προφορικὸν ὀνομάζουσιν, ἀλλὰ τοῦ γε κατὰ τὴν ψυχήν, ὃν ἐνδιάθετον καλοῦσιν, μετέχει πάντα τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον. Ὅτι μέντοι πλεῖστον ὅσον αὐτῶν διενηνόχασιν οἱ ἄνθρωποι, πρόδηλον ἡμῖν ἐστιν ὁρῶσι τό τε πλῆθος τῶν τεχνῶν, ὧν μεταχειρίζεται τὸ ζῶον τοῦτο, καὶ ὅτι μόνος ὁ ἄνθρωπος ἐπιστήμης ἐπιδεκτικός, ἣν ἂν ἐθελήσῃ, τέχνην μανθάνει . . διὰ ταῦτα τοίνυν κἂν *λόγου μετῇ* τοῖς ἄλλοις ζώοις, κατ' ἐξοχὴν αὐτῶν καὶ ὁ ἄνθρωπος μόνος ὀνομάζεται λογικός. — *Πλούταρχος*, Πότερα κτλ.966 B: Καθόλου δὲ ἐπεὶ δι' ὧν οἱ φιλόσοφοι δεικνύουσι τοῦ μετέχειν λόγου τὰ ζῶα προθέσεις εἰσὶ καὶ παρασκευαὶ καὶ μνῆμαι καὶ πάθη καὶ τέχνων ἐπιμέλειαι καὶ χάριτες εὖ παθόντων καὶ μνησικακίαι πρὸς τὸ λυπῆσαν, ἔτι δὲ εὑρέσεις τῶν ἀναγκαίων, ἐμφάσεις ἀρετῆς, οἷον ἀνδρείας κοινωνίας ἐγκρατείας μεγαλοφροσύνης. — *Αὐτόθ.* 969 B: Μηδὲ τὰ θηρία λεγωμεν, εἰ νωθρότερον φρονεῖ καὶ πάκιον διανοεῖται — τῶν ἀνθρώπων — μὴ διανοεῖσθαι μηδὲ φρονεῖν ὅλως μηδὲ κεκτῆσθαι λόγον, ἀσθενῆ δὲ κεκτῆσθαι καὶ θολερόν, ὥσπερ ὀφθαλμὸν ἀμβλυώττοντα καὶ τεταραγμένον. — Τὰ τοῦ Πλουτάρχου ταῦτα ἐπαναλαμβάνουσιν ἐν τοῖς ἄνω μνημονευθεῖσι συγγράμμασιν αὐτῶν ὅ τε Oppel ἐν σελ. 6 - 15 καὶ ὁ Wundt ἐν τόμ. 1, σελ. 23 καὶ 24 καὶ ὁ Schuberth ἐν σελ. 318 - 321 καὶ ὁ Pope παρὰ Romanes σελ. 293 ἐν τέλ. καὶ ὁ Romanes ἐν σελ. 374 ἐν ἀρχῇ.

2) *Ἀριστοτέλης*, περὶ ψυχῆς 404 6, 1 : Ἀναξαγόρας πολλαχοῦ μὲν τὸ αἴτιον τοῦ καλῶς καὶ ὀρθῶς τὸν νοῦν λέγει, ἑτέρωθι δὲ τοῦτον εἶναι τὴν ψυχήν· ἐν ἅπασι γὰρ ὑπάρχειν αὐτὸν τοῖς ζώοις καὶ μεγάλοις καὶ μικροῖς καὶ ἀτίμοις καὶ τιμιωτέροις. — *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ. 992 C: Θαυμάζω τοὺς λόγους ἐκείνους, οἷς ἀνεπειθόμην ὑπὸ τῶν σοφιστῶν ἄλογα καὶ ἀνόητα πάντα πλὴν ἀνθρώπου νομίζειν. — *Πορφύριος*, ἔνθ. ἀν. 3, 8 : Οὐ τοίνυν οὐδ' εἰ μᾶλλον ἡμεῖς νοοῦμεν ἢ τὰ ζῶα, διὰ τοῦτο ἀφαιρετέον τῶν ζώων τὸ νοεῖν, ὥσπερ οὐδὲ τὸ πέτεσθαι τοὺς πέρδικας, ὅτι μᾶλλον αὐτῶν οἱ ἱέρακες πέτονται. Τὰς γνώμας τῶν καθ' ἡμᾶς σοφῶν περὶ τοῦ νοῦ ἐν τοῖς ζώοις ἴδε παρὰ *Romanes*, ἔνθ. ἀνωτ. ὅλον τὸ 19 κεφ. ἀπὸ σελ. 352 - 377, ἰδίᾳ δὲ περὶ τῆς ἐξόχου νοημοσύνης τῶν μὲν πτηνῶν καὶ πολλῶν τῶν θηλαστικῶν σελ. 364, τῶν δὲ μυρμήκων, μελισσῶν καὶ σφηκῶν σελ. 154, καὶ σελ. 332 - 333. 364. καὶ 375. Ἔτι *Darwin* (παρὰ Romanes, ἔνθ. ἀν. σελ. 333) « Bienen legen viel Intelligenz in ihren Handlungen an den Tage » κτλ. — Αὐτολεξεὶ δὲ ἐπαναλαμβάνων τὰ ἀνωτέρω τοῦ Πλουτάρχου λέγει περὶ τὸ τέλος τοῦ περὶ τοῦ νοῦ τῶν ζώων 19 κεφ. τούτου (αὐτόθ. σελ. 371 ἐν τέλει) ὁ Romanes τάδε· « Ich darf das Thema nicht verlassen, ohne der herrschenden Ansicht (die ich selbstverständlich in keiner Weise beistimme) zu gedenken, dass die betreffende Fahigkeit ein Vor-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ἀγχίνοιαν 1). Καὶ ταῦτα ἔχουσιν εὐφυΐαν 2) καὶ θυμοσοφίαν 3). Καὶ ταῦτα ἔχουσι σοφίαν 4) καὶ αὐτοσυνειδησίαν 5) οὐχὶ ἀναξίαν

recht des Menschen sei». Ὁ *Darwin*, (Die Abstammung des Menschen σελ. 354) μετὰ τὴν ἀφήγησιν νοήμονός τινος πράξεως τοῦ ζώου, Gelasinus καλουμένου, ἐπάγεται· «Ich meine es durfte schwer fallen, diese Handlungen von einer solchen zu unterscheiden, die der Mensch mit Hülfe der Vernunft es übt».

1) *Σέξτος ὁ Ἐπειρικός*, Πυρρων. ὑποτυπ. Α, 77, ἔκδ. Bekker, σελ. 18, 25: Τίς οὐκ ἂν εἴποι τοὺς ὄρνιθας ἀγχινοίᾳ διαφέρειν.. οἵ γε οὐ μόνον τὰ παρόντα ἀλλὰ καὶ τὰ ἐσόμενα ἐπίστανται; — *Πλούταρχος*, Πότερα κτλ. 969 Β: Δι' ἄλλων δὲ πολλῶν ἔργων καὶ παθῶν καὶ καθηκόντων οὐτ' ὀσφραντῶν οὐθ' ὁρατῶν ἀλλὰ διανοίᾳ καὶ λόγῳ μόνον πρακτῶν καὶ θεατῶν ὄντων κατιδεῖν ἔστι τὴν κυνὸς φύσιν· οὗ τὰς μὲν ἐν ἄγραις ἐγκρατείας καὶ πειθαρχίας καὶ ἀγχινοίας γελοῖος ἔσομαι λέγων πρὸς ὑμᾶς τοὺς ὁρῶντας αὐτὰ καθ' ἡμέραν.

2) *Πλούταρχος*, Πότερα κτλ. 979 Ε: Οὐκ ἔστι δὲ ῥᾳδίως τῶν εὐφυῶν ζώων πρᾶξιν εὑρεῖν μιᾶς ἔμφασιν ἀρετῆς ἔχουσαν· ἀλλ' ἐμφαίνεται καὶ τῷ φιλοστόργῳ τὸ φιλότιμον αὐτῶν καὶ τῷ γενναίῳ τὸ θυμόσοφον, ἥ τε πανουργία καὶ τὸ συνετὸν οὐκ ἀπῆλακται τοῦ θυμοειδοῦς καὶ τοῦ ἀνδρώδους. — *Αὐτόθ.* περὶ τοῦ τὰ ἄλογα κτλ. 992 D: Τὰς ἐνίων ἀβελτηρίας καὶ βλακείας ἐλέγχουσιν ἑτέρων πανουργίαι καὶ δριμύτητες, ὅταν ἀλώπεκι καὶ λύκῳ καὶ μελίττῃ παραβάλῃς ὄνον καὶ πρόβατον.

3) *Ἀρριανός*, Ἰνδικὴ 14, 4: Θυμόσοφον γὰρ εἴπερ τι ἄλλο θηρίον ἐλέφας — *Αἰλιανός* ἔνθ. ἀνωτ. 16, 15: Θυμόσοφα δὲ καὶ παρ' ἡμῖν ζῶά ἐστιν, οὐ μὴν ὅσα ἐν Ἰνδοῖς ἀλλ' ὀλίγα, ἐκεῖ δὲ ὅ τε ἐλέφας τοιοῦτός ἐστι καὶ ὁ σιττακὸς καὶ αἱ σφίγγες καὶ οἱ καλούμενοι σάτυροι. — *Αὐτόθ.* 16, 3: Ὁ κερκίων.. τῶν σιττακῶν ἐστι λαλίστερόν τε καὶ θυμοσοφώτερον. Ἴδε καὶ *Πλούταρχον*, Πότερα κτλ. 978 Ε.

4) *Ἐπίχαρμος*, 206, ἔκδ. Mullach. τόμ. 1, σελ. 142: Εὔμαιε, τὸ σοφὸν ἐστιν οὐ καθ' ἓν μόνον, | ἀλλ' ὅσα περ ζῇ πάντα καὶ γνώμαν ἔχει. — *Αἰλιανός*, ἔνθ. ἀνωτ. 1, 21: Τὴν ἀράχνην ἡ φύσις **σοφὴν** εἰς ἱστουργίαν ἐδημιούργησεν. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 623, α, 8: Ἀράχνιον σοφώτατον καὶ γλαφυρώτατον. — *Αἰλιανός*, 1, 59: Οὐδὲν δὲ ἄρα ἦν μελιττῶν εὐχαριτώτερον, ἐπεὶ μηδὲ σοφώτερον ἦν. — *Πλούταρχος*, Πότερα κτλ. 982 F. Σοφώτατον καὶ θεοφιλέστατον.. ἀλκυών. — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 30: Σοφώτατος ὁ κόκκυξ καὶ πλέκειν εὐπόρους ἐξ ἀπόρων μηχανὰς δεινότατος. — Αὐτόθ. 6, 11: Τίκτει δὲ ἔλαφος παρὰ τὰς ὁδούς, καὶ ἔοικέ γε σοφίᾳ τοῦτο δρᾶν κτλ. 16, 15: Σοφὸν δ' ἄρα ἦν καὶ ὁ μύρμηξ ὁ Ἰνδός. — *Παροιμίαι* 24, 24: Τέσσαρα δέ ἐστιν ἐλάχιστα ἐπὶ τῆς γῆς, ταῦτα δέ ἐστι σοφώτερα τῶν σοφῶν· οἱ μύρμηκες.. καὶ οἱ χοιρογρύλλιοι.. καὶ ἡ ἀκρίς.. καὶ καλαβώτης — *Αἰλιανὸς* 2, 11: Ἡ τῶν ἐλεφάντων σοφία — *Αὐτόθι ἐπίλογος*: Φιλόσοφόν πως ὁ ἐλέφας — *Ἀρριανός*, Κυνηγετικὸς 5, 6: Ἦν ἄρα Ξενοφῶντι τῷ Ἀθηναίῳ κύων, Ὁρμὴ ὄνομα, ὠκυτάτη τε καὶ σοφωτάτη. — *Πλούταρχος*, Πότερα κτλ. 962 C. Λόγος μὲν ἐγγίγνεται φύσει, σπουδαῖος δὲ λόγος καὶ τέλειος ἐξ ἐπιμελείας καὶ διδασκαλίας· διὸ τοῦ λογικοῦ πᾶσι τοῖς ἐμψύχοις μέτεστι. ἦν δὲ ζητοῦσιν ὀρθότητα καὶ σοφίαν οὐδ' ἄνθρωπον εἰπεῖν κεκτημένον ἔχουσιν.

5) *Αἰλιανός*, ἔνθ. ἀνωτ. 4, 38: Οἱ στρουθοὶ οἱ σμικροὶ συνειδότες ἑαυτοῖς ἀσθένειαν διὰ σμικρότητα τοῦ σώματος, ἐπὶ τοῖς ἀκρεμόσι τῶν κλάδων τοῖς φέρειν αὐτοὺς δυναμένοις τὰς νεοττιὰς συμπλάσαντες κτλ. *Αὐτόθ.* 5, 21: Ὁ ταὼς οἷδεν ὀρνίθων ὡραιότατος ὤν, καὶ ἔνθα οἱ τὸ κάλλος κάθηται, καὶ τοῦτο οἶδε καὶ ἐπ' αὐτῷ κομᾷ καὶ σοβαρός ἐστι καὶ θαρρεῖ τοῖς πτεροῖς, ἅπερ οὖν αὐτῷ καὶ κόσμον περιτίθησι, καὶ πρὸς τοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λόγου 1). Καὶ ταῦτα ἔχουσι νόησιν τοῦ ἀριθμοῦ 2). Καὶ ταῦτα ὀνειρώττουσι 3). Καὶ ταῦτα εἶνε λογικὰ ὅπως καὶ οἱ ἄνθρωποι 4). Μνη-

ἐξωθεν φόβον ἀποστέλλει, καὶ ἐν ὥρᾳ θερείῳ σκέπην οἰκοθεν καὶ οὐκ ἠτημένην οὐδὲ ὀθνείαν παρέχεται. — *Αὐτόθ.* 8, 24: Ἀγρεὺς . . τῷ μέλει τῶν ἄλλων ὀρνέων αἱρεῖ τὰ ἁπαλὰ προσπετόμενα τῇ τῆς εὐμουσίας θέλξει· εἰδὼς οὖν τὸ συμφυὲς αὐτῷ πλεονέκτημα ἔοικε χρῆσθαι τῷ παρὰ τῆς φύσεως δώρῳ εἰς ἡδονὴν ἅμα καὶ τροφήν. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 618, α, 25: Δοκεῖ δ' ὁ κόκκυξ φρόνιμον ποιεῖσθαι τὴν τέκνωσιν· διὰ γὰρ τῷ συνειδέναι αὐτῷ τὴν δειλίαν καὶ ὅτι οὐκ ἂν δύναιτο βοηθῆσαι, διὰ τοῦτο ὥσπερ ὑποβολιμαίους ποιεῖ τοὺς ἑαυτοῦ νεοττούς, ἵνα σωθῶσιν. — *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 4, 8, 42: Ἀλλὰ ταῦρος μὲν οὐκ ἀγνοεῖ τὴν αὐτοῦ φύσιν καὶ παρασκευήν, ὅταν ἐπιφανῇ τι θηρίον, οὐδ' ἀναμένει τὸν προτρεψόμενον· οὐδὲ κύων, ὅταν ἴδῃ τι τῶν ἀγρίων ζώων. Πρβλ. καὶ *Πλούταρχον*, περὶ τοῦ τὰ ἄλογα κτλ. 987 E καὶ F. — *Αἰλιανὸν* ἔνθ. ἀν. 5, 40 καὶ 17, 24.

1) *Πορφύριος*, ἔνθ. ἀν. 3, 2: Εἰ χρὴ τὸ ἀληθὲς εἰπεῖν, οὐ μόνον ἁπλῶς ὁ λόγος ἐν πᾶσι τοῖς ζώοις θεωρεῖται, ἐν πολλοῖς δὲ αὐτῶν καὶ ὑποβολὰς ἔχων πρὸς τὸ τέλειον.

2) *Πλούταρχος*, Πότερα κτλ. 974 D: Νόησιν ἀριθμοῦ καὶ δύναμιν τοῦ ἀριθμεῖν . . ἔχουσιν αἱ περὶ Σοῦσα βόες (τὸ αὐτὸ καὶ Αἰλιαν. 7, 1). — *Αὐτόθ.* 979. Τῶν θύννων . . ἄκουσον ἡδὴ τὴν ἀριθμητικὴν ἐπιστήμην αὐτῶν . . ἀριθμητικῆς δὲ διὰ τὴν κοινωνικήν, ὡς ἔοικε, καὶ φιλάλληλον ἀγάπησιν ἑαυτῶν δεηθέντες οὕτως ἐπ' ἄκρον ἤκουσι τοῦ μαθήματος, ὥστε, ἐπεὶ πάνυ χαίρουσι τῷ συντρέφεσθαι καὶ συναγελάζεσθαι μετ' ἀλλήλων, ἀεὶ τὸ πλῆθος τῷ σχήματι κυβίζουσι καὶ στερεὸν ἐκ πάντων ποιοῦσιν, ἐξ ἴσοις ἐπιπέδοις περιεχόμενον· εἶτα νήχονται τὴν τάξιν οὕτω τὸ πλαίσιον ἀμφίστομον διαφυλάττοντες. — *Αἰλιανός*, 4, 53: Εἶναι δὲ ἄλογα μὲν ζῶα, φυσικὴν δ' ἔχειν ἀριθμητικὴν μὴ διδαχθέντα Εὔδημός φησι κτλ.

3) *Ἀριστοτέλης*, περὶ τῆς καθ' ὕπνον μαντικῆς 463, 6, 12: Καὶ τῶν ἄλλων ζώων ὀνειρώττει τινά — Περὶ τὰ ζῶα ἱστορ. 536, 6, 27: Ἐνυπνιάζειν φαίνονται οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ ἵπποι καὶ κύνες καὶ βόες, ἔτι δὲ πρόβατα καὶ αἶγες καὶ πᾶν τὸ τῶν ζωοτόκων καὶ τετραπόδων γένος· δηλοῦσι δὲ οἱ κύνες τῷ ὑλαγμῷ. Ἴδε καὶ *Θεμίστιον* ἐν παραφράσει εἰς τὸ περὶ τῆς καθ' ὕπνον μαντικῆς τοῦ Ἀριστοτέλους κ. 2, σελ. 293, στίχ. 29. — Τὰ αὐτὰ καὶ ὁ Romanes, ἔνθ. ἀν. σελ. 157: Die Hunde träumen träumt auch das Pferd - träumen auch Vögel. Ἀδαὴς δὲ τῆς Ἑλληνικῆς φιλολογίας ὢν διισχυρίζεται ὁ Romanes ὅτι δῆθεν ὁ Σενέκας μὲν καὶ ὁ Λουκρέτιος πρῶτοι παρετήρησαν ὅτι οἱ κύνες ὀνειρώττουσιν, ὁ Dr. Lauder Lindsay δὲ ὅτι οἱ ἵπποι ἐνυπνιάζονται, καὶ ὁ Guer ὅτι οἱ κύνες καθ' ὕπνον ὑλακτοῦσιν!

4) *Πορφύριος*, ἔνθ. ἀνωτ. 3, 13: Τὰ ζῶά ἐστι λογικά. — *Αὐτόθ.* 3, 9: Λογικὴ δὲ ἐν αὐτοῖς ἐστιν ἡ ψυχὴ καὶ οὐκ ἀφῄρηται φρονήσεως. — *Αὐτόθ.* 3, 18: Τὰ τῶν παλαιῶν ἐπιτρέχοντες, δείκνυται λογικὰ ὄντα τὰ ζῶα, τοῦ λόγου ἐν τοῖς πλείστοις ἀτελοῦς μὲν ὄντος, οὐ μὴν παντελῶς ἐστερημένου. — *Αὐτόθ.* 3, 7: Οὐκ ἂν δέ τις εὖ φρονῶν διὰ τὸ ἐξηλλαγμένον τῆς ἕξεως τοῦ σώματος ἄδεκτα λογικῆς εἴποι διαθέσεως. — *Σέξτος ὁ Ἐμπειρικός*, Πυρρων. ὑποτυπ. A. 65-72, ἔκδ. Bekker, σελ. 16, στίχ. 18-17, 31: Ὁ τοίνυν ἐνδιάθετος λόγος κατὰ τοὺς μάλιστα ἡμῖν ἀντιδοξοῦντας νῦν δογματικοὺς τοὺς ἀπὸ τῆς στοᾶς, ἐν τούτοις ἔοικε σαλεύειν, τῇ αἱρέσει τῶν οἰκείων καὶ φυγῇ τῶν ἀλλοτρίων, τῇ γνώσει τῶν εἰς τοῦτο συντεινουσῶν τεχνῶν, τῇ ἀντιλήψει τῶν κατὰ τὴν οἰκείαν φύσιν ἀρετῶν τῶν περὶ τὰ πάθη. ὁ τοίνυν κύων . . αἵρεσιν ποιεῖται τῶν οἰκείων καὶ φυγὴν τῶν βλαβερῶν, τὰ μὲν τρόφιμα διώκων, μάστιγος δὲ ἀναταθείσης

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μονεύουσι δηλ. καὶ ταῦτα καὶ διανοοῦνται καὶ διαλογίζονται καὶ κρίνουσι καὶ συλλογίζονται καὶ συμπεράσματα ἐξάγουσι 1) καὶ νοοῦσιν, ἂν οὐχὶ ὅπως οἱ σοφώτατοι τῶν ἀνθρώπων, ἀλλὰ βεβαίως οὐχὶ καὶ πολὺ διαφόρως τοῦ πολλοῦ πλήθους τῶν ἐπὶ τῆς ἐπιφανείας τῆς γῆς διαβιούντων βροτῶν 2).

ὑποχωρῶν. ἀλλὰ καὶ τέχνην ἔχει ποριστικὴν τῶν οἰκείων, τὴν θηρευτικήν. ἔστι δὲ οὐδ' ἀρετῆς ἐκτός· τῆς γέ τοι δικαιοσύνης . . καὶ ἄλκιμον δὲ αὐτὸν ὄντα ὁρῶμεν ἐν ταῖς ἀμύναις καὶ συνετόν . . καὶ τῆς ἀοιδίμου διαλεκτικῆς μετέχει . . καὶ τῶν ἑαυτοῦ παθῶν ἀντιληπτικός τέ ἐστι καὶ παραμυθητικός . . εἰ τοίνυν ἐφάνη τὸ ζῶον . . καὶ αἱρούμενον τὰ οἰκεῖα καὶ τὰ ὀχληρὰ φεῦγον, τέχνην τε ἔχον ποριστικὴν τῶν οἰκείων, καὶ τῶν ἑαυτοῦ παθῶν ἀντιληπτικὸν καὶ παραμυθητικόν, καὶ οὐκ ἔξω ἀρετῆς, ἐν οἷς κεῖται ἡ τελειότης τοῦ ἐνδιαθέτου λόγου, τέλειος ἂν εἴη κατὰ τοῦτο ὁ κύων. Ἰδ. καὶ αὐτόθ. πρὸς Λογικοὺς 2, 287. ἔκδ. Bekker, σελ. 350, στίχ. 22. Πορφύριον, ἔνθ. ἀν. 3, 4.

1) *Αἰλιανός*, ἔνθ. ἀν. 16, 25: Ἵπποι ἅπαξ μαθόντες οὐκ ἂν αὐτοὺς λάθοι τοῦ μαθήματος λήθη. — *Αὐτόθ.* 11, 14: Ἐλέφας καὶ μνήμην ἀγαθὸν ἐστι τὸ ζῶον καὶ ἐντολὰς φυλάξαι οἶδε — *Πορφύριος*, ἔνθ. ἀν. 3, 4: Κόρακες γοῦν καὶ κίτται ἐρίθακοί τε καὶ ψιττακοὶ ἀνθρώπους μιμοῦνται καὶ μέμνηνται ὧν ἂν ἀκούσωσιν. — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 46: Ταῖς ἐκδήμοις στρατιαῖς ἕπονται γῦπες καὶ . . ὅτι ἐς πόλεμον χωροῦσιν εἰδότες, καὶ ὅτι μάχη πᾶσα ἐργάζεται νεκροὺς καὶ τοῦτο ἐγνωκότες. — *Πλούταρχος*, Πότερα κτλ. 969 A: Οἱ Θρᾷκες ὅταν παγέντα ποταμὸν διαβαίνειν ἐπιχειρῶσιν, ἀλώπεκα ποιοῦνται γνώμονα τῆς τοῦ πάγου στερρότητος· ἡσυχῇ γὰρ ὑπάγουσα παραβάλλει τὸ οὖς· κἂν μὲν αἴσθηται ψόφῳ τοῦ ῥεύματος ἐγγὺς ὑποφερομένου, τεκμαιρομένη μὴ γεγονέναι διὰ βάθους τὴν πῆξιν, ἀλλὰ λεπτὴν καὶ ἀβέβαιον, ἵσταται, κἂν ἐᾷ τις, ἐπανέρχεται· τῷ δὲ μὴ ψοφεῖν θαρροῦσα διῆλθε. καὶ τοῦτο μὴ λέγωμεν αἰσθήσεως ἄλογον ἀκρίβειαν, ἀλλ' ἐξ αἰσθήσεως συλλογισμόν ὅτι «τὸ ψοφοῦν κινεῖται, τὸ δὲ κινούμενον οὐ πέπηγε, τὸ δὲ μὴ πεπηγὸς ὑγρόν ἐστιν, τὸ δ' ὑγρὸν ἐνδίδωσι». Οἱ δὲ διαλεκτικοί φασι τὸν κύνα τῷ διὰ πλειόνων διεζευγμένῳ χρώμενον ἐν ταῖς πολυσχιδέσιν ἀτραποῖς συλλογίζεσθαι πρὸς ἑαυτόν «ἤτοι τήνδε τὸ θηρίον ὥρμηκεν ἢ τήνδε ἢ τήνδε· ἀλλὰ μὴν οὔτε τήνδε οὔτε τήνδε· τὴν λοιπὴν ἄρα»· τῆς μὲν αἰσθήσεως οὐδὲν ἢ τὴν πρόσληψιν διδούσης, τοῦ δὲ λόγου τὰ λήμματα καὶ τὸ συμπέρασμα τοῖς λήμμασιν ἐπιφέροντος — (ἀνάγνωθι τὰ αὐτὰ καὶ παρ' *Αἰλιανῷ*, ἔνθ. ἀνωτ. 6, 59 καὶ παρὰ *Σέξτῳ* τῷ *Ἐμπειρικῷ* ἐν Πυρρων. ὑποτ. A. 69-70, ἔκδ. Bekker, σελ. 17, στιχ. 8-15 καὶ παρὰ *Πορφυρίῳ* ἔνθ. ἀν. 3, 6). — *Αἰλιανός*, ἔνθ. ἀν. 6, 50: Κλεάνθην τὸν Ἄσσιον κατηνάγκασε καὶ ἄκοντα εἰξαι καὶ ἀποστῆναι τοῖς ζώοις καὶ ἐκεῖνα λογισμοῦ μὴ διαμαρτάνειν ἀντιλέγοντα ἰσχυρῶς καὶ κατὰ κράτος ἱστορία τοιαύτη φασίν. Ἔτυχεν ὁ Κλεάνθης κτλ. Τὰ αὐτὰ καὶ ὁ Romanes ἔνθ. ἀν. σελ. 345. 363. 372.

2) *Ἀριστοτέλης*, περὶ ψυχῆς 404, 5, 5: Οὐ φαίνεται ὅ γε κατὰ φρόνησιν λεγόμενος νοῦς πᾶσιν ὁμοίως ὑπάρχειν τοῖς ζώοις, ἀλλ' οὐδὲ τοῖς ἀνθρώποις πᾶσιν. — *Πορφύριος*, ἔνθ. ἀν. 3, 2: Οὐκ ἄλογα, λογικὰ δὲ . . τὰ ζῶα καθάπερ σχεδὸν πάντες οἱ ἄνθρωποι — κατὰ τοὺς ἀπὸ τῆς στοᾶς — σοφὸς μὲν γὰρ ἢ εἷς ἢ καὶ δύο κατ' αὐτοὺς γεγόνασιν, ἐν οἷς μόνοις ὁ λόγος κατώρθωται, οἱ δὲ ἄλλοι φαῦλοι πάντες· κἂν οἱ μὲν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ δὲ κόσμος τῶν συναισθημάτων καθόλου εἰπεῖν εἶνε ὁ αὐτὸς παρά τε τοῖς ἀνθρώποις καὶ τοῖς ζώοις.

Καὶ ταῦτα ἔχουσι σωματικὰ καὶ αἰσθητικὰ καὶ ἠθικὰ καὶ θρησκευτικὰ συναισθήματα, ὅπως καὶ οἱ ἄνθρωποι. Οἱ ἐξωτερικοὶ ἐρεθισμοὶ καὶ τὰ ποικίλα αἴτια, ἅτινα ἐρεθίζοντα τὴν ψυχὴν τῶν ἀνθρώπων λύπην καὶ ἡδονὴν προξενοῦσιν εἰς αὐτήν, ἐρεθίζουσι καὶ τὴν ψυχὴν τῶν ζώων, λύπην καὶ ἡδονὴν προξενοῦντα εἰς αὐτήν.

Καὶ ταῦτα διαιτώμενα καλῶς καὶ ἐν ἀτμοσφαίρᾳ τῇ οἰκείᾳ καὶ τῇ προσφόρῳ τῇ φύσει αὐτῶν διαμένοντα, καὶ ταῦτα ψηλαφώμενα, λουόμενα, συνουσιαζόμενα, εὐχύμους καὶ ποικίλας τροφὰς τρώγοντα, ἥδονται, ὅπως καὶ οἱ ἄνθρωποι 1). Καὶ ταῦτα ἀλγοῦσι καὶ ἀλγοῦντα ἀνακουφίζονται ἁρμοδίως θεραπευόμενα 2). Καὶ τούτων τινὰ ἔχουσι

ὥσι προκόπτοντες, οἳ δὲ χύσιν τῆς φαυλότητος ἔχοντες, εἰ καὶ πάντες ὁμοίως λογικοί. *Γαληνός*, προτρεπτικὸς ἐπὶ τέχνας, Kühn 1, 1, 3: Κἂν λόγου μετῇ τοῖς ἄλλοις ζώοις κατ' ἐξοχὴν αὐτῶν καὶ ὁ ἄνθρωπος μόνος ὀνομάζεται λογικός. — *Θεμίστιος*, ἔνθ. ἀν. 3, 10, σελ. 218: Πολλὰ γὰρ καὶ οἱ ἄνθρωποι ταῖς φαντασίαις ἀκολουθοῦσι μᾶλλον ἢ ταῖς ἐπιστήμαις, καὶ τὰ ἄλογα ζῶα ταύταις οἰκείζεται μόναις ἀπορροῦντα φρονήσεως.

1) *Μάξιμος ὁ Τύριος*, λόγ. 2, 5: Τί ἀνθρώπου διασωστικόν; ἡδονή. Πρᾶγμά μοι κοινὸν λέγεις, ἐπὶ πάσας φύσεις ἐξικνούμενον.. ἥδεται καὶ βοῦς, ἥδεται καὶ ὄνος καὶ σῦς καὶ πίθηκος. — *Αἰλιανός*, ἔνθ. ἀν. 4, 5: Ἔλεσι καὶ λειμῶσι καὶ τοῖς κατηνέμοις χωρίοις ἥδονται μᾶλλον ἵπποι. — *Ξενοφῶν*, περὶ ἱππικῆς 2, 4, καὶ 10, 15: Ἅπτεσθαι χρή, ὧν ψηλαφωμένων ὁ ἵππος μάλιστα ἥδεται.. ἤν τι λυπῇ αὐτόν, ἐπικουρεῖν.. οὐ γὰρ μάλα ὅταν λυπῶνται, ὑγροὶ τοῖς σκέλεσιν ἵπποι χρῶνται. — *Αἰλιανός*, ἔνθ. ἀν. 13, 8: Ἐλέφας ἥδεται τῷ λουτρῷ κατὰ τοὺς τῶν ἀνθρώπων ἀβροτέρους. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα κτλ. 605, α, 9: Χαίρουσι δ' ἵπποι τοῖς λειμῶσι καὶ τοῖς ἕλεσιν.. καὶ γὰρ ὅλως ἐστὶ φιλόλουτρον τὸ ζῶον καὶ φίλυδρον. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 571, 6, 8: Πάντων δὲ κοινὸν τῶν ζώων τὸ περὶ τὴν ἐπιθυμίαν καὶ τὴν ἡδονὴν ἅπτοῆσθαι τὴν ἀπὸ τῆς οἰκείας μάλιστα. — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 42: Ὁ πορφυρίων ὡραιότατός ἐστι.. καὶ χαίρει κονιόμενος. ἥδη δὲ καὶ λοῦται τὸ τῶν περιστερῶν λουτρόν. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα κλ. 588, 6, 28: Προσούσης δ' αἰσθήσεως ἥδη περί τε τὴν οἰκείαν διὰ τὴν ἡδονὴν διαφέρουσιν αὐτῶν οἱ βίοι — *Αὐτόθ.* 533, α, 31: Αἰσθάνονται γευόμενα· ἰδίοις τε γὰρ πολλὰ χαίρει χυμοῖς.. χαίροντες ἐν τῇ γεύσει καὶ ἐδωδῇ τοῖς τοιούτοις δελέασιν. — Ἠθικὰ Νικομάχεια 1176, α, 3: Δοκεῖ δ' εἶναι ἑκάστῳ ζώῳ καὶ ἡδονὴ οἰκεία.. ἑτέρα γὰρ ἵππου ἡδονὴ καὶ κυνὸς καὶ ἀνθρώπου, καθάπερ Ἡράκλειτος φησιν ὄνον σύρματ' ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσόν· ἥδιον γὰρ χρυσοῦ τροφὴ ὄνοις.. (Ἴδ. ἀπ. Ἡρακλείτου 85 παρὰ Mullach τόμ. 1, σελ. 327 α).— Περὶ τὰ ζῶα ἱστορ. 603, 6, 29: Ἡ ὗς χαίρει — τροφὴν μεταβάλλουσα καθάπερ καὶ τἆλλα ζῶα. Ἔτι *Ἀριστοτέλ.* Προβλήματα 896, 6, 10-28. Περὶ τὰ ζῶα ἱστορ. 589, α, 8. 612, 6, 14. — *Πορφύρ.* περὶ ἀποχ. ἐμψύχ. 3, 19.— *Αἰλιαν.* 4, 24.—*Ὁμηρον* Ἰλ. Ζ, 588.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 2, 50: Τρυγὼν θαλασσία.. ἥλγησε πιεζομένη καὶ παίει τῷ κέντρῳ. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 605, 6, 1: Ἐλέφας ὅταν τοὺς ὤμους ἀλγῇ, ὕεια κρέατα ὀπτήσαντες προστιθέασι καὶ βοηθεῖ αὐτοῖς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολλὴν εὐαισθησίαν 1). Ἀγαπῶσι τὰς εὐωδίας καὶ εὐχαριστοῦνται ἐκ τῆς ὀσμῆς τῶν μύρων καὶ τῶν ἀνθέων 2). Εὐχαριστοῦνται ἀναστρεφόμενα ἐν τῷ φωτί 3), καὶ δὴ ἐπὶ τοσοῦτον ἐνίοτε, ὥστε καὶ ἐνθουσιῶσι καὶ σκιρτῶσιν ἐκ χαρᾶς 4). Μόνον οἱ γῦπες καὶ οἱ κάνθαροι δὲν ὑποφέρουσι τὴν εὐωδίαν καὶ ἀποθνήσκουσιν ἐκ τῆς τῶν μύρων καὶ τῶν ῥόδων ὀσμῆς 5), καὶ μόνον οἱ χοῖροι εὐχαριστοῦνται κυλιόμενοι εἰς τὸν βόρβορον 6), καὶ μόνον οἱ σύες καὶ αἱ γλαῦκες καὶ αἱ νυκτερίδες ἀποφεύγουσι τὸ φῶς καὶ ἐπιζητοῦσι τὸ σκότος 7). Καὶ ταῦτα ἐκπληρουμένων τῶν φυσικῶν

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 630, α, 18: Πάντων δὲ τιθασσότατον καὶ ἡμερώτατον τῶν ἀγρίων ἐστὶν ὁ ἐλέφας . . ἔστι δὲ καὶ εὐαίσθητον καὶ τῇ συνέσει τῇ ἄλλῃ ὑπερβάλλον.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 1, 38: Ἀγαπᾷ ὁ ἐλέφας καὶ εὐωδίαν πᾶσαν, καὶ μύρων καὶ ἀνθέων κηλούμενος τῇ ὀσμῇ. — 13, 8: Ἐλεφαντές εἰσιν ἐρασταὶ εὐωδίας . . ποθεῖ τὰ ἄνθη — ὁ ἐλέφας — ἀναιρούμενος τὰ ἄνθη τῆς φάτνης καταπάττει τὰ χείλη . . καταπείρει δὲ καὶ τοῦ χώρου ἔνθα αὐλίζεται τῶν ἀνθέων πολλά, ἡδυσμένον αἱρεῖσθαι γλιχόμενος ὕπνον. — *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστορ. 612, α, 13: Τῇ ὀσμῇ τῆς παρδάλεως χαίρουσι τὰ θηρία. — *Πλούταρχος*, Πότερα κτλ. 976 D: Τῇ παρδάλει τὰ πλεῖστα προσχωρεῖν χαίροντα τῇ ὀσμῇ μάλιστα δὲ τὸν πίθηκον λέγουσι. — *Αἰλιανός*, ἔνθ. ἀνωτ. 16, 24: Ἵππῳ καὶ ἀλοιφαὶ εὐώδεις . . φίλαι καὶ μύρων ὀσμαί. — Ἴδ. καὶ *Αἰλιαν.* 1, 23. 5, 40. 8, 6. Πρὸς ταῦτα ἀντιπράβλ. τὰ τοῦ Ἀριστοτέλ. περὶ αἰσθήσ. καὶ αἰσθ. 444, α, 31: Μόνον ὡς εἰπεῖν αἰσθάνεται τῶν ζώων ἄνθρωπος καὶ χαίρει ταῖς τῶν ἀνθῶν καὶ ταῖς τῶν τοιούτων ὀσμαῖς.

3) *Αἰλιανός*. περὶ ζώων 1, 23: Χαίρουσιν οἱ σαργοὶ φωτὶ μὲν παντί, τῆς δὲ ἀκτῖνος τοῦ ἡλίου καὶ μᾶλλον διῳδῶσιν. — *Ξενοφῶν*, Κυνηγετικός 5, 4: Οἱ λαγῳ . . ὅταν ᾖ πανσέληνος, χαίροντες τῷ φέγγει ἀντιπαίζουσιν.

4) *Αἰλιανός*, ἔνθ. ἀν. 4, 29: Ὁ ἀλεκτρυὼν τῆς σελήνης ἀνισχούσης ἐνθουσιᾷ φασι καὶ σκιρτᾷ· ἥλιος δὲ ἀνίσχων οὐκ ἄν ποτε αὐτὸν διαλάθοι· ᾠδικώτατος δὲ ἑαυτοῦ ἐστι τηνικάδε.

5) *Ἀριστοτέλης*, περὶ θαυμασίων ἀκουσμάτων 845, α, 35: Λέγεται καὶ τοὺς γῦπας ὑπὸ τῆς τῶν μύρων ὀσμῆς ἀποθνήσκειν . . ὡσαύτως δὲ καὶ τοὺς κανθάρους ὑπὸ τῆς τῶν ῥόδων. — *Αἰλιανός*, ἔνθ. ἀν. 38: Κανθάροις δὲ κακόσμοις θηρίοις, εἴ τις ἐπιρράνειε μύρον, οἱ δὲ τὴν εὐωδίαν οὐ φέρουσιν ἀλλ' ἀποθνήσκουσιν. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Παιδαγωγὸς 2, 8, ἔκδ. Potter, σελ. 208: Μὴ λάθωμεν, ὥσπερ οἱ γῦπες, τὰ μύρα βδελυττόμενοι ἢ οἱ κάνθαροι· τούτους γὰρ ῥοδίνῳ χρισθέντας μύρῳ τελευτᾶν λέγουσιν.

6) *Κλήμης ὁ Ἀλεξανδρεύς*, Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 10, ἔκδ. Potter, σελ. 75: Ὗες γάρ φασιν ἥδονται βορβόρῳ μᾶλλον ἢ καθαρῷ ὕδατι καὶ ἐπὶ φορυτῷ μαργαίνουσι κατὰ Δημόκριτον.

7) *Αἰλιανός*, ἔνθ. ἀν. 5, 45: Ὁ σῦς . . ἡσυχίᾳ καὶ στέγῃ σκοτωδεστέρᾳ χαίρει . . καὶ Ὅμηρος . . ὅτι χαίρουσι τῷ σκότῳ διὰ τούτων ἐλέγχει « σύες ἀργιόδοντες πέτρῃ ὕπο γλαφυρῇ εὗδον (Ὀδυσ. ξ 532). — *Ἀριστοτέλης*, περὶ ζ. ἱστορ. 488, α, 25: Καὶ τὰ μὲν νυκτερόβια, οἷον γλαὺξ νυκτερίς, τὰ δ' ἐν τῷ φωτὶ ζῇ. — Ἴδ. καὶ *Μάξιμον τὸν Τύριον* 17, 1. *Αἰλιαν.* 3, 7. 4, 18. 6, 46. *Σέξτ. τὸν Ἐμπειρ.* Πυρρων. ὑποτ. Α, 59, ἔκδ. Bekker, σελ. 14,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτῶν ἐπιθυμιῶν εὐχαριστοῦνται καὶ μὴ ἐκπληρουμένων ἀνιῶνται 1).

Οἱ νεκροὶ καὶ τὰ πτώματα, τὰ περιττώματα καὶ πάντα τὰ δυσώδη προξενοῦσιν βδελυγμίαν 2). Ἡ μουσικὴ δὲ καὶ ὁ χορὸς καὶ τὸ κάλλος προξενοῦσιν ἄφατον ἡδονήν. Θέλγονται καὶ κηλοῦνται καὶ γοητεύονται. Ἡ αἰμύλη καὶ θελκτικὴ φωνή, οἱ συριγμοί, αἱ ᾠδαὶ καὶ τὰ διάφορα μουσικὰ ὄργανα, σύριγγες καὶ αὐλοὶ καὶ κρόταλα καὶ φώτιγγες καὶ σκινδαψοὶ καὶ κύμβαλα καὶ τύμπανα καὶ τὰ τοιαῦτα ἐμμελῶς ἠχοῦντα καὶ κροτοῦντα καθηδύνουσι, κατευνάζουσι, συγκινοῦσιν αὐτά. Ὑπέχοντα δὲ τὰ ὦτα εἰς τὰ μέλη καὶ τοὺς ῥυθμοὺς πραΰνονται, ἕπονται τῷ νομεῖ καὶ ἕλκονται ὡς ὑπὸ Σειρῆνος καὶ πηδῶσιν καὶ ὀρχοῦνται καὶ δάκρυα χύνουσιν ὑφ' ἡδονῆς 3). Μόνον οἱ ὄνοι εἶνε ἀναίσθητοι πρὸς τὴν μουσι-

1) *Ἀρριανός*, Κυνηγετικὸς 7, 2: Ἤδη δὲ ἔγνων κύνα, ἥτις οἴκοι μὲν κατηφὴς ἦν καὶ οὐδενὶ τῶν πλησιαζόντων ἔχαιρεν· ἐπὶ θήραν δὲ ἐξαγομένη ὑπερηνφραίνετο καὶ παντὶ τῷ προσελθόντι προσμειδιῶσα καὶ προσσαίνουσα διεδήλου ὅτι ἀνιᾶται οἴκοι μένουσα.

2) *Αἰλιανός*, περὶ ζώων 5, 49: Δοκεῖ τοῦτο τὸ ζῶον ἡ ἄρκτος.. νεκρὸν βδελύττεσθαι. μισοῦσι δὲ καὶ οἱ μύες τοὺς ἐν ταῖς ἑαυτῶν διαίταις καὶ καταδρομαῖς ἀποθανόντας καὶ μέντοι καὶ χελιδὼν ἐκβάλλει χελιδόνα νεκράν· μύρμηκες δὲ καὶ ἐκείνοις ἐκφορᾶς νεκρῶν μέλειν καὶ καθαίρειν τοὺς σφετέρους χηραμοὺς ἡ σοφωτάτη φύσις ἔδωκεν, ἐπεὶ καὶ τοῦτο ἴδιον τῶν ἀλόγων, τὰ ὁμογενῆ τε καὶ ὁμοφυᾶ τεθνεῶτα τῶν ὀρθαλμῶν ἀποφέρειν θᾶττον. — *Αὐτόθ.* 6, 27: Φασὶ δὲ τοὺς αἰλούρους πάντα ὅσα δυσώδη ἐστὶ μισεῖν τε καὶ βδελύττεσθαι. ταύτῃ τοι καὶ τὸ σφέτερον περίττευμα ἀφιέναι πρότερον βάθρον ὀρύξαντας, ἵνα ἀφανίσωσιν αὐτὸ τῇς γῆς ἐπιβαλόντες.

3) *Πλούταρχος*, Πότερα κτλ. 961 D-E. Ἡδονῆς δὲ τῇ μὲν δι' ὤτων ὄνομα κλῆσίς ἐστι τῇ δὲ δι' ὀμμάτων γοητεία. χρῶνται δ' ἑκατέροις ἐπὶ τὰ θηρία· κηλοῦνται μὲν γὰρ ἔλαφοι καὶ ἵπποι σύριγξι καὶ αὐλοῖς καὶ τοὺς παγούρους ἐκ τῶν χηραμῶν ἀνακαλοῦνται βιαζόμενοι ταῖς φώτυγξι, καὶ τὴν θρίσσαν ᾀδόντων καὶ κροτούντων ἀναδύεσθαι καὶ προϊέναι λέγουσιν. — *Αἰλιανός*, περὶ ζώων 1, 29: Ἡ γλαῦξ.. τῇ φωνῇ οἱονεί τινι ἐπαοιδῇ γοητείας ὑπεσπαρμένης αἱμύλου τε καὶ θελκτικῆς τοὺς ὄρνιθας ἕλκει καὶ καθίζει πλησίον ἑαυτῆς. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 611, 6, 26: Ἁλίσκονται θηρευόμεναι αἱ ἔλαφοι συριττόντων καὶ ᾀδόντων, καὶ κατακλίνονται ὑπὸ τῆς ἡδονῆς. — *Αἰλιανός*, ἔνθ. ἀν. 11, 12: Τὸ φιλόμουσον τῶν δελφίνων.. καὶ περὶ τὴν ᾠδὴν σπουδαῖόν τε καὶ φιλόπονον κεκήρυκταί τε καὶ εἰς πολλοὺς ἐξεφοίτησεν. — *Πίνδαρος*, ἀπόσπ. 235, ἔκδ. Bergk, σελ. 458: Ἁλίου δ' ἐρεθίζομαι δελφῖνος ὑπόκρισιν. | τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει | αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος. — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 13: Αἱ μέλιτται ὅταν σκιρτήσωσιν ἢ πλανηθῶσιν, ἐνταῦθα οἱ σμηνουργοὶ κροτοῦσι κρότον τινὰ ἐμμελῆ τε καὶ συμμελῆ· αἱ δὲ ὡς ὑπὸ Σειρῆνός ἕλκονται καὶ μέντοι καὶ ὑποστρέφουσιν ἐς ἦθεα τὰ οἰκεῖα αὖθις (τὸ αὐτὸ καὶ Ἀριστοτ. π. τὰ ζ. ἱστ. 627, α, 15). — *Αἰλιανός*, ἔνθ. ἀν. 12, 44: Ἐν Ἰνδοῖς ἐὰν ἀλῷ τέλειος ἐλέφας, ἡμερωθῆναι χαλεπός ἐστιν.. τί οὖν οἱ Ἰνδοὶ κατασοφίζονται; μοῦσαν αὐτοῖς προσάγουσιν ἐπιχώριον καὶ κατᾴδουσιν αὐτοὺς ὀργάνῳ τινί· καλεῖται δὲ σκινδαψὸς τὸ ὄργανον.. ὁ δὲ ὑπέχει τὰ ὦτα καὶ θέλγεται καὶ μένει τῇ μούσῃ δεδεμένος.. πόθῳ τοῦ μέλους.. Λιδύων δὲ ἵπποι.. αὐτὰς αἱρεῖ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κήν 1) καὶ μόνον οἱ λύκοι καὶ αἱ τίγρεις καταθορυβοῦνται ὑπὸ τῶν τόνων αὐτῆς 2). Γοητεύονται δὲ ὑπὸ τῆς ὀρχήσεως 3) καὶ αἰσθάνονται τὸ κάλλος καὶ θέλγονται ὑπ' αὐτοῦ καὶ λατρεύουσιν αὐτὸ ἐξ εἰλικρινοῦς πρὸς αὐτὸ ἀφοσιώσεως καὶ ἥδονται καὶ θρύπτονται ἐπὶ τῷ κάλλει αὐτῶν καὶ χαίρουσι καλλωπιζόμενα καὶ λαμπρυνόμενα 4).

ἡ αὐλησις . . ἔπονται τῷ νομεῖ ὅποι ἂν αὐτὰς τὸ μέλος ἀγάγῃ, ἐπιστάντος δὲ καὶ ἐκεῖναι ἐφίστανται· ἐὰν δὲ ἐπανατείνῃ τὸ αὔλημα, λείβεται δάκρυα ὑφ' ἡδονῆς αὐταῖς. — *Ἀρριανός*, Ἰνδικὴ 14, 3: Ἄγοντες δὲ ἐς τὰς κώμας τοὺς ἁλόντας (ἐλέφαντας οἱ Ἰνδοὶ) τοῦ τε χλωροῦ καλάμου καὶ τῆς ποίης τὰ πρῶτα ἐμφαγεῖν ἔδοσαν, οἱ δὲ ὑπ' ἀθυμίας οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι, τοὺς δὲ περιιστάμενοι οἱ Ἰνδοὶ ᾠδῇσί τε καὶ τυμπάνοισι καὶ κυμβάλοισιν κρούοντές τε καὶ ἐπᾴδοντες κατευνάζουσιν. — *Αἰλιανός*, ἔνθ. ἀνωτ. Τὰς θρίσσας θηρῶσι . . ᾠδῆς μέλει τορωτάτῳ καὶ κρότῳ ὀστράκου ὁμορρροθοῦντι πρὸς τὸ μέλος· αἱ δὲ ὥσπερ ὀρχούμεναι ὑπὸ τῷ μέλει πηδῶσιν. — Πρβλ. *Ἀριστοτέλ.* ἐν Ἠθικοῖς Νικομάχ. 1118, α, 16-25 ἐν ἀντιπαραβολῇ πρὸς τὰ ἐν *Πλουτάρχου* συμποσ. προβλήμ. 704 F. — περὶ τῆς φιλομουσίας τῶν δελφίνων ἴδ. καὶ *Πλούταρχον*, Πότερα κτλ. 984 B. *Αἰλιανόν*, ἔνθ. ἀν. 2, 6. 12, 6. 45. — περὶ τῆς φιλομουσίας τῶν συῶν καὶ ἐλάφων *Αἰλιανόν*, ἔνθ. ἀν. 12, 46. *Κλήμ. τὸν Ἀλεξ.* Παιδαγωγ. 2, 4, ἐκδ. Potter, σελ. 163. — περὶ τῆς φιλομουσίας τῶν ἵππων *Αἰλιανόν*, ἔνθ. ἀν. 15, 25 *Κλήμεντ.* ἔνθ. ἀν. — περὶ τῆς φιλομουσίας καὶ τῶν τριῶν τούτων ὁμοῦ *Πλούταρχον* ἐν συμποσιακ. προβλήμασ. 704 F. — περὶ τῆς φιλομουσίας τῶν παγούρων, τῶν θαλασσίων τρυγόνων, τοῦ ἐλέφαντος καὶ τῆς ἀηδόνος *Αἰλιανόν*, ἔνθ. ἀν. 6, 31. 1, 39. 2, 11. 5, 38.

1) *Αἰλιανός*, περὶ ζώων 10, 28: Λέγουσι δὲ οἱ Πυθαγόρειοι ὑπὲρ τοῦ ὄνου καὶ ἐκεῖνο, μόνον τοῦτον τῶν ζώων μὴ γεγονέναι κατὰ ἁρμονίαν· ταύτῃ τοι καὶ πρὸς τὸν ἦχον τὸν τῆς λύρας εἶνε κωφότατον . .

2) *Αἰλιανός*, περὶ ζώων 11, 28: Λέγει τις λόγος Πυθοχάρην τὸν αὐλητὴν ἀναστεῖλαι λύκων ὁρμὴν αὐλήσαντα σύντονον καὶ γενναῖον αὔλημα — *Σέξτος ὁ Ἐμπειρικὸς* Πυρρων. ὑποτυπ. Α. 48: Φεύγει τίγρις ψόφον τυμπάνου. — *Πίνδαρος*, Πυθιονικῶν 1, 13: Ὅσα δὲ μὴ πεφίληκε Ζεύς, ἀτύζονται βοὰν Πιερίδων ἀΐοντα, γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον.

3) *Πλούταρχος*. Πότερα κτλ. 961 E: Ὁ ὦτος ἁλίσκεται γοητευόμενος, ὀρχουμένων ἐν ὄψει μεθ' ἡδονῆς ἅμα ῥυθμῷ γλιχόμενος τοὺς ὤμους εὖ διαφέρειν. — *αὐτόθ.* Συμποσιακ. προβλήμ. 705 A. Ὀρχούμενοι δὲ τοὺς σκῶπας αἱροῦσι, χαίροντας τῇ ὄψει καὶ μιμητικῶς ἅμα δεῦρο κἀκεῖσε τοὺς ὤμους συνδιαφέροντας. — *Αἰλιανός*, περὶ ζώων 1, 39: Θηρῶσι τὰς τρυγόνας . . τὸν τρόπον τοῦτον. ἑστήκασιν ὀρχούμενοι καὶ ᾄδοντες εὖ μάλα μουσικῶς· αἵ δὲ καὶ τῇ ἀκοῇ θέλγονται καὶ τῇ ὄψει τῆς ὀρχήσεως κηλοῦνται καὶ προσίασιν ἐγγυτέρω. — Ἴδ. *αὐτόθ.* 15, 28 καὶ πρβλ. 2, 11 καὶ 17, 25.

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 488, 6, 24: Φιλόκαλον ὁ ταὼς. — *Αἰλιανός*, περὶ ζώων 5, 21: Ὁ ταὼς οἶδεν ὀρνίθων ὡραιότατος ὤν, καὶ ἔνθα οἱ τὸ κάλλος κάθηται καὶ τοῦτο οἶδε καὶ ἐπ' αὐτῷ κομᾷ καὶ σοβαρός ἐστιν. — *Ἀριστοτοτέλης*, ἔνθ. ἀν. 618, α, 11: Ὁ κόκκυξ τίκτει μὲν οὖν ἓν ᾠόν, ἐπῳάζει δὲ οὐκ αὐτός, ἀλλ' ἐν οὗ ἂν τέκῃ νεοττιᾷ, οὗτος ὁ ὄρνις ἐκκολάπτει καὶ τρέφει καὶ ὡς φασιν, ὅταν αὐξάνηται ὁ τοῦ κόκκυγος νεοττός, ἐκβάλλει τὰ αὐτῆς . . διὰ γὰρ τὸ καλὸν εἶναι τὸν τοῦ κόκκυγος νεοττὸν ἀποδοκιμάζει τὰ αὐτῆς. — *Αἰλιανός*, ἔνθ. ἀν. 1, 38: Ἐλέφας γυναικὸς ὡραίας

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τοιαῦτά τινα ὡς πρὸς τὰ σωματικὰ καὶ αἰσθητικὰ συναισθήματα, ἄγαν, ὡς δῆλον, ἀνθρωπικῶς. Ἐν δὲ τοῖς ἠθικοῖς καὶ θρησκευτικοῖς συναισθήμασι δυσδιάκριτον ἂν ὑστερῶσι τῶν ἀνθρώπων, τοὐλάχιστον τοῦ πολλοῦ πλήθους αὐτῶν, τὰ τελειότερα τῶν καλουμένων ἀλόγων ζώων 1).

Καὶ ταῦτα εὐφραίνονται ἐπὶ τῇ εὐθύμῳ καὶ ζωηρᾷ συναναστροφῇ 2).

ἡττᾶται καὶ παραλύεται τοῦ θυμοῦ ἐκκωφωθεὶς ἐς τὸ κάλλος. — *Πλούταρχος*, Πότερα κτλ. 973 B: Ὑπὸ τῶν μητέρων διδάσκονται αἱ συντρεφόμεναι ἀηδόνες καὶ μανθάνουσι ᾄδειν οὐ διὰ μισθὸν οὐδὲ πρὸς δόξαν, ἀλλὰ τῷ χαίρειν διαμελιζόμεναι καὶ τὸ καλὸν ἀγαπᾶν μᾶλλον ἢ τὸ χρειῶδες τῆς φωνῆς. — *Ξενοφῶν*, περὶ ἱππικῆς 5, 8: Δέδοται παρὰ θεῶν καὶ ἀγλαΐας ἕνεκα ἵππῳ χαίτη καὶ προκόμιον τε καὶ οὐρά. — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 10: Κομῶσα ἵππος ἁδρότατόν τε καὶ θρυπτικώτατον — *Ξενοφῶν*, ἔνθ. ἀν. 10, 3: Ἐὰν δέ τις διδάξῃ τὸν ἵππον . . οὕτως ἂν ἀπεργάζοιτο ποιεῖν τὸν ἵππον οἷοισπερ καὶ αὐτὸς ἥδεταί τε καὶ ἀγάλλεται. τεκμήριον δὲ ὅτι τούτοις ἥδεται· ὅταν γὰρ λυθεὶς θέῃ παρ' ἵππους, μάλιστα δὲ ὅταν παρὰ θηλείας, τότε αἴρει τε τὸν αὐχένα ἀνωτάτω καὶ κυρτοῖ μάλιστα τὴν κεφαλὴν γοργούμενος, καὶ τὰ μὲν σκέλη ὑγρὰ μετεωρίζει τὴν δὲ οὐρὰν ἄνω ἀνατείνει. ὅταν οὖν τις αὐτὸν εἰς ταῦτα προάγῃ ἅπερ αὐτὸς σχηματοποιεῖται ὅταν μάλιστα καλλωπίζεται, οὕτως ἡδόμενόν τε τῇ ἱππασίᾳ καὶ μεγαλοπρεπῆ καὶ γοργὸν καὶ περίβλεπτον ἀποφαίνει τὸν ἵππον. — *Ὅμηρος*, Ἰλ. Ζ 506: Ὡς δ' ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ, | δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων, | εἰωθὼς λούεσθαι ἐυρρεῖος ποταμοῖο, | κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται | ὤμοις αἰσσονται· ὁ δ' ἀγλαΐῃφι πεποιθώς, | ῥίμφα ἑ γοῦνα φέρει μετὰ τ' ἤθεα καὶ νομὸν ἵππων | ὥς κτλ. — *Αἰλιανός*, ἔνθ. ἀν. 16, 24: Αἱ ἵπποι βούλονται ὡραῖαι φαίνεσθαι καὶ ἔτι μᾶλλον τοῖς ἑαυτῶν ἡνιόχοις. — *Ἀρριανός*, Κυνηγετικός 7, 7: Ταῖς δὲ γενναιοτάταις (κυσὶ) καὶ ἐπισκύνιον πρόσεστιν καὶ σοβαραὶ φαίνονται καὶ τὸ βάδισμα κοῦφον καὶ πυκνὸν καὶ ἁδρὸν καὶ μεταβάλλουσι τὰς πλευράς, καὶ τὸν τράχηλον ἀνατείνουσιν, καθάπερ οἱ ἵπποι, ἐπειδὰν λαμπρύνωσιν — Ἔτι ἴδ. καὶ *Ξενοφῶντα* περὶ ἱππικῆς 10, 16. *Αἰλιανὸν* ἔνθ. ἀν. 6, 24. *Σιμωνίδην τὸν Ἀμοργῖνον*, ἔκδ. Bergk, τόμ. 2, σελ. 450, στίχ. 57 καὶ 63 καὶ ἑξ. *Ὅμηρον* Ἰλιάδ. Ο 263. *W. E. Gladstones* Homerische Studien bearbeitet v. Schuster, 1863, σελ. 443-445. — περὶ τοῦ καλλωπισμοῦ τῶν ζώων κατὰ τοὺς ἔρωτας αὐτῶν ὁ οἰκεῖος τόπος εἶνε παρακατιών. Ὅμοια καὶ ἀνάλογα τούτοις καὶ παρὰ *Romanes* σελ. 233: So lange sie zusammen blieben, war der ungewöhnliche Grad von Stolz, den die Mutter hinsichtlich ihres schönen Kindes an den Tag legte, höchst spasshaft auzusehen — καὶ *αὐτόθ.* σελ. 382 ἐν τέλει: Die aesthetische Vorliebe für Zierrath κτλ.

1) *Wund*, ἔνθ. ἀν. 2, 203 τέλος: Die Frage nach der Existent eines sittlichen Gefühls bei den vollkomneren Thieren hat sich damit von selber entschieden. Auch hier steht das Thierreich nicht ausserhalb der menschlichen Entwicklungsreihe, sondern es bildet die unmittelbare Vorstufe zu dieser.

2) *Ἀριστοτέλης*, προβλήματα 896, 6, 10, καὶ περὶ τὰ ζῶα ἱστ. 572 α, 30: Ἵππος ἵππῳ χαίρει καὶ ἐπιθυμεῖ . . πρὸς αὐτὰς παίζουσιν. — *Ἀρριανός*, Κυνηγετικὸς 12, 2: Κύνας δύο ἐπιλύειν ἐν ταὐτῷ ὥστε ἀμιλλωμένας καὶ παιζούσας ὁμοῦ μὲν εὐφραίνεσθαι, ὁμοῦ δὲ γυμνάζεσθαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Εὐφραίνονται ἐπὶ τοῖς προτερήμασιν αὐτῶν 1). Χαίρουσιν ἐπὶ τοῖς διὰ τῶν ἰδίων μόχθων κτηθεῖσι 2). Χαίρουσιν ὅταν ἡ ἀξία καὶ οἱ μόχθοι αὐτῶν δὲν λανθάνουσιν, ἀλλ' ὑπάρχουσι τῆς ἐπιδεξιότητος αὐτῶν θεαταὶ καὶ τῆς ἀξίας αὐτῶν κριταί 3). Χαίρουσιν ἐπαινούμενα καὶ θαυμαζόμενα καὶ τιμώμενα 4). Χαίρουσιν ἐπὶ τῇ πιστῇ ἐκπληρώσει τῆς ἀνατεθείσης αὐτοῖς ἐντολῆς 5). Χαίρουσιν ἐπὶ τῇ πιστῇ ἐκπληρώσει τῶν καθηκόντων αὐτῶν καὶ ἀστράπτουσιν οἱ ὀφθαλμοὶ αὐτῶν καὶ σκιρτῶσιν ἐξ ἀγαλλιάσεως ἐπὶ τῇ μετὰ μόχθους πολλοὺς ἐπιτεύξει τοῦ ὑπ' αὐτῶν ἐπιδιωκομένου σκοποῦ 6). Ἐνθουσιῶσι δὲ ἀναμιμνησκόμενα ἡμερῶν ἀρχαίων, ζωῆς καὶ μεγαλουργίας μεστῶν 7) καὶ γαυ-

1) *Aἰλιανός*, περὶ ζώων 8, 24: Ἀγρεὺς τὴν φύσιν πτηνός, τὸ γένος κοσσύφων . . φράτωρ, μουσικὸς τὴν γλῶτταν . . ἀκούων ἑαυτοῦ εὐφραίνεται.

2) *Aἰλιανός*, ἔνθ. ἀν. 2, 39: Χρυσάετος . . θήρας ἀλλοτρίας οὐχ ἅπτεται κειμένης, ἀλλὰ χαίρει τοῖς ἑαυτοῦ πόνοις. — *Αὐτόθ.* 8, 10: Κύων ἀγρευτικὸς αὐτὸς λαβὼν θηρίον ἥδεται.

3) *Ἀρριανός*, Κυνηγετικὸς 17, 1: Καὶ τὴν κύνα δὲ ἀνακαλεῖν ἀγαθόν· χαίρουσι γὰρ τὴν φωνὴν τοῦ δεσπότου γνωρίζουσαι, καὶ παραμυθίαν ἴσχουσι τῶν πόνων τὸ γιγνώσκειν ὅτι θεατὴς αὐταῖς πάρεστιν καὶ ὅτι οὐ λανθάνουσιν ἀγωνιζόμεναι καλῶς.

4) *Ἀρριανός*, ἔνθ. ἀν. 18, 1: Αἱ κύνες χαίρουσιν ἐπαινούμεναι, καθάπερ τῶν ἀνθρώπων οἱ γενναῖοι. — *Aἰλιανός*, ἔνθ. ἀν. 5, 21: Ὁ ταὼς ἐπαινεθεὶς αἰσθάνεται καὶ ὥσπερ οὖν ἡ παῖς καλός, ἡ γυνὴ ὡραία τὸ μάλιστα πλεονεκτοῦν τοῦ σώματος ἐπιδείκνυσιν, οὕτω τοι καὶ ἐκεῖνος τὰ πτερὰ ἐν κόσμῳ καὶ κατὰ στοῖχον ὀρθοῖ καὶ ἔοικεν ἀνθηρῷ λειμῶνι ἢ γραφῇ πεποικιλμένῃ πολυχροΐᾳ τῇ τῶν φαρμάκων. — *Πίνδαρος*, ἀπ. 221, ἔκδ. Bergk: Ἀελλοπόδων μέν τιν' εὐφραίνοισιν ἵπποι | τίμια καὶ στέφανοι, τοὺς δ' ἐν πολυχρύσοις θαλάμοις βιοτά· ἴδ. καὶ *Σέξτον τὸν Ἐμπειρ.* ἐν Πυρρων. ὑποτ. Α. 86, ἔκδ. Bekker, σελ. 20.

5) *Πλούταρχος*, Πότερα κτλ. 973 Ε καὶ ἑξ.: Παρὼν ὁ κύων μίμῳ πλοκὴν ἔχοντι δραματικὴν καὶ πολυπρόσωπον ἄλλας τε μιμήσεις ἀπεδίδου τοῖς ὑποκειμένοις πάθεσι καὶ πράγμασι προσφόρους καὶ . . ἔπειτα θαυμασάντων, ἐξαναστὰς ἐβάδιζε πρὸς ὃν ἔδει· καὶ προσήκαλλε χαίρων καὶ φιλοφρονούμενος.

6) *Πλούταρχος*, Πότερα κτλ. 969 Ε καὶ ἑξ.: Παραρρυεὶς ἄνθρωπος εἰς τὸν νεὼν τοῦ Ἀσκληπιοῦ τὰ εὔογκα τῶν ἀργυρῶν καὶ χρυσῶν ἔλαβεν ἀναθημάτων καὶ λεληθέναι νομίζων ὑπεξῆλθεν· ὁ δὲ φρουρὸς κύων, ὄνομα Κάππαρος, ἐπεὶ μηδεὶς ὑλακτοῦντι τῶν ζακόρων ὑπήκουσεν αὐτῷ, φεύγοντα τὸν ἱερόσυλον ἐπεδίωκε . . οἱ διώκοντες καταλαβόντες τὸν ἄνθρωπον . . ἀνήγαγον. ὁ δὲ κύων ἀνατρέψας προηγεῖτο γαῦρος καὶ περιχαρὴς οἷον ἑαυτοῦ ποιούμενος ἄγραν καὶ θήραμα τὸν ἱερόσυλον. — *Ξενοφῶν*, Κυνηγετικὸς 6, 14: Ἐπειδὰν δὲ ἡ κύων λάβῃ τὸ ἴχνος ὀρθόν . . παραλῦσαι καὶ ἑτέραν . . αἱ δ' ὑπὸ χαρᾶς καὶ μένους προΐασιν ἐξίλλουσαι τὰ ἴχνη . . ἑαυτὰς παραθέουσαι, ταχὺ ταῖς οὐραῖς διασείουσαι καὶ ἐπικλίνουσαι τὰ ὦτα, καὶ ἀστράπτουσαι τοῖς ὄμμασιν. — *Aἰλιανός*, ἔνθ. ἀνωτ. 8, 2: Ἀλόντος δὲ τοῦ θηρός, ὁ δὲ ἐπινίκιόν τινα οἱονεὶ παιᾶνα ἐκβοᾷ, καὶ γέγηθε καὶ σκιρτᾷ, ὥσπερ οὖν ἐχθροὺς ὁπλῖται νενικηκότες. — Ἴδ. καὶ *Ξενοφῶντα*, ἔνθ. ἀν. 4, 4 καὶ ἑξ. *Aἰλιανόν*, ἔνθ. ἀν. 8, 2.

7) *Aἰλιανός*, ἔνθ. ἀνωτ. 6, 100: Μέμνηται δὲ ὧν πάσχει τὰ ζῶα . . ἵππος ὅταν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ριῶσιν αἰσθανόμενα τὴν ἀξίαν καὶ τὴν ὑπεροχὴν αὐτων 1). Περίλυπα δὲ καὶ κατηφῆ γίνονται, ὅταν δὲν προάγωνται οἱ σκοποὶ αὐτῶν 2). Αἰσθάνονται βαθέως τὴν προσβολὴν τῆς φιλοτιμίας αὐτῶν 3). Ἀγανακτοῦσιν, ὅταν καταφρονῶνται καὶ σκώπτωνται καὶ ὅταν δὲν κατορθώσωσι νὰ κατισχύσωσι τῶν ἀντιπάλων αὐτῶν 4). Αἰσχύνονται καὶ καταλαμβάνονται ὑπό βαθείας μελαγχολίας, ὅταν περιπέσωσιν εἰς κατάστασιν μὴ ἐμπρέπουσαν εἰς τὸ ἀξίωμα αὐτῶν 5).

Ἡ αἰδημοσύνη τινῶν ζώων εἶνε ἀνωτέρα τῆς αἰδημοσύνης πολλῶν ἀνθρώπων. Τὴν γενετήσιον ὁρμὴν ἐκπληροῦσιν μακρὰν τῶν ἄλλων ἐν κρυπτῷ καὶ παραβύστῳ 6). Ὅταν ἡττηθῶσιν ὑπὸ τῶν ἀντιπάλων, συ-

ἀκούσῃ ψαλίων κρότον καὶ χαλινοῦ κτύπον, καὶ προστερνίδιά τε καὶ προμετωπίδια θεάσηται, φριμάττεται ἐνταῦθα, καὶ τὰς ὁπλὰς σκιρτῶν ἐπικροτεῖ καὶ ἐνθουσιᾷ . . καὶ τὰ ὦτα ὤρθωσεν αὐτὸς καὶ τοὺς μυκτῆρας διέστησε μνήμῃ δρόμου καὶ συνηθείας ἴυγγι ἁμάχῳ.

1) *Ξενοφῶν*, περὶ ἱππικῆς 10, 15 : Οὐ γὰρ μάλα ὅταν λυπῶνται ὑγροῖς τοῖς σκέλεσιν ἵπποι χρῶνται· ἢν δέ τις . . ἀνεζωπυρημένῳ αὐτῷ δῷ τὸν χαλινόν, ἐνταῦθα ὑφ' ἡδονῆς . . κυδρῷ μὲν τῷ σχήματι, ὑγροῖν δὲ τὴν σκελοῖν γαυριώμενος φέρεται, παντάπασιν ἐκμιμούμενος τὸν πρὸς ἵππους καλλωπισμόν. — *Αἰλιανός*, ἔνθ. ἀν. 4, 29 : Ἀλεκτρυὼν . . κρατήσας γαῦρός ἐστι, καὶ ὑψαυχενεῖ καὶ κυδρουμένῳ ἔοικεν.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 8, 2 : Ὁ κύων θηρατικὸς προηγεῖται τοῦ κυνηγέτου ἱμάντι μακρῷ προσημμένος καὶ ῥινηλατεῖ τῆς φωνῆς ἔχων ἐγκρατῶς. καὶ ἐς ὅσον μὲν ἀθηρία ἀπαντᾷ αὐτῷ καὶ οὐδενὶ ἐντυγχάνει, πρόεισιν ὅσα ἰδεῖν καὶ τεκμήρασθαι κατηφέστερος. Τὰ αὐτὰ καὶ ὁ Romanes, ἔνθ. ἀν σελ. 382 ἐν τέλ.

3) *Αἰλιανός*, ἔλθ. ἀν. 6, 1 : Ταῦρος ἡγεμὼν τῆς ἀγέλης ὅταν ἡττηθῇ ἡγεμόνος ἄλλου, ἑαυτὸν ἀποκρίνει εἰς χῶρον ἕτερον.

4) *Αἰλιανός*, ἔνθ. ἀν. 5, 36 : Ἀστερίας . . εἴ τις ὄκνον καλέσειεν αὐτόν . . ἀγανακτεῖ, ὡς εἰς τὸ ἀγεννὲς σκωπτόμενος καὶ εἰς ἀργίαν εὐθυνόμενος. — *Πλούταρχος*, περὶ του τὰ ἄλογα κτλ. 987 D: Τὰ θηρία . . φύσει φεύγοντα τὸ κρατεῖσθαι μέχρι τῶν ἐσχάτων ἐγκαρτερεῖ καὶ διαφυλάττει τὸ ἀήττητον . . πολλῶν δὲ θνησκόντων ἡ ἀλκὴ μετὰ τοῦ θυμοειδοῦς ἀποχωρήσασά ποι καὶ συναθροισθεῖσα περὶ ἕν τι τοῦ σώματος μόριον ἀνθίσταται τῷ κτείνοντι καὶ πηδᾷ καὶ ἀγανακτεῖ, μέχρι ἂν ὥσπερ πῦρ ἐγκατασβεσθῇ παντάπασι καὶ ἀπόλλυται.

5) *Σοφοκλῆς*, ἐν Τυροῖ, ἀπ. 593, ἔκδ Nauck, σελ. 219. ἔκδ. Dindorf, ἀπ. 587 καὶ 588: Κόμης δὲ πένθος λαγχάνω πώλου δίκην, | ἥτις συναρπασθεῖσα βουκόλων ὕπο | μάνδραις ἐν ἱππείαισιν ἀγρίᾳ χερὶ | θέρος θερισθῇ ξανθόν αὐχένων ἄπο, | σπάσουσα δ' ἐν λειμῶνι ποταμίων ποτῶν | ἴδῃ σκιᾶς εἴδωλον αὐγασθεῖσ' ὑπό | κουραῖς ἀτίμως διατετιλμένης φόβης. | φεῦ, κἂν ἀνοικτίρμων τις οἰκτείρειέ νιν | πτήσσουσαν αἰσχύναισιν οἷα μαίνεται | πενθοῦσα καὶ κλαίουσα τὴν πάρος φόβην. | — *Αριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 572, 6, 7 : Αἱ ἵπποι ὅταν ἀποκείρωνται . . γίνονται κατηφέστεραι — Ἰδ. καὶ *Πλούταρχον* ἐν Ἐρωτικῷ 754 A. *Αἰλιανόν*, ἔνθ. ἀν. 2, 10. 11, 18. 12, 16. Πρβλ. καὶ *Ἀριστοτέλην*, περὶ τὰ ζῶα ἱστορ. 488, 6, 12 καὶ 23.

6) *Αἰλιανός*, ἔνθ. ἀν. 6, 60 : Μασσαγέται μέν, ὡς Ἡρόδοτος λέγει, τὸν φαρετρεῶνα πρό γε ἑαυτῶν κρεμάσαντες, εἶτα μέντοι ὁμιλεῖ τῇ θηλείᾳ ὁ ἄρρην ἐμφανῶς, εἰ καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στέλλονται, ταπεινοῦνται καὶ ἀφανίζονται καταδυόμενα ἐν τῷ σκότῳ 1). Ὅταν μάχωνται ἐπὶ παρουσίᾳ ὄντων, ἅτινα σέβονται καὶ ἀγαπῶσι, προτιμῶσι νὰ ἀποθάνωσι μᾶλλον μαχόμενα ἢ νὰ φανῶσι καταδεέστερα τῶν προσδοκιῶν καὶ τῆς ὑπολήψεως αὐτῶν, γενναιότερα πολλῶν ἀνθρώπων πράττοντα 2). Τὰ χαλεπὰ καὶ δυστυχῆ βιωτικὰ συμπτώματα, αἱ ποικίλαι ἀποτυχίαι τουτέστι καὶ αἱ πολύμορφοι συμφοραὶ καὶ τὰ πολυειδῆ ἀτυχήματα ἐν τῷ βίῳ καθιστῶσι τὰ ζῶα δύσθυμα καὶ περίλυπα. Ὅταν συλληφθῶσι καὶ ἀπαχθῶσιν εἰς τὴν δουλείαν, ὅταν ἀφαιρεθῶσι τὴν ἐλευθερίαν καὶ ἐγκαθειρχθῶσιν ἐν οἰκίσκοις, ὅταν ἐπίδωσι τοὺς συζύγους αὐτῶν πίπτοντας κατὰ τοὺς ὑπὲρ τῆς σωτηρίας τῶν οἰκογενειῶν αὐτῶν ἀγῶνας, ὅταν ἐννοήσωσιν ὅτι ἐπικρέμαται αὐτοῖς δεινόν τι μέγα καὶ ἄφυκτον, λυποῦνται πολὺ καὶ ἀθυμοῦσι σφόδρα, μένουσι σιωπηλὰ καὶ ἀφίστανται πάσης τροφῆς 3).

ὁρῷεν αὐτοὺς οἱ πάντες, πεφροντικότες οὐδὲν ἐκεῖνοί γε. καμήλων δὲ ὁμιλία οὐκ ἄν ποτε ἐμφανὴς γένοιτο, οὐδὲ ὁρώντων οἱονεὶ μαρτύρων· ἀλλ' εἴτε αἰδὼ φαμεν εἴτε φύσεως δῶρον ἀπόρρητον κτλ. — *Αὐτόθ.* 8, 17: Οἱ ἐλέφαντες.. συμπλέκονται οὐκ ἀνέδην οὐδὲ ἐν τῇ τῶν ἄλλων ὕβει ἀλλ' ἀναχωρήσαντες· καὶ ἑαυτῶν προβάλλονται ἢ δένδρα δασέα ἢ ὕλην τινὰ συμφυῆ ἢ χῶρον κοῖλον καὶ βαθὺν τοῦ λαθεῖν αὐτοῖς παρέχοντα ἀφθονίαν.

1) *Αἰλιανός*, ἔνθ. ἀν. 4, 29: Μάχῃ δὲ ἀλεκτρυὼν καὶ τῇ πρὸς ἄλλον ἡττηθεὶς ἀγωνίᾳ οὐκ ἂν ἄσειε· τὸ γάρ τοι φρόνημα αὐτῷ κατέσταλται καὶ καταδύεταί γε ὑπὸ τῆς αἰδοῦς.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 4, 1: Οἱ τρέφοντες τοὺς ἀθλητὰς πέρδικας, ὅταν αὐτοὺς ἐς τὴν μάχην τὴν κατ' ἀλλήλων ὑποθήγωσιν, τὴν θήλειαν παρεστάναι ποιοῦσιν ἑκάστῳ τὴν σύννομον, σόφισμα τοῦτο δειλίας καὶ κάκης τῆς κατὰ τὴν ἀγωνίαν ἀντίπαλον αὐτοῖς εὑρόντες. οὐ γὰρ τι που ἡττώμενος φανῆναι ἢ τῇ ἐρωμένῃ ἢ τῇ γαμετῇ ὁ πέρδιξ ὑπομένει· τεθνήξεται δὲ μᾶλλον παιόμενος ἢ ὁμόσε χωροῦντος ἀποστραφεὶς ἰδεῖν τολμήσει ταύτην ἀσχημόνως παρ' ᾗ βούλεται εὐδοκιμεῖν.. αἰδεσθῆναι μὲν οὖν ἄνθρωπον ὄντα φανῆναι κακὸν οὔπω θαυμαστόν· πέρδικι δὲ μετεῖναι αἰδοῦς ὑπέρσεμνον τοῦτο ἐκ τῆς φύσεως δῶρον. Ἀριστόδημος δὲ ὁ τρέσας καὶ Κλεώνυμος ὁ ῥίψας τὴν ἀσπίδα καὶ ὁ δειλὸς Πείσανδρος οὔτε τὰς πατρίδας ἠδοῦντο οὔτε τὰς γαμετὰς οὔτε τὰ παιδία.

3) *Ἀρριανός*, Ἰνδικὴ 14, 2: Ἄγοντες ἐς τὰς κώμας τοὺς ἁλόντας (ἐλέφαντας οἱ Ἰνδοὶ) τοῦ τε χλωροῦ καλάμου καὶ τῆς ποίης τὰ πρῶτα ἐμφαγεῖν ἔδοσαν, οἱ δὲ ὑπ' ἀθυμίας οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι. — *Αἰλιανός*, περὶ ζώων 8, 24 καὶ 3, 40: Ἀγρεὺς τὴν φύσιν πτηνός.. μουσικὸς τὴν γλῶτταν.. τοῦτον εἴ τις ποτε ἐθήρασε καὶ ἐν οἰκίσκῳ καθεῖρξεν, οὐδὲν αὐτῷ πλέον τὸ τῆς σπουδῆς· ἔχει γὰρ ἄφωνον ὄρνιν, ὥσπερ οὖν τὸν θηράσαντα ὑπὲρ τῆς δουλείας ἀμυνόμενον τῇ σιωπῇ — ἡ ἀηδὼν ἐλευθερίας ἐράστρια ἰσχυρῶς, καὶ διὰ ταῦτα ἡ ἐντελὴς τὴν ἡλικίαν ὅταν θηραθῇ καὶ καθειργμένη ᾖ ἐν οἰκίσκῳ, ᾠδῆς ἀπέχεται καὶ ἀμύνεται τὸν ὀρνιθοθήραν ὑπὲρ τῆς δουλείας τῇ σιωπῇ. — *Αὐτόθ.* 1, 15: Οἱ θῆλεις κόσσυφοι, ἕως μὲν ἄρρενα ὁρῶσι προασπίζοντα.. μένουσιν ἔνδον καὶ τὸ τῆς οἰκουρίας φυλάττουσι σχῆμα· ὅταν δὲ ἀφανισθῇ, ἁλύουσιν αἴδε, προάγει τε αὐτὰς καὶ ἐξάγει ἡ ἀθυμία καὶ ἐνταῦθα ἑαλώκασι. — *Αὐτόθ.* 7, 26: Μέλλουσα ἡ αἴξ ἀποσφάττεσθαι σαφῶς οἶδε, καὶ τὸ μαρτύριον, οὐκ ἄν ἔτι τροφῆς προσάψαιτο·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐνίοτε δὲ μάλιστα τόσον μεγάλη εἶνε ἡ λύπη καὶ τόσον βαθεῖα ἡ ἀθυμία αὐτῶν, ὥστε κλαίουσιν ἀστακτί, πηροῦνται τὴν ὄψιν ἐκ τῶν ἀμέτρων δακρύων, παραφρονοῦσι, τήκονται καὶ αὐτοκτονοῦσιν.

Κλαίουσι καὶ δακρύουσι καὶ πηροῦνται τὴν ὄψιν ἐκ νοσταλγίας, ὅταν ἀποσπώμενα ἐκ τῆς γενεθλίου αὐτῶν γῆς μένουσιν μακρὰν αὐτῆς ἐν τῇ δουλείᾳ 1). Παραφρονοῦσιν, ὅταν στερηθῶσι τῶν ποθητῶν αὐτοῖς ὄντων 2). Τήκονται δὲ ἐκ τῆς λύπης καὶ φθίνουσιν ἐκ τῆς ἀσιτίας καὶ αὐτοκτονοῦσιν, ὅταν συλληφθῶσι καὶ ἁπαχθῶσιν εἰς τὴν δουλείαν 3), ὅταν ἀποσπασθῶσιν ἐκ τῆς θρεψαμένης αὐτοὺς χώρας καὶ βίᾳ κατακρατοῦνται μακρὰν αὐτῆς 4), ὅταν ἀπομακρυνθῶσιν ἐκ τῶν προσφιλῶν αὐτοῖς ὄντων 5), ὅταν στερηθῶσι τῶν συννόμων αὐτῶν 6), ὅταν ἐν ἀγνοίᾳ καὶ ἐν παραφορᾷ βλάψωσί τινα, πρὸς ὃν ἀγάπην καὶ ἀφοσίωσιν καὶ εὐγνωμοσύνην ὤφειλον 7), ὅταν ἐξαπατηθέντα πράξω-

Ἰδ. αὐτόθ. καὶ 15, 27. *Ἀρριανός*, Κυνηγετικός 12, 4. — Τὰ αὐτὰ ἐν ἐκτάσει καὶ ὁ *Thompson* καὶ ὁ *Burdach* καὶ ὁ *Romanes* (Ἰδ. Romanes σελ. 159 - 161).

1) *Αἰλιανός*, περὶ ζώων 10, 17 : Ἀποσπώμενοι τῆς συνήθους γῆς οἱ ἐλέφαντες καὶ ἐὰν ἡμερωθῶσιν.. ὅμως τὸ φίλτρον τῆς θρεψαμένης χώρας οὐκ ἂν αὐτοῖς ποτε ἐξίτηλον γένοιτο.. τινὲς κλαίοντες ἀστακτὶ καὶ ἀμέτροις τοῖς δακρύοις ἐπηρώθησαν τὴν ὄψιν. — Τὰ αὐτὰ καὶ ὁ Romanes, ἔνθ. ἀν. σελ. 159 - 161.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 7, 43 : Πυνθάνομαι.. πρᾶον γενέσθαι ἐλέφαντα, ἰόντα τε αὐτὸν ἐπὶ τὰς νομὰς στεφανόπωλιν γυναῖκα ὁρᾶν ἡδέως.. χρόνῳ ὕστερον ἡ μὲν ἄνθρωπος τὸν βίον κατέστρεψεν, ὁ δὲ ἐλέφας.. οὐχ ὁρῶν ἦν ἐπόθει γυναῖκα.. ἐξηγριώθη καὶ ὁ τέως πραότατος ὢν ἐς θυμὸν ἐξήφθη ὥσπερ οὖν καὶ τῶν ἀνθρώπων οἱ ἄγαν ὑπὸ τῆς λύπης ἐπικλυσθέντες καὶ ἔκφρονες γεγενημένοι. — Τὰ αὐτὰ καὶ Romanes, σελ. 160.

3) *Αἰλιανός*, περὶ ζώων 2, 38 : Ἡ ἴδιος συλληφθεῖσα — ἑαυτὴν ἀποκτείνει λιμῷ *Αὐτόθ.* 16, 3 : Κερκίων οὐ τὴν ἐξ ἀνθρώπων τροφὴν ἡδέως ὑπομένει, ἀλλ' ἐλευθερίας πόθῳ καὶ παρρησίας τῆς κατὰ τὴν συντροφίαν ἐπιθυμίᾳ ἀσπάζεται λιμὸν μᾶλλον ἢ δουλείαν μετὰ τροφῆς. — *Αὐτόθ.* 12, 44 : Ἐλέφας τὴν ἐλευθερίαν ποθῶν φονᾷ.

4) *Αἰλιανός*, ἔνθ. ἀν. 10, 17 : Ἀποσπώμενοι τῆς συνήθους γῆς οἱ ἐλέφαντες, καὶ ἐὰν ἡμερωθῶσι.. ὅμως τὸ φίλτρον τῆς θρεψαμένης χώρας οὐκ ἂν αὐτοῖς ποτε ἐξίτηλον γένοιτο. οἱ πλεῖστοι γοῦν ὑπὸ τῆς λύπης διαφθείρονται.

5) *Αἰλιανός*, ἔνθ. ἀν. 6, 44 : Σωκλῆς.. Ἀθηναῖος ἐπρίατο ἵππον.. οἷον σοφώτερον ἢ κατὰ τοὺς ἄλλους ἵππους. οὐκοῦν ἐρᾷ τοῦ δεσπότου δριμύτατα.. ὁ Σωκλῆς.. ἀπημπόλησε τὸν ἵππον, ὁ δὲ οὐ φέρων τὴν ἐρημίαν τὴν ἀπ' αὐτοῦ, ἑαυτὸν τοῦ ζῆν ἀπηλλαξε λιμῷ βιαιοτάτῳ. — Τὰ αὐτὰ καὶ ὁ *Romanes* σελ. 383 ἐν ἀρχῇ.

6) *Αἰλιανός*, ἔνθ. ἀν. 5, 28: Ἐν οἰκίᾳ τρέφεσθαι πορφυρίωνα καὶ ἀλεκτρυόνα ἤκουσα καὶ σιτεῖσθαι μὲν τὰ αὐτὰ βαδίζειν δὲ τὰς ἴσας βαδίσεις καὶ κοινῇ κονίεσθαι. οὐκοῦν ἐκ τούτων φιλίαν τινὰ θαυμαστὴν αὐτοῖς ἐγγενέσθαι. Καί ποτε ὁ δεσπότης τὸν ἀλεκτρυόνα κατέθυσεν.. ὁ δὲ πορφυρίων τὸν σύννομον οὐκ ἔχων καὶ τὴν ἐρημίαν μὴ φέρων ἑαυτὸν ἀτροφίᾳ διέφθειρεν.

7) *Ἀρριανός*, Ἰνδικὴ 14, 4 : Ἐλέφας.. πρὸς ὀργὴν ἀποκτείνας τὸν ἀμβάτην ὑπὸ μετανοίης τε καὶ ἀθυμίης ἀπέθανεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σιν ἐκδικόν τι καὶ ἔκθεσμον ἔργον 1), ὅταν ἀποθάνωσιν οἱ ποθητοὶ αὐτῶν φίλοι καὶ οἱ ἀγαθοὶ αὐτῶν κύριοι 2), ὅταν πολλὰ ὑπὲρ τῶν τέκνων αὐτῶν μοχθήσαντα ἀπελπισθῶσι περὶ τῆς σωτηρίας αὐτῶν 3).

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα κτλ. 630, 6, 31. 620, α, 7 : Οἱ δὲ κάμηλοι οὐκ ἀναβαίνουσιν ἐπὶ τὰς μητέρας, ἀλλὰ κἂν βιάζηταί τις, οὐ θέλουσιν. λέγεται δὲ καὶ τῷ Σκυθῶν βασιλεῖ γενέσθαι ἵππον γενναίαν, ἐξ ἧς ἅπαντας ἀγαθοὺς γίνεσθαι τοὺς ἵππους· τούτων ἐκ τοῦ ἀρίστου βουλόμενον γεννῆσαι ἐκ τῆς μητρὸς προσαγαγεῖν ἵν' ὀχεύσῃ· τὸν δ' οὐ θέλειν· περικαλυφθείσης δὲ λαθόντα ἀναβῆναι· ὡς δ' ὀχεύσαντος ἀπεκαλύφθη τὸ πρόσωπον τῆς ἵππου φεύγειν καὶ ῥίψαι ἑαυτὸν κατὰ τῶν κρημνῶν. — Τὸ αὐτὸ καὶ *Αἰλιανός*, ἔνθ. ἀν. 3, 47.

2) *Πλούταρχος*, Πότερα κτλ. 984, Ε: Ἡ δὲ πρὸς τὸν Ἰασέα παῖδα τοῦ δελφῖνος εὔνοια καὶ φιλία δι' ὑπερβολὴν ἔρως ἔδοξε· συνέπαιζε γὰρ αὐτῷ καὶ συνενήχετο καθ' ἡμέραν.. ἔπειτα περιδαίνοντος.. ἔφερε χαίρων.. ὄμβρου δέ ποτε πολλοῦ μετὰ χαλάζης ἐπιπεσόντος, ὁ μὲν παῖς ἀπορρυεὶς ἐξέλιπεν, ὁ δὲ δελφὶν ὑπολαβὼν ἅμα τῷ νεκρῷ συνεξέωσεν αὐτὸς ἑαυτὸν ἐπὶ τὴν γῆν καὶ οὐκ ἀπέστη τοῦ σώματος, ἕως ἀπέθανε. (τὸ αὐτὸ καὶ Αἰλιανὸς 6, 15) — *Αἰλιανός* ἔνθ. ἀν. 2, 40 : Ἦν δ' ἄρα γένος ἀετῶν καὶ πρὸς τοὺς τρέφοντας φιλόστοργον, ὥσπερ οὖν καὶ ὁ τοῦ Πύρρου. τοῦτόν τοί φασι καὶ ἐπαποθανεῖν τῷ δεσπότῃ τροφῆς ἀποστάντα. ἤδη δὲ καὶ ἀνδρὸς ἰδιώτου ἀετὸς τρόφιμος κομένου τοῦ δεσπότου ἐς τὴν πυρὰν ἑαυτὸν ἐνέβαλεν — *Αὐτόθ.* 6, 25 : Τὰ ζῶα ὑπερβολὴν φιλοστοργίας οὐ παραλέλοιπεν. ὁ γοῦν Ἠριγόνης κύων ἐπαπέθανε τῇ δεσποίνῃ, καὶ ὁ Σιλανίωνος καὶ ἐκεῖνος τῷ δεσπότῃ, καὶ οὔτε πρὸς βίαν οὔτε σὺν κολακείᾳ ἀπέστη τοῦ τάφου..καὶ Λυσιμάχῳ δὲ τῷ βασιλεῖ κύων..κοινοῦ τοῦ τέλους ἐκὼν μετέλαβε σωθῆναι δυνάμενος (τὸ αὐτὸ καὶ 7, 28). *Αὐτόθ.* 7, 40: Πώλῳ τῷ τῆς τραγῳδίας ὑποκριτῇ ὁ κύων ὁ τρόφιμος αὐτοῦ τεθνεῶτι καὶ κομένῳ ἑαυτὸν συγκατέπρησε τῇ πυρᾷ ἐμπηδήσας. κομένῳ δὲ καὶ Μέντορι σκύλακες Ἐρετρικαὶ ἑαυτὰς συγκατέπρησαν ἐκοῦσαι κοινωνήσασαι τοῦ τέλους. Θεόδωρον δὲ ἄνδρα ψαλτικὴν ἀγαθόν, τὸν μὲν εἰς τὴν σορὸν ἐνέθεσαν οἱ προσήκοντες, κυνίδιον δὲ Μελιταῖον ἑαυτὸ ἐνέβαλεν εἰς τὴν θήκην τοῦ νεκροῦ καὶ συνετάφη. — *Αὐτόθ.* 10, 41 : Εὐπόλιδι τῷ τῆς κωμῳδίας ποιητῇ δίδωσι δῶρον Αὐγέας ὁ Ἐλευσίνιος σκύλακα ἰδεῖν ὡραῖον, Μολοττὸν τὸ γένος.. ἐφίλει τὸν δεσπότην ὁ κύων.. χρόνῳ δὲ ὕστερον ἐν Αἰγίνῃ τὸν βίον ὁ Εὔπολις κατέστρεψεν, καὶ ἐτάφη ἐνταῦθα. ὁ δὲ κύων ὠρυόμενος τε καὶ θρηνῶν . . εἶτα μέντοι λύπῃ καὶ λιμῷ ἑαυτὸν ἐκτήξας ἀπέθανεν ἐπὶ τῷ τροφεῖ καὶ δεσπότῃ μισήσας τὸν βίον. — *Ὁμηρος*, Ἰλ. Ψ 280 (οἱ ἵπποι τοῦ Ἀχιλλέως) Τοίου κλέος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο | ἠπίου . . | τὸν τώ γ' ἑστηότες πενθείετον, οὔδεϊ δέ σφιν | χαῖται ἐρηρέδαται, τὼ δ' ἔστατον ἀχνυμένω κῆρ. — Καὶ Ρ 427 : Ἵπποι δ' Αἰακίδαο μάχης ἀπάνευθεν ἐόντες | κλαῖον, ἐπεὶ δὴ πρῶτα πυθέσθην ἡνιόχοιο | ἐν κονίῃσι πεσόντος ὑφ' Ἕκτορος ἀνδροφόνοιο.

3) *Αἰλιανός*, ἔνθ. ἀν. 9, 8 : Ἐλέφαντος δὲ ἄρα εἰς τὰ τέκνα καὶ ἐκεῖνο φίλτρον ἰσχυρόν. οἱ τούτων θηραταὶ τάφρους ὀρύττουσιν εἰς ἃς ἐμπίπτει τὰ ζῶα ταῦτα καὶ τὰ μὲν ἁλίσκεται τὰ δὲ ἀναιρεῖται . . ἡ μήτηρ θεασαμένη τὸ ἑαυτῆς βρέφος εἰς μίαν τῶν τάφρων ἐμπεσόν, οὔτε ἐμέλλησεν οὔτε βλακεύουσα διέτριψεν, ἀλλ' ὡς εἶχεν ὁρμῆς ἐνθύμως καὶ περιπαθῶς ἐπιδραμοῦσα, κατὰ τοῦ παιδὸς αὐτὴν ἔωσεν εἰς κεφαλήν, καὶ ἄμφω κατὰ ταὐτὸν τὸ τέλος εἰχέτην. ὃ μὲν γὰρ ἐκ τοῦ μητρῴου βάρους πιεσθεὶς συνετρίβη, ἡ δὲ κατὰ τὴν κεφαλὴν ἅξασα — Ἔτι καὶ *Αἰλιανός*, ἔνθ. ἀν. 4, 7. 6, 15. 7, 28. 6, 29. — *Πλούταρχος*, Πότερα κτλ. 984 F. 8ˇ0 C καὶ D. Αἱ περὶ τούτων παρατηρήσεις

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἀλλὰ καὶ τούτων ἔτι σεμνότερα καὶ ἁγιώτερα! Οἰκτείρουσι καὶ κατελεοῦσι τοὺς βαρυδαιμονοῦντας τῶν συννόμων αὐτῶν 1). Οἰκτείρουσι τὰ ὀρφανὰ βρέφη καὶ ἐκτρέφουσιν αὐτὰ μετὰ τῶν ἰδίων αὐτῶν τέκνων 2). Προσκυνοῦσι τὸν ἥλιον καὶ τὴν σελήνην, ἀνατείνουσιν εὐλαβῶς τὰ βλέμματα αὐτῶν πρὸς τὸν οὐρανὸν καὶ ἐπικαλοῦνται εὐσεβῶς τὴν ἄνωθεν συναντίληψιν 3).

τῶν νεωτέρων συμφωνοῦσι καθ' ὁλοκληρίαν ταύταις. Ἴδ. Romanes, ἔνθ. ἀν. πολλαχοῦ ἐν ταῖς οἰκείαις σελίσιν.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 631, α, 15: Ἥδη δ' ὤπται δελφίνων μεγάλων ἀγέλη ἅμα καὶ μικρῶν· τούτων δ' ἀπολειπόμενοί τινες δύο οὐ πολὺ ἐφάνησαν δελφινίσκον μικρὸν τεθνηκότα, ὅτ' εἰς βυθὸν φέροιτο, ὑπονέοντες καὶ μετεωρίζοντες τῷ νώτῳ οἷον κατελεοῦντες, ὥστε μὴ καταβρωθῆναι ὑπό τινος τῶν ἄλλων θηρίων. (τὸ αὐτὸ καὶ Αἰλιανὸς 12, 6). — *Αἰλιανός*, περὶ ζώων 3, 44 (τοὺς μοιχοὺς αἱ τρυγόνες καταδικάζουσιν εἰς θάνατον καὶ) «τὸν μὲν ἄρρενα ἀναιροῦσι, τὸν δὲ θῆλυν ᾤκτειραν καὶ εἴασαν ἀπαθῆ, καὶ περίεισι χῆρος».

2) *Αἰλιανός*, ἔνθ. ἀν. 3, 8: Τὰ βρέφη τὰ τῶν ἵππων ὅταν αἱ μητέρες καταλίπωσι πρὸ τῆς ἐκείνων ἐκθρέψεως οἷον ὀρφανά, ἐκτρέφουσι μετὰ τῶν οἰκείων παιδίων οἰκτείρουσαι αἱ ἄλλαι αὐτά. — Ἴδ. καὶ *Ἀριστοτέλην*, ἔνθ. ἀν. 619, α, 9 καὶ 6, 23. *Αἰλιανόν*, 6, 48. — Ἴδε τούτου ἀνάλογον παρατήρησιν τοῦ Darwin παρὰ Romanes, σελ. 184.

3) *Ξενοκράτης*, ἀπόσπ. 6, ἔκδ. Mullach, τόμ. 3, σελ. 115: Καθόλου γοῦν τὴν περὶ τοῦ θείου ἔννοιαν Ξενοκράτης ὁ Χαλκηδόνιος οὐκ ἀπελπίζει καὶ ἐν τοῖς ἀλόγοις ζώοις. — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 44: Τὸν ἥλιον ἀνίσχοντα προσκυνοῦσιν ἐλέφαντες, τὰς προβοσκίδας εὐθὺ τῆς ἀκτῖνος ὡς χεῖρας ἀνατείνοντες — *Αὐτόθ.* 4, 10: Πυνθάνομαι σελήνης ὑποφαινομένης νέας τοὺς ἐλέφαντας κατά τινα φυσικὴν καὶ ἀπόρρητον ἔννοιαν ἐκ τῆς ὕλης ἐν ᾗ νέμονται νεοπρεπεῖς ἀφελόντας κλάδους εἶτα μέντοι μετεώρους ἀνατείνειν, καὶ πρὸς τὸν θεὸν ἀναβλέπειν, καὶ ἡσυχῇ τοὺς κλάδους ὑποκινεῖν, οἷον ἱκετηρίαν τινὰ ταύτην τῷ θεῷ προτείνοντας ὑπὲρ τοῦ ἴλεών τε καὶ εὐμενῆ τὸν θεόν γε εἶναι αὐτοῖς — *Αὐτόθ.* 5, 49: Ὅταν ἐλέφαντες ἀποθνήσκωσιν ἐκ τραυμάτων ἢ βληθέντες ἐν πολέμῳ ἢ ἐν θήρᾳ παθόντες τοῦτο, τῆς πόας, τῆς παρατυχούσης ἢ τῆς κόνεως τῆς ἐν ποσὶ ἀνελόμενοι, εἰς τὸν οὐρανὸν ἀναβλέπουσι καὶ βάλλουσί τι τῶν προειρημένων, καὶ φωνῇ τῇ σφετέρᾳ κινύρονταί τε καὶ ποτνιῶνται, ὥσπερ οὖν τοὺς θεοὺς μαρτυρόμενοι ἐφ' οἷς ἐκδίκως τε καὶ ἐκνόμως ὑπομένουσιν. — *Πλούταρχος*, Πότερα κτλ. 972 Β: Ἰόβας ἱστορεῖ καὶ εὐχῇ χρῆσθαι θεῶν τοὺς ἐλέφαντας ἀδιδάκτως, ἀγνιζομένους τε τῇ θαλάσσῃ καὶ τὸν ἥλιον ἐκφανέντα προσκυνοῦντας, ὥσπερ χειρὸς ἀνασχέσει τῆς προβοσκίδος. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 10, ἔκδ. Potter, σελ. 84: Ὦ μακαριώτερα τῆς ἐν ἀνθρώποις πλάνης τὰ θηρία!.. Οὐκ ἔστι παρ' αὐτοῖς κολάκων γένη· οὐ δεισιδαιμονοῦσιν ἰχθύες· οὐκ εἰδωλολατρεῖ τὰ ὄρνεα. Ἕνα μόνον ἐκπλήττεται, τὸν οὐρανόν, ἐπεὶ Θεὸν νοῆσαι μὴ δύναται, ἀπηξιωμένα τοῦ λόγου. — *Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου Ἐγχειρίδιον, κεφ. 31, ἔκδ. Dübner, σελ. 95, 25: Φύσει μὲν γὰρ οὐκ ἄνθρωποι μόνοι, ἀλλὰ καὶ τὰ ἄλογα ζῶα, ἀλλὰ καὶ τὰ φυτὰ καὶ λίθοι καὶ πάντα ἁπλῶς τὰ ὄντα, κατὰ τὴν ἑαυτοῦ δύναμιν ἕκα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πλὴν τούτων· τὰ πάθη τὰ ἐμφωλεύοντα εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου ἐμφωλεύουσι καὶ εἰς τὴν ψυχὴν τῶν ζώων. Τὰ ἤθη τὰ ἀποτετυπωμένα εἰς τὴν ψυχὴν τῶν ἀνθρώπων εἶνε ἀποτετυπωμένα καὶ εἰς τὴν ψυχὴν τῶν ζώων. Αἱ ἀρεταὶ καὶ αἱ κακίαι αἱ ἐνσκιρροῦμεναι εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων ἐνσκιρροῦνται καὶ εἰς τὰς ψυχὰς τῶν ζώων. Αἱ ἀρχαὶ τῆς ἠθικῆς τῶν ἀνθρώπων εἶνε καὶ αἱ ἀρχαὶ τῆς ἠθικῆς τῶν ζώων. Αἱ πράξεις αὐτῶν εἶνε ὅμοιαι πρὸς τὰς πράξεις τῶν ἀνθρώπων. Ὁ δὲ οἰκογενειακός, κοινωνικὸς καὶ πολιτικὸς βίος τῶν ἀνθρώπων οὐδαμῶς εἶνε διάφορος τοῦ οἰκογενειακοῦ, κοινωνικοῦ καὶ πολιτικοῦ βίου τῶν ζώων. Ἀκόμη καὶ ἡ τροφὴ καὶ ἡ παιδεία τῶν ἀνθρώπων εἶνε ὁμοία τῇ τροφῇ καὶ παιδείᾳ τῶν ζώων.

Ἄλογοι τῆς ψυχῆς κινήσεις δι' ὑπόληψιν κακοῦ ἢ ἀγαθοῦ καὶ παρὰ φύσιν τῇ ὁρμῇ πλεονάζουσαι, ὅπως εἰς τοὺς ἀνθρώπους, οὕτω καὶ εἰς τὰ ζῶα συμβαίνουσι 1). Καὶ ἐν τῇ ψυχῇ αὐτῶν ὑπάρχουσι δύο ἄλογοι δυνάμεις· μία μὲν «ἡς τὸ θυμοῦσθαί τε παραχρῆμα καὶ ὀργίζεσθαι.. ἔργον ἐστίν.. ἄλλη δὲ.. δύναμις ἄλογος ἐπὶ τὸ φαινόμενον ἡδὺ προπετῶς φερομένη, πρὶν διασκέψασθαι,. πότερον ὠφέλιμόν ἐστι καὶ καλόν, ἢ βλαβερόν τε καὶ κακόν» 2).

Ὅσα καὶ οἷα πάθη ἀναταράττουσι τὴν ψυχὴν τῶν ἀνθρώπων, τοσαῦτα καὶ τοιαῦτα ἀναταράττουσι καὶ τὴν ψυχὴν τῶν ζώων. Πάντα τὰ εἴδη τῶν σφοδρῶν ἐπιθυμιῶν καὶ τῶν λυπῶν καὶ τῶν ἡδονῶν καὶ τῶν φόβων, ἅτινα ἀναταράττουσι τὴν ψυχὴν τῶν ἀνθρώπων, ἀναταράττουσι καὶ τὴν ψυχὴν τῶν ζώων 3).

στον ἐπέστραπται πρὸς τὸν Θεόν. — *Αἰλιανός*, ἔνθ. ἀνωτ. 7, 44. Ἐλέφαντες μὲν οὖν θεοὺς προσκυνοῦσιν, οἱ δὲ ἄνθρωποι ἆρά γε εἰσὶ θεοὶ καὶ ὄντες εἰ φροντίζουσιν ἡμῶν διαποροῦσιν. Ἴδ. καὶ *Αἰλιανόν*, ἔνθ. ἀν. 6, 48. *Κλήμεντα τὸν Ἀλεξανδρέα*, Στρωματεῖς βιβλ. 5, κεφ. 13, ἔκδ. Potter, σελ. 698. Ἀνάλογα τούτοις καὶ ὁ *Comtes* λέγων: «Das bei den höheren Thieren Anklängen an Fetichismus zu finden seien» κτλ. Ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 163-168, καὶ Herbert Spencer (Principien der Sociologie Deutsche Ausgabe, σελ. 536).

1) *Ἀνδρόνικος ὁ Ῥόδιος*, περὶ παθῶν, Fragm. Philos. Graec. ἔκδ. Mullach, τόμ. 3, σελ. 570: Πάθος ἐστὶν ἄλογος ψυχῆς κίνησις δι' ὑπόληψιν κακοῦ ἢ ἀγαθοῦ, καὶ παρὰ φύσιν τῇ ὁρμῇ πλεονάζουσα. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 2, 20 (ἔκδ. Migne σελ. 1056 B): «Οἱ ἀμφὶ τὸν Βασιλείδην» κτλ.

2) *Γαληνός*, περὶ ψυχῆς παθῶν, κεφ. 6, ἔκδ. Kühn, τόμ. 5, σελ. 29. Marquardt, τόμ. 1, σελ. 22.

3) *Ἀνδρόνικος ὁ Ῥόδιος*, ἔνθ. ἀν: Τὰ δὲ γενικώτατα πάθη τέσσαρα, λύπη, φόβος, ἐπιθυμία, ἡδονή. — *Γαληνός*, ἔνθ. ἀν. κεφ. 3, ἔκδ. Kühn, τόμ. 5, σελ. 7. ἔκδ. Marquardt, σελ. 5: Ἔστι δὲ πάθη ψυχῆς, ἅπερ ἅπαντες γινώσκουσι, θυμός καὶ ὀργὴ καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πόθοι 1) καὶ ἔρωτες 2) καὶ θυμοὶ 3) καὶ ὀργαὶ 4) ἀναταράττουσι

φόβος καὶ λύπη καὶ φθόνος καὶ ἐπιθυμία σφοδρά· κατὰ δὲ τὴν ἐμὴν γνώμην καὶ τὸ φθάσαι πάνυ σφόδρα φιλεῖν ἢ μισεῖν ὁτιοῦν πρᾶγμα πάθος ἐστίν. — *Αὐτόθ.* κεφ. 5, Kühn, σελ. 24. Marquardt, σελ. 18: Ὑπό τῶν παλαιῶν πάθη ψυχῆς ὀνομάζονται πέντε ταῦτα, λύπη, ὀργή, θυμός, ἐπιθυμία, φόβος.— *Αὐτόθ.* κεφ. 7, Kühn, σελ. 35. Marquardt, σελ. 27: Ἡ φιλονεικία καὶ ἡ φιλοδοξία καὶ ἡ φιλαρχία πάθη τῆς ψυχῆς εἰσι . . φθόνος αἰσχιστον τῶν κακῶν . . πάθος μέν ἐστι καὶ λύπη πᾶσα, χειρίστη δὲ ὁ φθόνος ἐστίν, εἴτε ἐν τῶν παθῶν εἴτε λύπης ἐστὶν εἶδος πλησιάζον αὐτῇ. — *Αὐτόθ.* κεφ. 9, Kühn, σελ. 51. Marquardt, σελ. 40: Πάθος ψυχῆς μοχθηρότατον ἀπληστία. κρηπὶς γάρ τις αὕτη φιλοχρηματίας ἐστί, καὶ φιλοδοξίας καὶ φιλοτιμίας, καὶ φιλαρχίας καὶ φιλονεικίας. *Αὐτόθ.* κεφ. 10, Kühn, σελ. 53. Marquardt, σελ. 41: Αἰσχραὶ καὶ ἀσελγεῖς καὶ τυραννικαὶ δέσποιναι· φιλοχρηματία, σμικρολογία, φιλοδοξία, φιλαρχία, φιλοτιμία — μήτηρ τούτων ἡ πλεονεξία. — Περὶ τῶν αὐτῶν ἴδ. καὶ *Ἀνδρόνικον τὸν Ῥόδιον*, ἔνθ. ἀνωτ. σελ. 570 - 573. *Ἀριστοτέλην* ἐν Ῥητορικῇ 1378, α, 20 καὶ ἑξ. 1388, 6, 33. *Κλήμεντα τὸν Ἀλεξανδρέα* ἐν Στρωματ. 2, 20, ἔκδ. Migne σελ. 1056 B καὶ ἑξ.

1) *Ἀρριανός*, Κυνηγετικός 5, 2: Οὔπω πρόσθεν ἄλλη κύων ὡς αὐτή . . ἐμὲ ἐπόθησεν. — *Αἰλιανός*, περὶ ζώων 5, 56: Αἱ ἐν Σύροις ἔλαφοι . . στέλλονται ἐπὶ Κύπρον πόθῳ τῆς πόας τῆς ἐκεῖ. — *Αὐτόθ.* 6, 27: Ὁ αἴλουρος ὁ ἄρρην . . τὰ κοινὰ βρέφη διαχρῆται, ἢ δὲ παίδων ἑτέρων πόθῳ ἑαυτὴν παρέχει συνελθεῖν — αὐτῷ — γλιχομένῳ. — *Ξενοφῶν*, περὶ ἱππικῆς, 2, 3: Πῶλος φιλάνθρωπος . . ποθεῖσθαι ὑπὸ πώλων ἀνθρώπους. — *Πλούταρχος*, Πότερα κτλ. 961 B: Τῷ ζώῳ . . τί τὸ μνημονεῦόν ἐστιν καὶ δεδιὸς τὰ λυποῦντα καὶ ποθοῦν τὰ ὠφέλιμα; —Ἴδ. καὶ *Αἰλιανόν*, ἔνθ. ἀν. 1, 23. 4, 45. 5, 12. 48. 16, 3. καὶ *Ξενοφῶντα* περὶ ἱππικῆς 2, 3.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 1, 12: Ἔρωτος δὲ ἰσχὺν καὶ ἰχθύων γένη πολλὰ ἔγνω, τοῦ τοσούτου θεοῦ μηδὲ τοὺς κάτω καὶ ἐν τῷ βυθῷ τῆς θαλάσσης ὑπεριδόντος καὶ ἀτιμάσαντος. — *Πλούταρχος*, Πότερα κτλ. 972 D: Ἔρωτες δὲ πολλῶν οἱ μὲν ἄγριοι καὶ περιμανεῖς γεγόνασιν, οἱ δ' ἔχοντες οὐκ ἀπάνθρωπον ὡραϊσμὸν οὐδ' ἀναρρόδιτον ὁμιλίαν. — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 43: Ἔστι φῦλον ἱεράκων καὶ καλεῖται κεγχρηῆς . . ὀρείτης δὲ γένος ἄλλο αὐτῶν· καὶ ἑκάτερός ἐστι δεινῶς φιλόθηλυς καὶ ἕπεται κατὰ τοὺς δυσέρωτας, οὐδὲ ἀπολείπεται. εἰ δὲ ἡ γυνὴ ἀπέλθοι που παραλαθοῦσα, ὁ δὲ ὑπεραλγεῖ καὶ βοᾷ καὶ ἔοικε λυπουμένῳ ἐρωτικῶς εὖ μάλα. —Ἴδ. καὶ *Ἀριστοτέλην* περὶ τὰ ζῶα ἱστορ. 633, α, 9. *Πλούταρχον*, ἔνθ. ἀν. 982 E. *Ξενοφῶντα* περὶ ἱππικῆς 10, 4. *Αἰλιανόν*, ἔνθ. ἀν. 2, 6. 6, 15. 17. 9, 13. 10, 1. 12, 37. 15, 19. Τὰ αὐτὰ καὶ ὁ Darwin. Ἴδε Romanes, ἔνθ. ἀν. σελ. 382.

3) *Ἀριστοτέλης*, περὶ αἰσθήσ. καὶ αἰσθητ. 436, α, 8: Αἴσθησις καὶ μνήμη καὶ θυμὸς καὶ ἐπιθυμία καὶ ὄρεξις ἡδονὴ καὶ λύπη . . ταῦτα σχεδὸν ὑπάρχει πᾶσι τοῖς ζώοις. — *Περὶ τὰ ζῶα ἱστορ.* 488, 6, 13: Τῶν ζώων . . τὰ μέν ἐστι πρᾶα καὶ δύσθυμα καὶ οὐκ ἐνστατικά, οἷον βοῦς, τὰ δὲ θυμώδη καὶ ἐνστατικὰ καὶ ἀμαθῆ, οἷον ὗς ἄγριος. — *Αἰλιανός*, περὶ ζώων 4, 35: Ὁ βοῦς ὁ πρᾶος τοῦ πλήττοντος καὶ κολάζοντος οὐκ ἄν ποτε λήθην λάβοι . . πολλάκις θυμωθεὶς εἰς κέρας εἶτα ἐμπεσὼν ἀπέκτεινεν αὐτόν. Ἴδε καὶ *Ἀριστοτέλην*, περὶ τὰ ζῶα ἱστορ. 588, α, 18.

4) *Ξενοφῶν*, περὶ ἱππικῆς 9, 7: Εἰ δέ τις οἴεται, ἢν ταχὺ καὶ πολλὰ ἐλαύνηται, ἀπειπεῖν ποιήσας τὸν ἵππον πραϋνεῖν, τἀναντία γιγνώσκει τοῦ γιγνομένου. ἐν γάρ τοῖς τοιούτοις ὁ θυμοειδὴς καὶ ἄγειν βίᾳ μάλιστα ἐπιχειρεῖ καὶ σὺν τῇ ὀργῇ ὥσπερ ἄνθρωπος ὀργίλος πολλάκις καὶ ἑαυτὸν καὶ τὸν ἀναβάτην πολλὰ ἀνήκεστα ἐποίησεν. — *Αὐ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ τὴν ψυχὴν τῶν ζώων, ὅπως καὶ τὴν τῶν ἀνθρώπων. Καὶ μεταξὺ τούτων ὑπάρχουσι λαίμαργα 1), γαστρίμαργα 2), λίχνα 3) καὶ λάγνα 4), ὅπως καὶ μεταξὺ τῶν ἀνθρώπων. Καὶ ταῦτα αἰσθάνονται ἔχθραν 5) καὶ

τόθ. 1, 10 : Ὅταν ὀργίζηται ἵππος ἵππῳ ἢ ἐν ἱππασίᾳ θυμῶται, εὑρύνει μᾶλλον τοὺς μυκτῆρας. — *Κυνηγετικός* 10, 15 : Ὡς ὁ ἄγριος : καταλιπὼν ὃν ἂν ἔχῃ ὑφ' αὑτῷ ἐπὶ τὸν ἐρεθίζοντα ὑπ' ὀργῆς καὶ θυμοῦ ἐπιστρέφει. Ἶδ. καὶ *Ξενοφ.* περὶ ἱππ. 10, 15. *Αἰλιαν.* ἔνθ. ἀνωτ. 4, 45. *Ἀρριαν.* Ἰνδικὴ 14, 4. Ἶδ. καὶ τὴν ἐν σελ. 45 ὑποσελίδ. σημ. 1. Ἀπαράλλακτα τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς ἐπιστήμονες. Ἶδ. Romanes, ἔνθ. ἀν. σελ. 382.

1) *Αἰλιανός*, ἔνθ. ἀνωτ. 10, 16 : Ἡ ὗς καὶ τῶν ἰδίων τέκνων ὑπὸ τῆς λαιμαργίας ἀφειδῶς ἔχει — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 591, 6, 1 : Λαίμαργος μάλιστα τῶν ἰχθύων ὁ κεστρεύς.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 1, 58: Οἱ σφῆκες ὑπὸ τῆς ἐμφύτου γαστριμαργίας ἑλκόμενοι, καλοῦντος αὐτοὺς τοῦ δελεάσματος, εἰσίπτουσιν ἀθρόοι, καὶ περιλαβόντος αὐτοὺς τοῦ κύρτου οὐκ ἔστιν αὐτοῖς τὴν ὀπίσω οὐκέτι ἐκπτῆναι.

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 629, α, 31 : Ἡ τενθρηδών . . λίχνον ὄν καὶ πρὸς τὰ μαγειρεῖα καὶ τοὺς ἰχθύας καὶ τὴν τοιαύτην ἀπόλαυσιν κατὰ μόνας προσπέταται. — *Αὐτόθ.* 594, α, 6 : Οἱ ὄφεις λιχνότατοι τῶν ζώων εἰσίν . . καὶ πρὸς τὸν οἶνόν εἰσιν ἀκρατεῖς. — *Αἰλιανός*, περὶ ζώων 1, 9 : Ὁ κηφὴν . . πέφυκε καὶ ἀργὸς καὶ λίχνος. — *Αὐτόθ.* 2, 41 : Ἔστι δὲ θαλαττίων ζώων τρίγλη λιχνότατον καὶ εἰς τὸ ἀπογεύσασθαι παντὸς τοῦ παρατυχόντος ἀναμφιλόγως ἀφειδέστατον.

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 575, 6, 30. Λαγνίστατον δὲ καὶ τῶν θηλειῶν καὶ τῶν ἀρρένων μετ' ἄνθρωπον ἵππος ἐστίν. — *Αὐτόθ.* 614, α, 26 : Σφόδρα καὶ οἱ πέρδικες καὶ οἱ ὄρτυγες ἐπτόηνται περὶ τὴν ὀχείαν. — *Αὐτόθ.* 578, α, 8 : Τῶν θηλειῶν ὁρμητικῶς ἔχουσι πρὸς τὸν συνδυασμὸν μάλιστα μὲν ἵππος, ἔπειτα δὲ βοῦς. — *Αἰλιανός*, περὶ ζώων 15, 19 : Χερσαία χελώνη ζῶον λαγνίστατον — 12, 12, : Λέγουσι τοὺς μύας λαγνιστάτους εἶναι — 6, 7 : Αἰλούρων ὁ ἄρρην λαγνίστατος — 10, 14 : Ἱέραξ εἰς λαγνίαν ἐστὶ δρυμύτατος — 1, 2: Ὁ σπάρος λαγνίστατος ἰχθύων ἁπάντων.— 3, 16 : Ὁ πέρδιξ λάγνος ὢν οὐκ ἐᾷ τῇ παιδοτροφίᾳ σχολάζειν τὴν μητέρα. — *Πλούταρχος*, Πότερα κτλ. 962 Ε: Ἵπποι ποτάμιοι τοὺς πατέρας ἀπρκτιννύουσιν, ἵνα τὰς μητέρας ὀχεύσωσιν. Ἶδ. καὶ *Αἰλιαν.* 2, 43. 3, 5, 4· 7, 19. *Πλούταρχ.* Πότερα κτλ. 962 Ε. *Ἀριστοτέλ.* περὶ ζώων γενέσεως 773, 6, 25 — Περὶ τὰ ζῶα ἱστοριῶν 572, α, 8 - 572, 6, 30. *Κλήμεντ. τὸν Ἀλέξ.* Παιδαγωγ. 2, 10, ἔκδ. Potter, σελ. 220 - 222.

5) *Ἀρριανός*, Κυνηγετικὸς 12, 5 : Ὅσαι κύνες διεχθρεύουσιν ἀλλήλαις, μηδὲ ταύτας λύειν ὁμοῦ, ὡς μὴ λυμαίνωνται ἀλλήλας. — *Αἰλιανός*, ἔνθ. ἀν. 61 : Ἐλέφας καὶ δράκων ἔχθιστα — *Αὐτοθ.* 6, 22. 37. 45 : Ἔχθιστα τῷ μέν λέοντι ἀλεκτρυών, ὕαινα δὲ τῇ παρδάλει, σκορπίῳ δὲ ἀσκαλαβώτης — βουσὶν ἔχθιστα οἶστρος καὶ μύωψ — νοοῦσι δὲ ἄρα ἀτταγᾶς μὲν ἀλεκτρυόνι ἔχθιστα, ἀλεκτρυὼν δ' αὖ πάλιν ἀτταγᾷ, καὶ κορώνῃ κίρκος καὶ ἐκείνῃ ἐκείνῳ, καὶ πελαγίῳ ἱέρακι ὁ κόραξ καὶ κόρακι ἐκεῖνος, τρυγόνι τε κόραξ καὶ κίρκος καὶ μέντοι καὶ ἡ τρυγὼν ἑκατέρῳ. *Αὐτόθ.* 4, 5 : Ἰκτῖνός καὶ κόραξ ἐχθροί. — 9, 25 : Κάραβος πολύποδι ἐχθρός — 1, 58 : Μελιττῶν ἐχθροί . . αἰγίθαλος σφῆκες χελιδόνες ὄφεις φάλαγγες λύγγες.—Ὅμηρος Ἰλ. Χ 262: Οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά, | οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν, | ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μῖσος 1). Καὶ μεταξὺ τούτων ὑπάρχουσί τινα μνησίκακα 2) καὶ ἐπιχαιρέκακα 3) καὶ φιλόδοξα 4) καὶ φιλόνικα 5) καὶ φιλόπρωτα 6), ὅπως καὶ μεταξὺ τῶν ἀνθρώπων. Οὐκ ὀλίγα τούτων εἶνε εἰς τὸ ἔπακρον φιλότιμα 7),

1) *Aelianus*, περὶ ζώων 1, 32: Ἡ δεινὸν κακὸν καὶ νόσημα ἄγριον ἔχθρα καὶ μῖσος συμφυές, εἴπερ οὖν καὶ τοῖς ἀλόγοις ἐντέτηκε καὶ αὐτοῖς ἔστι δυσέκνιπτα, μύραινα γοῦν πολύποδα μισεῖ. — *Αὐτόθ.* 5, 48: Μισεῖ δὲ ἀλώπηξ κίρκον καὶ ταῦρος κόρακα καὶ ὁ ἄνθος τὸν ἵππον — *Αὐτόθ.* 12, 15: Βάτραχος ὕδρον μισεῖ. — Πρβλ. καὶ *Ἀριστοτέλ.* περὶ τὰ ζῶα ἱστορ. 633, α, 27. *Ξενοφῶντ.* περὶ ἱππικῆς. 8, 9. Ἰδ. καὶ *Aelianόν*, 6, 45. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἰδ. Romanes, ἔνθ. ἀν. σελ. 382 ἐν τέλει.

2) *Πλούταρχος*, Πότερα κτλ. 966 B: Δι' ὧν οἱ φιλόσοφοι δεικνύουσι τὸ μετέχειν λόγου τὰ ζῶα, προθέσεις εἰσὶ καὶ παρασκευαὶ καί.. μνησικακίαι πρὸς τὸ λυπῆσαν κτλ. *Aelianός*, περὶ ζώων 7, 23: Ἀμύνεσθαι δὲ τὸν προαδικήσαντα ὁ λέων οἶδε καὶ εἰ μὴ παραχρῆμα αὐτῷ τιμωρήσειεν, «ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὅφρα τελέσσῃ ἐν στήθεσσιν ἐοῖσιν». Ἰδ. *Αὐτόθ.* καὶ 4, 35:

3) *Aelianός*, περὶ ζώων 5, 54: Ἡ πάρδαλις καὶ τοῦ πιθήκου δολερώτερον. ὅπου πλῆθος πιθήκων κάθηνται, ἐνταῦθα ἐλθοῦσα ἑαυτὴν ὑπέρριψε τῷ δένδρῳ, καὶ κεῖται κατὰ τοῦ δαπέδου ὑπτία.. νεκρὰ δή.. Οἱ πίθηκοι.. καταδραμόντες (ἐκ τῶν δένδρων) ἀθρόοι γενόμενοι περιέρχονταί τε καὶ περιχορεύουσιν αὐτήν, εἶτα ἐμπηδήσαντες αὐτῇ καὶ ἐπιβάντες κατεκυβίστησαν καὶ κατωρχήσαντο κέρτομόν τινα καὶ πιθήκοις πρέπουσαν ὄρχησιν καὶ ποικίλως ἐνυβρίσαντες, ἣν ἔχουσιν ὡς ἐπὶ νεκρᾷ χαρὰν καὶ ἡδονὴν ἐμαρτύροντο κτλ.

4) *Aelianός*, ἔνθ. ἀν. 5. 38: Χάρμιδος.. ἀκούω λέγοντος φιλόμουσον μὲν εἶναι τὴν ἀηδόνα, ᾠδὴ δὲ καὶ φιλόδοξον, ἐν γοῦν ταῖς ἐρημίαις ὅταν ᾄδῃ πρὸς ἑαυτήν, ἁπλοῦν τὸ μέλος καὶ ἄνευ κατασκευῆς τὴν ὄρνιν ᾄδειν· ὅταν δὲ ἀλῷ καὶ τῶν ἀκουόντων μὴ διαμαρτάνῃ, ποικίλα τε ἀναμέλπειν καὶ τακερῶς ἐλίττειν τὸ μέλος.

5) *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ. 987 D: Τὰ θηρία φύσει φεύγοντα τὸ κρατεῖσθαι μέχρι τῶν ἐσχάτων ἐγκαρτερεῖ καὶ διαφυλάττῃ τὸ ἀήττητον. — *Αὐτόθ.* 988 A: Ὁ βασιλεὺς ὑμῶν.. δειλοῦ προὐτίμησεν ἀνδρὸς ἵππον ἀγαθὴν καὶ φιλόνικον. — *Αὐτόθ.* Πότερα κτλ. 971 A: Οἱ κύνες.. τὸν λαγωὸν νεκρὸν καταλαβόντες οὐχ ἅπτονται τὸ παράπαν, ἀλλ' ἵστανται τὰς οὐρὰς κινοῦντες ὡς οὐ κρεῶν χάριν ἀλλὰ νίκης καὶ φιλονεικίας ἀγωνιζόμενοι.. — *Aelianός*, περὶ ζώων 15, 15: Ἰνδῶν ὁ μέγας βασιλεὺς μιᾶς ἡμέρας ἀνὰ πᾶν ἔτος ἀγωνίας προτίθησι.. ζώοις ἀλόγοις, ἀλλὰ ἐκείνοις γε ὧν ἐκπέφυκε κέρατα. κυρίττει δὴ ταῦτα ἄλληλα καὶ φύσει τινὶ θαυμαστῇ μέχρι νίκης ἀμιλλᾶται, ὥσπερ οὖν ἀθληταὶ ἢ ὑπὲρ ἄθλων μεγίστων ἰσχυριζόμενοι ἢ ὑπὲρ κλέους σεμνοῦ καὶ φήμης τινὸς ἀγαθῆς.

6) *Aelianός*, περὶ ζώων 7, 26: Ἡ αἴξ οὐκ ἀξιοῖ προβάτων οὐραγεῖν, ἀλλ' ἡγεῖσθαι αὐτὴν δεῖν καὶ ἐκ τῆς βαδίσεως ὁμολογεῖ. προθεῖ γοῦν ἐκείνων, καὶ μέντοι καὶ αὐτῶν τῶν αἰγῶν ὁ τράγος, τῷ γενείῳ θαρρῶν.

7) *Πλούταρχος*, Πότερα κτλ. 970 E: Οὐκ ἔστι δὲ ῥᾳδίως τῶν εὐφυῶν ζώων πρᾶξιν εὑρεῖν μιᾶς ἔμφασιν ἀρετῆς ἔχουσαν· ἀλλ' ἐμφαίνεται καὶ τῷ φιλοστόργῳ τὸ φιλότιμον αὐτῶν καὶ τῷ γενναίῳ τὸ θυμόσοφον κτλ.— *Aelianός*, περὶ ζώων 8, 2: Κύων ἀγρευτικός.. ἔοικεν.. ἔχειν τι καὶ φιλοτιμίας ἐν ἑαυτῷ φυσικῆς· μὴ γὰρ δεῖσθαι κρεῶν, ἀλλὰ νίκης ἐρῶν.. *Ὁμηρος*, Ἰλ. Χ 162: Ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι | ῥίμφα μάλα τρωχῶσι· τὸ δέ μέγα κεῖται ἄεθλον | ὡς τὼ κτλ. —*Ἴβυκος* ἀπόσπ. 2. ἔκδ. Bergk, τόμ. 3, σελ. 237: Φερέζυγος ἵππος ἀεθλοφόρος ποτὶ γέραϊ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄλλα φθονερά 1), ἄλλα ζηλότυπα 2). Καὶ τούτων οὐκ ὀλίγα ὑπὸ δέους καταλαμβάνονται 3). Καὶ τούτων οὐκ ὀλίγα περίφοβα γίνον-

ἀέκων | σὺν ὄχεσφι θοοῖς εἰς ἄμιλλαν ἔβα.—*Ὁμηρος*, Ἰλ. Ρ 108: Αὐτὰρ ὅ γ' ἐξοπίσω ἀνεχάζετο, λεῖπε δὲ νεκρὸν |(ὁ Αἴας) | ἐντροπαλιζόμενος ὣς τε λὶς ἠγένειος, | ὅν ρα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται | ἔγχεσι καὶ φωνῇ· τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ | παχνοῦται, ἀέκων δ' ἔτ' ἔδη ἀπὸ μεσσαύλιον. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 629, 6, 13: Ὁ λέων ἐν ταῖς θήραις ὁρώμενος μὲν οὐδέποτε φεύγει οὐδὲ πλήσσει, ἀλλ' ἐὰν καὶ διὰ πλῆθος ἀναγκασθεὶς τῶν θηρευόντων ὑπαγαγεῖν βάδην ὑποχωρεῖ καὶ κατὰ σκέλος κατὰ βραχὺ ἐπιστρεφόμενος. — *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ. 987 C καὶ ἑξ. Τὰ θηρία.. φύσει φεύγοντα τὸ κρατεῖσθαι μέχρι τῶν ἐσχάτων ἐγκαρτερεῖ καὶ διαφυλάττει τὸ ἀήττητον, οὐ γὰρ ἡττᾶται κρατούμενα τοῖς σώμασιν οὐδ' ἀπαγορεύει ταῖς ψυχαῖς ἀλλὰ ταῖς μάχαις ἐναποθνήσκει. δέησις δ' οὐκ ἔστιν οὐδ' οἴκτου παραίτησις οὐδ' ἐξομολόγησις ἥττης, οὐδὲ δουλεύει λέων λέοντι καὶ ἵππος ἵππῳ δι' ἀνανδρίαν ὥσπερ ἄνθρωπος ἀνθρώπῳ. — Βασιλέων ἀποφθέγματα 191 F: Κλεομένης πρὸς τὸν ὑπισχνούμενον αὐτῷ δώσειν ἀλεκτρυόνας ἀποθνήσκοντας ἐν τῷ μάχεσθαι κτλ. — *Αἰλιανός*, ἔνθ. ἀν. 4, 1. Ὁ πέρδιξ κατὰ τὰς ἀγωνίας.. τεθνήξεται μᾶλλον παιόμενος ἢ ὁμόσε χωροῦντος ἀποστραφεὶς ἰδεῖν τολμήσει ταύτην (τὴν πέρδικα) ἀσχημόνως παρ' ᾗ βούλεται εὐδοκιμεῖν. — *Αὐτόθ.* 15, 15: Κατὰ τὰς ἀγωνίας.. οἱ ἐλέφαντες ἀγωνισταὶ μέχρι θανάτου τιτρώσκουσιν ἀλλήλους τοῖς κέρασι καὶ πολλάκις μὲν ὁ ἕτερος κρατεῖ καὶ ἀποκτείνει τὸν ἀντίπαλον, πολλάκις δὲ καὶ συναποθνήσκουσιν. — Ἰδ. καὶ *Πλούταρχ.* ἔνθ. ἀν. 970 B. Περὶ τοῦ τὰ ἄλογα λόγῳ χρῆσθαι 987 C καὶ ἑξ. — περὶ τῆς ἀμίλλης αὐτῶν *Ἀρριαν.* Κυνηγ. 31, 4. *Αἰλιανὸν* 2, 6. Ἀπαράλλακτα τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἰδ. Romanes, ἔνθ. ἀν. σελ. 382.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 619, α, 26: Ἐκβάλλει ὁ ἀετὸς πρὸ ὥρας τὰ τέκνα ἔτι βίου δεόμενα καὶ οὔπω δυνάμενα πέτεσθαι. ἐκβάλλειν δὲ δοκεῖ ὁ ἀετὸς τοὺς νεοττοὺς διὰ φθόνον· φύσει γάρ ἐστι φθονερὸς καὶ ὀξύπεινος.. λαμβάνει δὲ μέγα ὅταν λάθῃ· φθονεῖ οὖν τοῖς νεοττοῖς ἁδρυνομένοις ὅτι φαγεῖν ἀγαθοὶ γίνονται καὶ σπᾷ τοῖς ὄνυξιν. — *Αὐτόθ.* 488, 6, 23: Φθονερὸν καὶ φιλόκαλον ὁ ταώς. — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 17: Λέγει μὲν οὖν Εὐριπίδης δυσώνυμον τὸν φθόνον· οὗτος δ' ἄρα ἐνοικεῖ καὶ τῶν ζώων ἔστιν οἷς (ἐν γαλεώτῃ - ἐλάφῳ - ἵππῳ). — *Ξενοφῶν*, Κυνηγετικὸς 3, 10: Φθονερῶς δὲ ἄλλαι — κύνες — ἐκκυνοῦσι παρὰ τὸ ἴχνος διὰ τέλους συμπαραφερόμεναι. — *Ἀρριανός*, Κυνηγετικὸς 12, 5: Εἰσὶ γάρ τοι κύνες ἐχθραὶ ἀλλήλαις καὶ ἄφιλοι, καθάπερ ἄνθρωποι, καὶ μάλιστα δὴ οἵ τε ἄρρενες τοῖς ἄρρεσιν καὶ αἱ θήλειαι ταῖς θηλείαις, τὸ πολὺ ὑπὸ φθόνου κτλ. — Ἴδε καὶ τὴν εὔστοχον ἐν πολλοῖς παρατήρησιν περὶ τοῦ φθόνου τῶν ζώων ἐν Θεοφράστου ἀποσπ. 175.

2) *Πλούταρχος*, Πότερα κτλ. 961 D: Ἐν τοῖς θηρίοις ἔργα καὶ κινήματα πολλὰ μὲν θυμῶν πολλὰ δὲ φόβων καὶ νὰ μὰ Δία φθόνων καὶ ζηλοτυπιῶν. — *Πορφύριος*, περὶ ἀποχ. ἐμψ. 3, 13: Τὰ ζῶα.. καὶ φθονοῦσι καὶ ζηλοτυποῦσιν ὑπὲρ τῶν θηλειῶν, αἵ τε θήλειαι ὑπὲρ τῶν ἀρρένων. — *Αἰλιανός*, 9, 63: Ἰχθύων τινὲς καὶ συνοικοῦσιν ὡς γαμεταῖς, καὶ φυλάττουσιν αὐτάς, καὶ ζηλοτυπία τις ἐν ἰχθύων γένεσιν ἐξάπτεται— *Αὐτόθ.* 1, 14: Ἔτι δὲ κόττυφος ὁ θαλάττιος ἰχθύων ζηλοτυπώτατος. Ἰδ. αὐτόθ. καὶ 1, 26. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἰδ. Romanes, ἔνθ. ἀν. σελ. 382.

3) *Αἰλιανός*, περὶ ζώων 1, 29: Αἱροῦνται οἱ ὄρνιθες δέει καὶ μάλα ἰσχυρῷ ἐκ τῆς γλαυκός. — *Αὐτόθ.* 5, 24: Λαγὼς δέδοικε κύνας καὶ μέντοι καὶ ἀλώπηξ. — *Αὐτόθ.* 6, 12: Προωθούμενοι ἐκ τῶν τεγῶν οἱ κύνες οὐκ ἂν αὐτοὺς ῥίψειας· τοῦ γάρ τοι κιν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ται 1), ἄλλα ὀρρωδοῦσι 2), πτοοῦνται 3), θορυβοῦνται 4). Πάμπολλα τούτων ταράσσονται 5), ἐκπλήσσονται 6), γίνονται ἔκφρονα 7). Τινὰ μένουσιν ἐκστατικά 8), ἄλλα χαίνουσιν ὑπ' ἀνοίας 9), ἄλλων κτυπᾷ

δύνου δεδοίκασι τὸ μέγεθος. — Ἔτι *αὐτόθ.* 2, 8. 9, 52. 12, 15. 13, 11. — *Πλούταρχος*, Πότερα κτλ. 960 F. 961 B. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 379 ἐν τέλ.

1) *Ξενοφῶν*, Κυνηγετ. 5, 12: Ὁ λαγὼς ὑπομένει πανταχοῦ ἰχνευόμενος, ἐὰν μή τι περίφοβος τῆς νυκτὸς γένηται. Ἴδε καὶ τὴν ἐν σελ. 44 ὑποσελίδ. σημ. 1.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 1, 38: Ὀρρωδεῖ ὁ ἐλέφας κεράστην κριὸν καὶ χοίρου βοήν. — *Αὐτόθ.* 6, 22: Δράκοντα ἐλέφας ὀρρωδεῖ . . — 3, 31: Βασιλίσκος ἀλεκτρυόνα ὀρρωδεῖ — 5, 50: Οἱ ὄρνεις αἱ ἠθάδες . . ἱέρακα ὀρρωδοῦσιν — 10, 24: Ὁ κροκόδειλος . . δέδοικε καὶ ἀνθρώπου βιαιοτέραν φωνὴν καὶ μέντοι καὶ τοὺς εὐθαρσέστερον ἐπιόντας ὀρρωδεῖ ἰσχυρῶς.

3) *Ὅμηρος*, Ἰλ. Ε 476: Καταπτώσσουσι, κύνες ὣς ἀμφὶ λέοντα. — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 50: Τοὺς ὄρνεις τοὺς ἠθάδας . . ὁρῶμεν . . πτοίαν αὐτοῖς ἐντίθησι καὶ δέος ἰσχυρὸν γαλῆ παραδραμοῦσα. — *Μάρκος Ἀντωνῖνος*, Τῶν εἰς ἑαυτὸν 11, 22: Τὸν μῦν τὸν ὀρεινόν, καὶ τὸν κατοικίδιον, καὶ τὴν πτοίαν τούτου καὶ τὴν διασόβησιν. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 382.

4) *Ξενοφῶν*, Κυνηγετ. 10, 9: Ἐπειδὰν δ' αἱ κύνες ἐγγὺς ὦσι τῆς εὐνῆς (τοῦ λαγοῦ), ἐπεισίασι· θορυβούμενος δὲ ὁ λαγὼς ἐξανίσταται.

5) *Ξενοφῶν*, περὶ ἱππικῆς 9, 4: Θυμοειδῆ ἵππον ὥσπερ ἄνθρωπον ταράττει τὰ ἐξαπίναια καὶ ὁράματα καὶ ἀκούσματα καὶ παθήματα. Εἰδέναι δὲ χρὴ ὅτι ἐν ἵππῳ τὰ ἐξαπίναια τάραχον ἐξεργάζεται. — Ἴδε *Ἀριστοτέλην* περὶ τὰ ζῶα ἱστορ. 630, 6, 11. *Θεόφραστον*, ἀπ. 175. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 380 ἐν ἀρχῇ.

6) *Ξενοφῶν*, περὶ ἱππικῆς 10, 2: Τοὺς ἵππους μυωπίζοντες καὶ παίοντες ἐκπλήττουσιν, ὥστε τεταράχθαι καὶ κινδυνεύειν. — *Αἰλιανός*, ἔνθ. ἀν. 16, 25: Νεηλυδες ὄντες οἱ ἵπποι ἐκπλήττονται τοῖς νεκροῖς ἐμπαλασσόμενοι. — *Ἀρριανός*, Κυνηγετικὸς 7, 3: Κύνες ὅσαι ἀνθρώπους δεδίασι καὶ ὑπὸ ψόφου ἐκπλήσσονται . . οὔ ποτ' ἂν εἶεν γενναῖαι. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 381 περὶ τὸ τέλος.

7) *Ἀρριανός*, Κυνηγετικὸς 21, 2: Ὁ λαγώς, εἰ καὶ πάνυ ἀγαθὸς ὢν τύχοι, τὸ πολὺ ὑπὸ τῆς κλαγγῆς τῶν κυνῶν ἐκπλήσσεται, καὶ εἰ μὴ πρὸ πολλοῦ τύχοι προπηδήσας, ὡς καταστῆναι αὐτῷ τὴν γνώμην, ἁλίσκεται εὐμαρῶς, ἔκφρων γενόμενος. — *Ξενοφῶν*, Κυνηγετικὸς 5, 15: Μὴ ἀναβοᾶν, ἵνα μὴ αἱ κύνες ἔκφρονες γιγνόμεναι χαλεπῶς τὰ ἴχνη γνωρίζουσιν. Πρβλ. *Ἀριστοτέλην*, περὶ τὰ ζῶα ἱστορ. 533, 6, 13. 602, 6, 23.

8) *Ὅμηρος*, Ἰλ. Φ 29: Τοὺς ἐξῆγε θύραζε τεθηπότας ἠύτε νεβρούς. — *Αὐτόθ.* Δ 242: Ἀργεῖοι ἰόμωροι, ἐλεγχέες, οὔ νυ σέβεσθε; | τίφθ' οὕτως ἔστητε τεθηπότες ἠύτε νεβροί, | αἵ τ' ἐπεὶ οὖν ἕκαμον πολέος πεδίοιο θέουσαι, | ἑστᾶσ' οὐδ' ἄρα τίς σφι μετὰ φρεσὶ γίγνεται ἀλκή. | ὣς ὑμεῖς ἔστητε τεθηπότες κτλ.

9) *Ἀρριανός*, Κυνηγετικὸς 23, 2 καὶ 4: Τὰς ἐλάφους ἔνθα τὰ πεδία εὐήλατα ἀφ' ἵππων διώκουσιν . . ὁ δ' ἵππος ἐς τοσοῦτον ἄρα ἀντέχει, ἔστε ἀπαγορεῦσαι τὴν ἔλαφον. Ἀπαγορεύσασα δὲ καὶ χανοῦσα ὑπ' ἀνοίας ἵσταται, καὶ ἔξεστιν . . εἰ ἐθέλοις, καὶ ζώσῃ βρόχον περιβαλόντα ἄγειν. Αὐτολεξεὶ τὰ αὐτὰ καὶ Couch περὶ λύκου μάλι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἡ καρδία 1), ἄλλα μεταβάλλουσι τὸ χρῶμα 2), ἐμοῦσιν, ἐνοροῦσιν, ἀφοδεύουσιν 3), τρέμουσιν, ὑπὸ σπασμῶν καταλαμβάνονται, λιποθυμοῦσιν, ἀποθνήσκουσιν 4), ἀπαράλλακτα ὅπως καὶ οὐκ ὀλίγοι τῶν ἀνθρώπων 5).

στα: Wenn derselbe sich in einer Fallgrube gefangen hat, er vor Überraschung so betäubt ist, dass ein Mensch ohne weiteres zu ihm hinabsteigen, ihn binden und wegführen oder auch auf den Kopf schlagen kann. (Ἰδ. Romanes σελ. 338). Τὸ αὐτὸ περὶ ἐλέφαντός τινος ὁ W. Gripps παρὰ Romanes σελ. 336 ἐν τῇ ὑποσελ. σημειώσει 2.

1) *Ἀρριανός*, Κυνηγ. 15, 1: Χρὴ δὲ ὅστις κύνας ἀγαθὰς ἔχει μήτε ἐγγύθεν ἐπιλύειν τῷ λαγῷ μήτε πλείονας δυοῖν· καὶ γὰρ εἰ πάνυ ὠκὺς τύχοι καὶ πολλὰς πολλάκις κύνας διαπεφευγώς, ἀλλά γε ἐξ εὐνῆς ἀνιστάμενον καὶ σὺν βοῇ ἐπικείμενον ἀνάγκη καὶ πατάσσειν αὐτῷ τὴν καρδίαν.

2) *Θεόφραστος*, ἀπόσπ. 189: Μεταβάλλει γὰρ ὁ μὲν χαμαιλέων οὐδέν τι μηχανώμενος οὐδὲ κατακρύπτων ἑαυτὸν ἀλλ' ὑπὸ δέους ἄλλως τρέπεται φύσει ψοφοδεὴς ὢν καὶ δειλός. Ἰδ. καὶ Πλούταρχ. πότερ. 978 Ε. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἰδ. Romanes, ἔνθ. ἀν. σελ. 342.

3) *Θεόφραστος*, ἀπ. 175: Ἡ φώκη διὰ τὸν φόβον ἴσως ταραττομένη ἐκεῖ τὴν πιτύαν . . καὶ ὁ ἐχῖνος δὲ διὰ φόβον ἢ δι' ἄλλο τι πάθος φυσικὸν ἐνουρεῖ. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 630, 6, 11: Ὁ βόνασος ἀμύνεται λακτίζων καὶ προσαφοδεύων καὶ εἰς τέτταρας ὀργυιὰς ἀφ' ἑαυτοῦ ῥίπτων καὶ ἐπικαίει ὥστε ἀποψύχεσθαι τὰς τρίχας τῶν κυνῶν. τεταραγμένου μὲν οὖν καὶ φοβουμένου τοῦτο ποιεῖ ἡ κόπρος.

4) *Αἰλιανός*, ἔνθ. ἀν. 2, 8: Τῆς πρῴρας τῶν ἀκατίων κοίλας τινὰς ἐξαρτῶσιν ἐσχαρίδας πυρὸς ἐνακμάζοντος· καὶ εἰσὶ διαφανεῖς, ὡς καὶ στέγειν τὸ πῦρ καὶ μὴ κρύπτειν τὸ φῶς· ἰπνοὺς καλοῦσιν αὐτάς. οἱ τοίνυν ἰχθῦς δεδίασι τὴν αὐγὴν καὶ τὴν λαμπηδόνα δυσωποῦνται· καὶ οἳ μὲν οὐκ εἰδότες ὃ βούλεται τὸ ὁρώμενον, πλησιάζουσι, μαθεῖν βουλόμενοι τοῦ φοβοῦντος σφᾶς τὴν αἰτίαν· εἶτα ἐκπλαγέντες, ἢ πρός τινι πέτρᾳ ἡσυχάζουσιν ἀθρόοι παλλόμενοι τῷ δέει ἢ εἰς τὴν ἠόνα ἐκπίπτουσιν ὠθούμενοι καὶ ἐοίκασι τοῖς ἐμβεβροντημένοις. — *Αὐτόθ.* 3, 31: Ἀλεκτρυόνα φοβεῖται λέων. καὶ βασιλίσκος δὲ τὸν αὐτὸν ὄρνιν, ὥς φασιν, ὀρρωδεῖ, καὶ κατιδὼν τρέμει, καὶ ἀκούων ᾄδοντος σπᾶταί τε καὶ ἀποθνήσκει. Τὰ αὐτὰ καὶ ὁ *Preyer* (Romanes, σελ. 340) «Dass die Furcht eine starke, praedisponirende Ursache der Kataplexie . . bei Thieren ist». Καὶ ὁ *Romanes* (σελ. 340): «Dass bei der Gefangennemung eines wilden Thieres der blosse Schreck seinen Tod verursachen kann . .» Τὰ αὐτὰ καὶ ὁ *Wrankel* καὶ ὁ *Couch* καὶ ὁ *Lyon* καὶ ὁ *Blyth* καὶ ὁ *Jesse* (Ἰδ. Romanes σελ. 335-340). Ἔτι σελ. 382 ἐν τῇ ὑποσελ. σημειώσει ὁ Romanes: «Vögel sind die niedersten Thiere, die, soweit meine Kentniss reicht, vor Schreck sterben».

5) *Ἀρριανός*, Κυνηγετικὸς 7, 3: Ὅσαι κύνες ἀνθρώπους δεδίασιν καὶ ὑπὸ ψόφου ἐκπλήσσονται . . καθάπερ ἄνθρωποι οἱ δειλοὶ καὶ ἔκφρονες, αἱ κύνες αἱ τοιαῦται οὔποτε ἂν εἶεν γενναῖαι. — *Ἀριστοτέλης*, Ῥητορικὴ 1382, 6, 4: Οἱ πολλοὶ χείρους καὶ ἥττους τοῦ κερδαίνειν καὶ δειλοὶ ἐν τοῖς κινδύνοις. — Περὶ πάντων δὲ τούτων ἐν γένει τὰ αὐτὰ καὶ ὁ Romanes, γράφων ἔνθ. ἀν. κεφ. 28, σελ. 378 καὶ ἑξ. τάδε: «Den Thieren folgende Gemüthsbewegungen zuschreibe: *Überraschung, Furcht, ge-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τὰ δὲ ἤθη; 1) Ἐν πᾶσιν ὁμοια τοῖς τῶν ἀνθρώπων! Διαφοραὶ πολλαὶ ἐν τοῖς τῶν ἀνθρώπων ἤθεσι, διαφοραὶ πολλαὶ καὶ ἐν τοῖς τῶν ζώων 2). Εὐήθεια καὶ κακοήθεια ἐν τοῖς ἀνθρώποις, εὐήθεια καὶ κακοήθεια καὶ ἐν τοῖς ζώοις 3). Αἰσχυντηλοὶ καὶ ἀναίσχυντοι ἄνθρωποι, αἰσχυντηλὰ καὶ ἀναιδῆ ζῶα 4). Ὑπερήφανοι ὑβρισταὶ ὀλίγωροι θρασεῖς τρυφεροὶ σαλάκωνες σόλοικοι ἀλαζόνες καὶ μάταιοι ἄνθρωποι 5),

schlechtliche und elterliche Zuneigung, sociale Gefühle, Kampflust, Fleiss, Neugirde, Eifersucht, Aerger, Spielerei, Neigung, Sympathie, Nacheiferung, Stolz, Empfindlichteit, aesthetische Vorliebe für Zierrat, Schreck, Kummer, Hass, Grausamkeit, Wohlwollen, Rachsucht, Zorn, Scham, Reue, Verschlagenheit, Lustigkeit.

1) *Ἀριστοτέλης*, Ποιητικὴ 1450, α, 5: Λέγω .. ἦθη καθ' ἃ ποιούς τινας εἶναί φαμεν τοὺς πράττοντας — Προβλήματα 919, 6, 36: Αἱ πράξεις ἤθους σημασία ἐστιν. — Ποιητικὴ 1450, α, 1: Πέφυκεν αἴτια δύο τῶν πράξεων εἶναι διάνοια καὶ ἦθος.

2) *Γαληνός*, περὶ ψυχῆς παθῶν κεφ. 7, ἔκδ. Kühn, τόμ. 5, σελ. 37-40. ἔκδ. Marquardt, τόμ. 1, σελ. 28-30: Αἱ φύσεις ἡμῶν πάμπολυ διαφέρουσιν — οὕτως οὖν καὶ τὰ μὲν φιλοψευδῆ τὰ δὲ φιλαλήθη τῶν παιδίων ὁρῶμεν ὄντα φύσει καὶ πολλὰς ἄλλας ἔχοντα διαφορὰς ἠθῶν. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 487, α, 11: Αἱ διαφοραὶ τῶν ζώων εἰσὶ κατά τε τοὺς βίους καὶ τὰς πράξεις καὶ τὰ ἤθη καὶ τὰ μόρια — *Αὐτόθ.* 488, 6, 12: Διαφέρουσι .. (τὰ ζῶα) κατὰ τὸ ἦθος — *Αὐτόθ.* 610, 6, 20: Τὰ ἤθη τῶν ζώων διαφέρει κατά τε δειλίαν καὶ πραότητα καὶ ἀνδρίαν καὶ ἡμερότητα καὶ νοῦν τε καὶ ἄνοιαν — *Αὐτόθ.* 629, 6, 5: Περὶ δὲ τὰ ἤθη τῶν ζώων .. ἔστι θεωρῆσαι διαφορὰς πρὸς ἀνδρίαν μὲν μάλιστα καὶ δειλίαν, ἔπειτα καὶ πρὸς πραότητα καὶ ἀγριότητα καὶ αὐτῶν τῶν ἀγρίων.

3) *Ἀριστοτέλης*, Ῥητορικὴ 1389, 6, 17 καὶ 6, 20: Οἱ μὲν οὖν νέοι τὰ ἤθη εἰσὶν .. οὐ κακοήθεις ἀλλ' εὐήθεις διὰ τὸ μήπω τεθεωρηκέναι πολλὰς πονηρίας — οἱ δὲ πρεσβύτεροι καὶ παρηκμακότες .. κακοήθεις εἰσίν. ἔστι γὰρ κακοήθεια τὸ ἐπὶ τὸ χεῖρον ὑπολαμβάνειν πάντα — *Αὐτόθ.* περὶ τὰ ζῶα ἱστοριῶν 608, α, 13: Τὰ ἤθη τῶν ζώων .. φαίνονται γὰρ ἔχοντά τινα δύναμιν περὶ ἕκαστον τῶν τῆς ψυχῆς παθημάτων φυσικὴν περί τε φρόνησιν καὶ εὐήθειαν καὶ ἀνδρίαν καὶ δειλίαν, περί τε πραότητα καὶ χαλεπότητα καὶ τὰς ἄλλας τὰς τοιαύτας ἕξεις — *Αὐτόθ.* 610, 6, 22: Τὸ τῶν προβάτων ἦθος εὔηθες καὶ ἀνήτον. — *Αἰλιανός*, περὶ ζώων 7, 21 καὶ 22: Κακοηθέστατον δ' ἄρα καὶ ἡ ὕαινα ἦν καὶ ὃν φασι κοροκόταν. — 10, 24: Ὁ κροκόδειλος .. φύσει δειλός ἐστι καὶ κακοήθης δὲ καὶ πανοῦργος δεινῶς. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 613, 6, 23: Ἡ πέρδιξ .. κακόηθες τὸ ὄρνεόν ἐστι καὶ πανοῦργον.

4) *Ἀριστοτέλης* Ῥητορικὴ 1389, α, 29 καὶ 1390, α, 2: Οἱ νέοι τὰ ἤθη εἰσὶν .. αἰσχυντηλοὶ — οἱ πρεσβύτεροι καὶ παρηκμακότες ἀναίσχυντοι μᾶλλον ἢ αἰσχυντηλοί. — *Αὐτόθ.* περὶ τὰ ζῶα ἱστορ. 488, 6, 23: Διαφέρουσι δὲ καὶ ταῖς τοιαῖσδε διαφοραῖς κατὰ τὸ ἦθος .. τὰ μὲν γάρ ἐστι πρᾶα .. τὰ δὲ αἰσχυντηλὰ καὶ φυλακτικά, οἷον χήν. — *Αἰλιανός*, περὶ ζώων 7, 19: Ἀναιδῆ δὲ καὶ μὴ ῥᾳδίως ὑποστελλόμενα μυῖαι καὶ κύνες. — Ἰδ. *αὐτόθ.* 11, 18. *Ἀριστοτέλ.* Ῥητορ. 1385, α, 9. *Γαλην.* ἔνθ. ἀνωτ. κεφ. 7, ἔκδ. Kühn, σελ. 38. ἔκδ. Marquardt, σελ. 39.

5) *Ἀριστοτέλης*, Ῥητορικὴ 1382, 6, 35. 1390 6, 32 — 1391, α, 7. Οὐκ οἴονται δὲ παθεῖν ἄν .. οἱ ἐν εὐτυχίαις μεγάλαις ὄντες καὶ δοκοῦντες· διὸ ὑβρισταὶ καὶ ὀλίγω-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὑπερήφανα αὐθάδη θρασέα ὑπεροπτικὰ ἀγέρωχα τρυφηλὰ κοῦφα τετυφωμένα γαῦρα ἁλαζονικὰ κομπώδη καὶ μάταια ζῶα 1). Ὑπάρχουσιν ἄνθρωποι ἥμεροι καὶ ἄγριοι καὶ θηριώδεις, ὑπάρχουσι καὶ ζῶα

ροι καὶ θρασεῖς — τῷ δὲ πλούτῳ ἃ ἕπεται ἦθη, ἐπιπολῆς ἐστιν ἰδεῖν ἅπασιν· ὑβρισταὶ γὰρ καὶ ὑπερήφανοι, πάσχοντές τι ἀπὸ τῆς κτήσεως τοῦ πλούτου· ὥσπερ γὰρ ἔχοντες ἅπαντα τἀγαθὰ οὕτω διάκεινται . . καὶ τρυφεροὶ καὶ σαλάκωνες, τρυφεροὶ μὲν διὰ τὴν τρυφὴν καὶ τὴν ἔνδειξιν τῆς εὐδαιμονίας, σαλάκωνες δὲ καὶ σόλοικοι διὰ τὸ πάντας εἰωθέναι διατρίβειν περὶ τὸ ἐρώμενον καὶ θαυμαζόμενον ὑπ' αὐτῶν καὶ τῷ οἴεσθαι ζηλοῦν τοὺς ἄλλους ἃ καὶ αὐτοί. — Ἠθικὰ Νικομάχ. 1127, α, 20 καὶ 6, 9: Δοκεῖ δὴ ὁ ἁλαζὼν προσποιητικὸς τῶν ἐνδόξων εἶναι καὶ μὴ ὑπαρχόντων καὶ μειζόνων ἢ ὑπάρχει — ὁ δὲ μείζω τῶν ὑπαρχόντων προσποιούμενος μηδενός ἕνεκα φαύλῳ μὲν ἔοικεν (οὐ γὰρ ἂν ἔχαιρε τῷ ψεύδει) μάταιος δὲ φαίνεται μᾶλλον ἢ κακός. Ἰδ. καὶ Ῥητορ. 1391, α, 33.

1) *Ξενοφῶν*, περὶ ἱππικῆς 5, 8: Αἱ ἀγελαῖαι τῶν ἵππων οὐχ . . ὑπομένουσι τοὺς ἐπὶ τῇ ὀχείᾳ ἕως ἂν κομῶσιν. — *Πλούταρχος*, Πότερα κτλ. 970 D: Ὁ Βουκεφάλας γυμνὸς μὲν ὢν παρεῖχεν ἀναδῆναι τῷ ἱπποκόμῳ, κοσμηθεὶς δὲ τοῖς βασιλικοῖς προκοσμίοις καὶ περιδεραίοις οὐδένα προσίετο πλὴν αὐτὸν Ἀλέξανδρον (τὸ αὐτὸ καὶ ὁ *Ἀρριανὸς* ἐν *Ἀλεξάνδρου ἀναβάσει* 5, 19, 5 καὶ *Αἰλιανός*, ἔνθ. ἀν. 6, 24 καὶ Μάξιμος ὁ Τύριος ἐν λόγ. 14, 4). — *Ξενοφῶν*, Κυνηγετικὸς 6, 25: Δεῖ τὸν κυνηγέτην τὸν λαγὼ ἀπειρηκότα ζητεῖν, μὴ παραλείποντα μηδὲν . . τὰς κύνας ἐπαγόμενον, ἐγκελεύοντα, παραμυθούμενον τὴν φιλάνθρωπον πολλά, τὴν αὐθάδη ὀλίγα, τὴν μέσην μέτρια — *Αὐτόθ.* 3, 7: Ὅσαι τὰ τῶν ἄλλων κυνῶν εὑρήματα ἐν ταῖς ἰχνείαις καὶ μεταδρομαῖς προθέουσι θαμινὰ σκοποῦσαι, ἑαυταῖς ἀπίστως ἔχουσι, θρασεῖαι δὲ αἳ οὐκ ἐῶσι τῶν συνεργῶν τὰς σοφὰς εἰς τὸ πρόσθεν προϊέναι, ἀλλ' ἀνείργουσι θορυβοῦσαι· αἱ δὲ ἀσπαζόμεναι τὰ ψευδῆ καὶ ὑπερλαμπρυνόμεναι ἐφ' ὅτῳ ἂν τύχωσι προάγουσι συνειδυῖαι ἑαυταῖς ὅτι ἐξαπατῶσιν. — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 10: Ἔστιν μὲν τὴν ἄλλως ὁ ἵππος γαῦρον· καὶ γὰρ τὸ μέγεθος καὶ τὸ τάχος αὐτὸν καὶ τοῦ αὐχένος τὸ ὑψηλὸν καὶ ἡ τῶν σκελῶν ὑγρότης καὶ ἡ τῶν ὁπλῶν κροῦσις εἰς φρύαγμα καὶ τῦφον ἀνάγει· μάλιστα δὲ κομῶσα ἵππος ἀδρότατόν τέ ἐστι καὶ θρυπτικώτατον. — *Αὐτόθ.* 5, 21: Ὁ ταὼς οἶδεν ὀρνίθων ὡραιότατος ὤν, καὶ ἔνθα οἱ τὸ κάλλος κάθηται, καὶ τοῦτο οἶδε, καὶ ἐπ' αὐτῷ κομᾷ καὶ σοβαρός ἐστι . . ἀνατείνει δὲ τὴν κεφαλὴν καὶ ἐπινεύει σοβαρώτατα . . ἐπαινεθεὶς δὲ αἰσθάνεται, καὶ ὥσπερ οὖν ἢ παῖς καλὸς ἢ γυνὴ ὡραία τὸ μάλιστα πλεονεκτοῦν τοῦ σώματος ἐπιδείκνυσιν, οὕτω τοι καὶ ἐκεῖνος τὰ πτερὰ ἐν κόσμῳ καὶ κατὰ στοῖχον ὀρθοῖ . . καὶ ὅπως ἔχει τῆς εἰς τὴν ἐπίδειξιν ἀφθονίας παρίστησιν. — *Αἰσχύλος*, Ἀγαμέμνων 1671: Κόμπασον θαρσῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας. — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 5: Τὸν ἄρρενα ἡ θήλεια νικήσασα ὄρνις ἐν τῇ μάχῃ ἀδρύνεταί τε ὑφ' ἡδονῆς . . καὶ φρονήματος ὑποπίμπλαται καὶ βαίνει μακρότερα. — *Ἐπίκτητος*, ἀπόσπ. 26: Οὔτε ἵππος ἐπὶ φάτνῃ καὶ φαλάροις καὶ τάπησιν, οὔτε ὄρνις ἐπὶ βρώμῃ καὶ καλιᾷ ὑψοῦται καὶ γαυριᾷ· ἀλλ' ἄμφω ἐπὶ ὠκύτητι, ὁ μὲν ποδῶν, ὁ δὲ πτερῶν. — *Αἰλιανός*, 4, 21: Ἀλεκτρυὼν κρατήσας γαῦρός ἐστι καὶ ὑψαυχενεῖ καὶ κυδρουμένῳ ἔοικε· θαυμάσαι δὲ τοῦ ζώου ὑπεράξιον καὶ ἐκεῖνο δήπου· θύραν γὰρ ὑπιὼν καὶ τὴν ἄγαν ὑψηλήν, ὁ δὲ ἐπικύπτει ἁλαζονέστατα δρῶν ἐκεῖνος τοῦτο· φειδοῖ γὰρ τοῦ λόφου πράττειν ἔοικε τὸ εἰρημένον. — Ἰρβλ. ἀνωτ. τὴν ἐν σελ. 55 ὑποσελ. σημ. 4 καὶ τὴν ἐν σελ. 57 ὑποσελ. σημ. 4. — Τὰ αὐτὰ ἀπαράλλακτα καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Romanes, ἔνθ. ἀνωτ, σελ. 382.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἥμερα καὶ ἄγρια καὶ θηριώδη 1). Ὑπάρχουσιν ἄνθρωποι φαῦλοι ἀβέλτεροι νωθροὶ εὔπιστοι εὐεξαπάτητοι ἀλόγιστοι καὶ μωροί 2), ὑπάρχουσι καὶ ζῶα φαῦλα ἀβέλτερα νωθρὰ ἀπερίσκεπτα ἀμαθῆ βλακικὰ ἀνόητα εὐήθη καὶ μωρά 3). Ἐν τοῖς ἀνθρώποις ὑπάρχουσιν ἀφιλόνει-

1) *Ἀριστοτέλης*, περὶ ζώων μορίων 643, 6, 4: Πάντα γὰρ ὡς εἰπεῖν, ὅσα ἥμερα καὶ ἄγρια τυγχάνει ὄντα, οἷον ἄνθρωποι ἵπποι βόες κύνες ἐν τῇ Ἰνδικῇ, ὗες αἶγες πρόβατα — Περὶ τὰ ζῶα ἱστορ. 488, α, 26: Ἔτι δὲ ἥμερα καὶ ἄγρια καὶ τὰ μὲν ἀεὶ οἷον ἄνθρωπος καὶ ὀρεύς, τὰ δὲ ἄγρια ὥσπερ πάρδαλις καὶ λύκος — Πολιτικὰ 1253, α, 36: Ἀνοσιώτατον καὶ ἀγριώτατον ἄνθρωπος ἄνευ ἀρετῆς — Ἠθικὰ Νικομάχεια 1149, α, 9: Καὶ τῶν ἀφρόνων οἱ μὲν ἐκ φύσεως ἀλόγιστοι καὶ μόνον τῇ αἰσθήσει ζῶντες θηριώδεις, ὥσπερ ἔνια γένη τῶν πόρρω βαρβάρων — *Αὐτόθ.* 1148, 6, 19: Λέγω δὲ τὰς (ἕξεις) θηριώδεις, οἷον τὴν ἄνθρωπον ἣν λέγουσι τὰς κυούσας ἀνασχίζουσαν τὰ παιδία κατεσθίειν, ἢ οἵοις χαίρειν φασὶν ἐνίους τῶν ἀπηγριωμένων περὶ τὸν Πόντον, τοὺς μὲν ὠμοῖς τοὺς δὲ ἀνθρώπων κρέασιν, τοὺς δὲ τὰ παιδία δανείζειν ἀλλήλοις εἰς εὐωχίαν, ἢ τὸ περὶ Φάλαριν λεγόμενον. αὗται μὲν θηριώδεις. — *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 4, 21: Τινὰ δὲ τῶν ἐθνῶν ἐξηγρίωται καὶ ἔστι φύσει θηριώδη. (Μασσαγέται καὶ Δέρβικες καὶ Τιβαρηνοὶ καὶ Ὑρκάνιοι καὶ Κάσπιοι καὶ Σκύθαι καὶ Βάκτριοι). — Περὶ τὰ ζῶα ἱστορ. 630, 6, 18: Πάντων δὲ τιθασσότατον καὶ ἡμερώτατον τῶν ἀγρίων ἐστιν ὁ ἐλέφας. — *Πλούταρχος*, Πότερα κτλ. 970 E: Ἡμέρου ἔμφασιν . . φρονήματος ποιοῦσιν οἱ κύνες. — *Αἰλιανός*, περὶ ζώων 2, 42: Ἱέρακες ἡμερώτατοι ὀρνίθων πεφύκασι. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 631, α, 8: Πλεῖστα λέγεται σημεῖα περὶ τοὺς δελφῖνας ἡμερότητος. — *Πλούταρχος*, περὶ σαρκοφαγίας 994 C: Κροκόδειλος ἀσπὶς μύες ἄγρια ζῶα καὶ μιαρά. — Περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργ. 494 C: Ἡ ἄρκτος ἀγριώτατον καὶ σκυθρωπότατον θηρίον — Περὶ Ἴσιδος καὶ Ὀσίριδος 371 C: Διὸ καὶ τῶν ἡμετέρων ζώων ἀπονέμουσι — τῷ Τυφῶνι — τὸ ἀμαθέστατον, ὄνον· τῶν δ' ἀγρίων τὰ θηριωδέστατα, κροκόδειλον καὶ τὸν ποτάμιον ἵππον. — *Αἰλιανός*, ἔνθ. ἀν. 17, 26: Λέοντας ἐν Ἰνδοῖς γίγνεσθαι μεγίστους οὐ δαπορῶ . . εἰσὶ δὲ ἀγριώτατοι καὶ θηριωδέστατοι. Ἔτι *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 588, α, 21. 595, α, 13. 602, 6, 15. 629, 6, 5. 488, 6, 18 — Πολιτικὰ 1338, 6, 17. — *Ἡρόδοτος*, 4, 26. — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 20. 12, 30. 31. 17, 45. — *Ἀρριανός*, Ἐπικτήτου διατριβ. 1, 6, 32. 4, 10, 10. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 12, 26. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωμ. 8, 3, ἔκδ. Potter, σελ. 906. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἰδ. Romanes, ἔνθ. ἀν. σελ. 382 ἐν τέλει.

2) *Ἀριστοτέλης*, Ἠθικ. Νικομαχ. 1121, α, 25: Ὁ ἄσωτος . . δοκεῖ οὐκ εἶναι φαῦλος τὸ ἦθος· οὐ γὰρ μοχθηροῦ οὐδ' ἀγεννοῦς τὸ ὑπερβάλλειν διδόντα καὶ μὴ λαμβάνοντα, ἠλιθίου δέ. — *Αὐτόθ.* 1119, 6, 31: Τοὺς ἀκρατεῖς καὶ εἰς ἀκολασίαν δαπανηροὺς ἀσώτους καλοῦμεν· διὸ καὶ φαυλότατοι δοκοῦσιν εἶναι· πολλὰς γὰρ ἅμα κακίας ἔχουσιν — *Ῥητορικὴ* 1390, 6, 28: Ἐξίσταται δὲ τὰ μὲν εὐφυᾆ γένη εἰς μανικώτερα ἦθη . . τὰ δὲ στάσιμα εἰς ἀβελτηρίαν καὶ νωθρότητα — *Αὐτόθ.* 1389, α, 18: Οἱ νέοι τὰ ἤθη εἰσίν . . εὔπιστοι διὰ τὸ μήπω πολλὰ ἐξηπατῆσθαι . . καὶ εὐεξαπάτητοί εἰσι — *Αὐτόθ.* 1391, 6, 1: Οἱ δυνάμενοι τῶν πλουσίων ὑπερηφανώτεροι καὶ ἀλογιστότεροι διὰ τὴν εὐτυχίαν εἰσί — Προβλήματα 954, α, 28: Ὅσοις ἐν τῇ φύσει συνέστη κρᾶσις τοιαύτη, εὐθὺς οὗτοι τὰ ἤθη γίνονται παντοδαποί, ἄλλος κατ' ἄλλην κρᾶσιν· οἷον ὅσοις μὲν πολλὴ καὶ ψυχρὰ ἐνυπάρχει, νωθροὶ καὶ μωροί.

3) *Ἀρριανός*, Κυνηγετικός 4, 5: Τὰ δὲ ὄμματα ἔστω μεγάλα μετέωρα καθαρὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ προφοβητικοὶ θυμικοὶ θυμοειδεῖς ἀνδρώδεις θαρραλέοι λεοντώδεις μάχιμοι 1), καὶ ἐν τοῖς ζώοις ὑπάρχουσιν ἀσθενῆ τὸ ἦθος ἄτολμα θυ-

λαμπρὰ ἐκπλήττοντα τὸν θεώμενον, καὶ κράτιστα μὲν τὰ πυρωπὰ καὶ ὑπεραστράπτοντα οἷα παρδάλεων ἢ λεόντων ἢ λυγκῶν, δεύτερα δὲ ἐπὶ τούτοις τὰ μέλανα . . τρίτα δὲ τὰ χαροπά· οὐδὲ γὰρ οὐδὲ τὰ χαροπὰ φαῦλά ἐστιν, οὐδὲ φαύλων κυνῶν σύμβολα, εἰ τύχοι, καθαρὰ καὶ γοργὰ ἰδεῖν. — *Πλούταρχος*, Πότερα κτλ. 962 D: Δείγματα πολλὰ . . ἀβελτερίας ἔνεστιν αὐτοῖς — Περὶ τοῦ τὰ ἄλογα κτλ. 992 D: Ἐννόησον δ' ὅτι τὰς ἐνίων ἀβελτερίας καὶ βλακείας ἐλέγχουσιν ἑτέρων πανουργίαι καὶ δριμύτητες, ὅταν ἀλώπεκι καὶ λύκῳ καὶ μελίττῃ παραβάλλῃς ὄνον καὶ πρόβατον. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 553, 6, 11. Ὁ κηφὴν . . ἄκεντρος καὶ νωθρός. — *Αἰλιανός*, περὶ ζώων 7, 19: Νωθέστερά πως δοκεῖ πρόβατον καὶ ὄνος. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 488, 6, 14: Ἀμαθῆ, οἷον ὗς ἄγριος. — *Πλούταρχος*, περὶ Ἴσιδος καὶ Ὀσίριδος 371 C: Τῶν ἡμέρων ζώων . . τὸ ἀμαθέστατον ὄνος — Περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργ. 494 D: Καθόλου γὰρ ἡ πρὸς τὰ ἔκγονα φιλοστοργία καὶ τολμηρὰ τὰ δειλὰ ποιεῖ καὶ φιλόπονα τὰ ῥᾴθυμα. — *Ξενοφῶν*, Κυνηγετικὸς 3, 8: Ὅσαι δὲ τῶν κυνῶν τὰ ἴχνη τὰ μὲν εὐναῖα ἀγνοοῦσι, τὰ δὲ δρομαῖα ταχὺ διατρέχουσιν, οὐκ εἰσὶ γνήσιαι· διώκουσι δὲ αἱ μὲν ἀρχόμεναι σφόδρα, διὰ δὲ μαλακίαν ἀνιᾶσιν, αἱ δὲ ὑποθέουσιν, εἶτα ἁμαρτάνουσιν, ἕτεραι δὲ ἀνοήτως ἐμπίπτουσαι εἰς τὰς ὁδοὺς ἁμαρτάνουσι τὸ ἀνήκουστον πολὺ ἔχουσαι. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 628, α, 6: Χειμῶνος ἀρχομένου μωροὶ γίνονται οἱ ἐργάται τῶν σφηκῶν. — *Αὐτοθ.* 622, α, 17: Τῶν πολυπόδων αἱ θήλειαι μετὰ τὸν τόκον . . γίνονται μωραί. καὶ οὔτε κυματιζόμεναι αἰσθάνονται, λαβεῖν τε τῇ χειρὶ κατακολυμβήσαντα ῥᾴδιον· βλεννώδεις τε γίνονται, καὶ οὐδὲ θηρεύουσιν ἔτι προσκαθήμεναι. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 610, α, 20: Τὰ ἤθη τῶν ζώων, ὥσπερ εἴρηται πρότερον, διαφέρει κατά τε δειλίαν καὶ πραότητα καὶ ἀνδρίαν καὶ ἡμερότητα καὶ νοῦν τε καὶ ἄνοιαν· τό τε γὰρ τῶν προβάτων ἦθος . . εὔηθες καὶ ἀνόητον. — *Αὐτόθ.* 618, 6, 5: Ὁ καλούμενος αἰγοθήλης . . τὸ ἦθός ἐστι βλακικός. — Ἰδ. καὶ *Ἀριστοτέλην* περὶ τὰ ζῶα ἱστορ. 488, 6, 12. 608, α, 15. 610, 6, 30. 34. 622, α, 3. *Πλούταρχον*, περὶ τοῦ τὰ ἄλογα κτλ. 988 F-991 E. *Αἰλιανόν*, περὶ ζώων 3, 37. 8, 17. 10, 33. 16, 10. *Πλούταρχον*, Πότερα κτλ. 963 A.

1) *Ἀριστοτέλης*, περὶ ἀρετῶν καὶ κακιῶν 1251, α, 14: Ἀκολουθεῖ τῇ δειλίᾳ μαλακία ἀνανδρία ἀπονία φιλοψυχία. ὕπεστι δέ τις εὐλάβεια καὶ τὸ ἀφιλόνεικον τοῦ ἤθους. — Ῥητορικὴ 1389, 6, 29: Οἱ δὲ πρεσβύτεροι καὶ παρηκμακότες τὰ ἤθη . . δειλοί εἰσι καὶ πάντα προφοβητικοί. — *Αὐτόθ.* 1389, α, 9: Οἱ νέοι τὰ ἤθη εἰσί . . θυμικοὶ καὶ ὀξύθυμοι καὶ οἷοι ἀκολουθεῖν τῇ ὁρμῇ — Ἠθικὰ Νικομάχεια 1116, 6, 24: Ἀνδρεῖοι εἶναι δοκοῦσι καὶ οἱ διὰ θυμόν, ὥσπερ τὰ θηρία ἐπὶ τοὺς τρώσαντας φερόμενοι, ὅτι καὶ οἱ ἀνδρεῖοι θυμοειδεῖς· ἰητρικώτατον γὰρ ὁ θυμὸς πρὸς τοὺς κυνδύνους, ὅθεν καὶ Ὅμηρος «σθένος ἔμβαλε θυμῷ» καὶ «μένος καὶ θυμὸν ἔγειρε» καὶ «δριμὺ δ' ἀνὰ ῥῖνας μένος» καὶ «ἔζεσεν αἷμα». πάντα γὰρ τὰ τοιαῦτα ἔοικε σημαίνειν τὴν τοῦ θυμοῦ ἔγερσιν καὶ ὁρμήν — Ῥητορικὴ 1391, α, 22: Φιλοτιμότεροι καὶ ἀνδρωδέστεροί εἰσι τὰ ἤθη οἱ δυνάμενοι τῶν πλουσίων — Ἠθικὰ Νικομάχεια 1125, 6, 12: Ἔστι δ' ὅτε τὸν φιλότιμον ἐπαινοῦμεν ὡς ἀνδρώδη καὶ φιλόκαλον. — Ῥητορικὴ 1383, α, 15 καὶ 25: Περὶ ποῖα θαρραλέοι καὶ πῶς διακείμενοι θαρραλέοι εἰσίν . . αὐτοὶ δὲ οὕτως ἔχοντες θαρραλέοι εἰσίν — Ἠθικὰ Νικομάχεια 1117, α, 12: Ἄμφω θαρραλέοι (οἵ τε ἀνδρεῖοι καὶ οἱ μάχιμοι) — Πολιτικὰ 1388, 6, 18: Οὔτε ἐπὶ τῶν ἐθνῶν ὁρῶμεν τὴν ἀνδρίαν ἀκολουθοῦσαν τοῖς ἀγριωτάτοις ἀλλὰ μᾶλλον τοῖς ἡμερωτέροις καὶ λεοντώδεσιν ἤθεσιν — Ἠθικὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μικὰ θυμοειδῆ ἀνδρώδη θαραλέα λεοντώδη μάχιμα 1). Ἐν τοῖς ἀνθρώποις ὑπάρχουσι χαλεποὶ τὸ ἦθος δύσθυμοι θυμώδεις ἀνελεύθεροι καχύποπτοι μοχθηροὶ ἀγεννεῖς εὐτελεῖς μικροὶ πανοῦργοι 2), καὶ ἐν τοῖς ζώοις ὑπάρχουσι χαλεπὰ τὸ ἦθος δύσθυμα θυμώδη ἀνελεύθερα ἐπίβουλα δόλια ἀγεννῆ ἀμήχανα ἀπάνουργα ἄτιμα πανοῦργα 3). Ἐν

Νικομάχεια 1117, α, 8: Οἱ ἄνθρωποι ὀργιζόμενοι μὲν ἀλγοῦσι, τιμωρούμενοι δὲ ἥδονται· οἱ δὲ διὰ ταῦτα μαχόμενοι μάχιμοι.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 615, α, 17: Ὁ τροχίλος τὸ ἦθος ἀσθενής — *Αἰλιανός*, περὶ ζώων 7, 19: Τῶν πετεινῶν ἐστιν ἄτολμα οἱ στρουθοὶ καὶ τῶν ἐνύδρων οἱ κεστρεῖς. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 488, 6, 21: Θυμικόν.. ὁ κύων. — *Αὐτόθ.* 624, 6, 13: Ἐὰν μὲν οὖν ὁ ἡγεμὼν ζῇ, χωρὶς φασι τοὺς κηφῆνας γίγνεσθαι, εἰ δὲ μή, ἐν τοῖς τῶν μελιττῶν κυττάροις γεννᾶσθαι ὑπὸ τῶν μελιττῶν, καὶ γίγνεσθαι τούτους θυμικωτέρους — *Ξενοφῶν*, περὶ Ἱππικῆς 1, 8: Τῶν ἵππων πολλοί.. θυμοειδεῖς. — *Αἰλιανός*, περὶ ζώων 4, 19: Κύνες Ἰνδικοὶ θηρία καὶ οἵδε εἰσὶ ἀλκὴν ἄλκιμα καὶ ψυχὴν θυμοειδέστατα. — *Ἀριστοτέλης*, Φυσιογνωμονικὰ 811, α, 13: Οἷς τράχηλος παχὺς καὶ πλέως, θυμοειδεῖς· ἀναφέρεται ἐπὶ τοὺς θυμοειδεῖς ταύρους — Ἠθικὰ Νικομάχεια 1116, 6, 24. Διὰ θυμὸν τὰ θηρία ἐπὶ τοὺς τρώσαντας φέρεται. — *Πλούτ.* Πότερα κτλ. 978 Ε. Τῶν ζώων τὸ συνετὸν οὐκ ἀπῄλλακται τοῦ θυμοειδοῦς καὶ ἀνδρώδους. — *Αὐτόθ.* 987 F: Τὰ θηρία πρὸς τὸ θαρρεῖν εὖ πέφυκεν. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 616, 6, 20. 22. 618, 6, 30: Ἡ κρὶξ τὸ ἦθος μάχιμος.. ἡ καλουμένη σίττη τὸ ἦθος μάχιμος. ὁ μελανάετος.. ἀφοβος καὶ μάχιμος. — Πολιτικὰ 1388, 6, 17: Οὔτε ἐν τοῖς ἄλλοις ζώοις.. ὁρῶμεν τὴν ἀνδρίαν ἀκολουθοῦσαν τοῖς ἀγριωτάτοις, ἀλλὰ μᾶλλον τοῖς ἡμερωτέροις καὶ λεοντώδεσιν ἤθεσιν.

2) *Ἀριστοτέλης*, Ἠθικ. Νικομάχεια 1126, α, 26: Χαλεποὺς δὲ λέγομεν τοὺς ἐφ' οἷς τε μὴ δεῖ χαλεπαίνοντας καὶ μᾶλλον ἢ δεῖ καὶ πλείω χρόνον, καὶ μὴ διαλαττομένους ἄνευ τιμωρίας ἢ κολάσεως. — Περὶ τὰ ζῶα ἱστορ. 608, 6, 11: Ἔστι δὲ καὶ δύσθυμον μᾶλλον τὸ θῆλυ τοῦ ἄρρενος καὶ δύσελπι. — Αὐτόθ. 608, 6, 3: Τὰ ἄρρενα θυμωδέστερα καὶ ἀγριώτερα. — Ἠθικὰ Εὐδήμια 1221, 6, 12: Λέγω δ', οἷον ὀξύθυμος μὲν τῷ θᾶττον πάσχειν ἢ δεῖ, χαλεπὸς δὲ καὶ θυμώδης τῷ μᾶλλον. — Ῥητορικὰ 1389 α, 26. Οἱ νέοι τὰ ἤθη εἰσίν.. ἀνδρειότεροι· θυμώδεις γὰρ καὶ εὐέλπιδες, ὧν τὸ μὲν μὴ φοβεῖσθαι, τὸ δὲ θαρρεῖν ποιεῖ· οὔτε γὰρ ὀργιζόμενος οὐδεὶς φαβεῖται,ἠτό τε ἐλπίζειν ἀγαθόν τι θαρραλέον ἐστίν. — *Αὐτόθ.* 6, 27. 24: Οἱ δὲ πρεσβύτεροι.. καὶ παρηκμακότες.. ἀνελεύθεροι.. ἔτι δὲ καχύποπτοί εἰσι διὰ τὴν ἀπιστίαν, ἄπιστοι δὲ διὰ τὴν ἐμπειρίαν — Ἠθικὰ Νικομάχεια 1121, α, 26: Οὐ μοχθηροῦ οὐδ' ἀγεννοῦς τὸ ὑπερβάλλειν διδόντα καὶ μὴ λαμβάνοντα, ἠλιθίου δὲ — Ἠθικὰ Εὐδήμια 1240, 6, 16: Ὁ μοχθηρὸς οὐχ εἷς, ἀλλὰ πολλοὶ καὶ τῆς αὐτῆς ἡμέρας ἕτερος καὶ ἔμπληκτος — Ῥητορικὴ 1390, 6, 24: (Τῶν εὐγενῶν) εἰσιν οἱ πολλοὶ εὐτελεῖς.— Φυσιογνωμονικὰ 807, α, 5: Ἀνάγκη ἐστὶ τὸν ὀργίλον καὶ τὸν δυσάνιον καὶ μικρὸν τὸ ἦθος φθονερὸν εἶναι. — Ῥητορικὴ 1382, 6, 19: Τῶν ἠδικημένων καὶ ἐχθρῶν ἢ ἀντιπάλων (φοβεροὶ) οὐχ οἱ ὀξύθυμοι καὶ παρρησιαστικοί, ἀλλ' οἱ πρᾶοι καὶ εἴρωνες καὶ πανοῦργοι.

3) *Ἀριστοτέλης* περὶ τὰ ζῶα ἱστορ. 588, α, 22: Ἔνεισιν ἐν πολλοῖς τῶν ζώων.. πραότης καὶ χαλεπότης.. Αὐτόθ. 563, α, 26: Οἱ ἀετοί.. τοῖς τέκνοις γίνονται χαλεποί. — *Αὐτόθ.* 558, 6, 16: Αἱ Ἀδριαναὶ ἀλεκτορίδες εἰσὶ μὲν μικραὶ τὸ μέγεθος, τίκτουσι δ' ἂν' ἑκάστην ἡμέραν· εἰσὶ δὲ χαλεπαὶ καὶ κτείνουσι τοὺς νεοσσοὺς πολλάκις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῖς ἀνθρώποις ὑπάρχουσι πρᾶοι τὸ ἦθος εὐγενεῖς φιλόκαλοι ἐλευθέριοι

— Προβλήματα 894, 6, 12: Τῶν ζώων τὰ μὲν χαλεπά ἐστι μετὰ τὸν τόκον, οἷον κύων καὶ ὗς, τὰ δ' οὐδὲν ἐπιδήλως, οἷον γυνὴ πρόβατον.. αἱ ἀλεκτορίδες οὐ τεκοῦσαι χαλεπαί, ἀλλ' ἐπωάζουσαι διὰ τὴν ἀσιτίαν. — Περὶ τὰ ζῶα ἱστορ. 571, 6, 10: Τὰ θήλεα χαλεπώτατα, ὅταν ἐκτέκωσι πρῶτον, οἱ δὲ ἄρρενες περὶ τὴν ὀχείαν. οἵ τε γὰρ ἵπποι δάκνουσι τοὺς ἵππους καὶ καταβάλλουσι καὶ διώκουσι τοὺς ἱππέας, καὶ οἱ ὗες οἱ ἄγριοι χαλεπώτατοι — *Αὐτόθ.* 6, 24: Χαλεπὸς δὲ καὶ ὁ κάμηλος περὶ τὴν ὀχείαν ὁ ἄρρην, ἐάν τε ἄνθρωπος, ἐάν τε κάμηλος πλησιάζῃ.. καὶ ἄρκτοι καὶ λύκοι καὶ λέοντες χαλεποὶ τοῖς πλησιάζουσι περὶ τὸν καιρὸν τοῦτον.. χαλεπαὶ δὲ καὶ αἱ θήλειαι ἄρκτοι ἀπὸ τῶν σκύμνων, ὥσπερ καὶ αἱ κύνες ἀπὸ τῶν σκυλακίων.. ἐξαγριαίνονται δὲ καὶ οἱ ἐλέφαντες περὶ τὴν ὀχείαν.— *Αὐτόθ.* 562, 6, 22: Χαλεπωτέρα δ' ἡ θήλεια (περιστερά)· ἐστὶ περὶ τὴν τεκνοτροφίαν τοῦ ἄρρενος, ὥσπερ καὶ τὰ ἄλλα ζῶα μετὰ τὸν τόκον. — *Αὐτόθ.* 624, 6, 28: Εἰσὶ γὰρ αἱ ἀπὸ τῶν ὑλονόμων (μέλισσαι) δασύτεραι καὶ ἐλάττους καὶ ἐργατικώτεραι καὶ χαλεπώτεραι.— *Αὐτόθ.* 488, 6, 13. Πρᾶα καὶ δύσθυμα καὶ οὐκ ἐνστατικά· οἷον βοῦς. — *Αὐτόθ.* 588, α, 23: Ἔνεισιν ἐν πολλοῖς τῶν ζώων καὶ θυμοὶ καὶ πανουργίαι. — *Αὐτόθ.* 488, 6, 14: Θυμώδη.. οἷον ὗς ἄγριος. — Περὶ ζώων μορίων 650, 6, 33: Τὰ πολλὰς ἔχοντα λίαν ἶνας καὶ παχείας γεωδέστερα τὴν φύσιν ἐστὶν καὶ θυμώδη τὸ ἦθος καὶ ἐνστατικὰ (ἐνστατικὰ Bonitz) . . διὸ οἱ ταῦροι καὶ οἱ κάπροι θυμώδεις καὶ ἐκστατικοί. — *Ἀρριανός*, Κυνηγετικὸς 34, 1: Ἀλώπηξ . . ἐπίβουλον τὸ χρῆμα καὶ τοὺς λαγὼς διαφθείρει. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 488, 6, 16: Ἀνελεύθερα καὶ ἐπίβουλα, οἷον οἱ ὄφεις. — *Αἰλιανός*, περὶ ζώων 6, 24: Δολερὸν χρῆμα ἡ ἀλώπηξ. — *αὐτόθ.* 5, 54: Ἡ πάρδαλις καὶ τοῦ πιθήκου δολερώτερον. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 9: (Τῶν ζώων) τὰ μὲν ἐκποδὼν νέμεται τῶν ἀνθρώπων, ὅσα ἰσχυρά· τὰ δὲ ἀγεννῆ ἐκποδὼν μὲν τῶν ἰσχυροτέρων θηρίων, τοὔμπαλιν δὲ μετὰ τῶν ἀνθρώπων. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 558, 6, 16: (ἀλεκτορίδες) ἧττον πολυτόκοι αἱ γενναῖαι τῶν ἀγεννῶν εἰσιν.— *Πλούταρχος*, Πότερα κτλ. 966, B: Θύννος κάραβος ἀμία.. ἀγεννῆ ἀμήχανα καὶ ἀπάνουργα — *Ἀριστοτέλης*, Ἠθικὰ μεγάλα 1205, α, 29: Ἔστι γὰρ καὶ φύσις φαύλη, οἷον ἡ τῶν σκωλήκων καὶ ἡ τῶν κανθάρων καὶ ὅλως ἡ τῶν ἀτίμων ζώων.— Περὶ ψυχῆς 404, 6, 3: Ἀναξαγόρας λέγει.. τὸν νοῦν ἐν ἅπασιν ὑπάρχειν τοῖς ζώοις καὶ μεγάλοις καὶ μικροῖς καὶ τιμίοις καὶ ἀτιμοτέροις.— *Πλούταρχος*, Πότερα κτλ. 970 E: Ἥ τε πανουργία — τῶν ζώων — καὶ τὸ συνετὸν οὐκ ἀπήλλακται τοῦ θυμοειδοῦς καὶ ἀνδρώδους. — *Αὐτόθ.* 962 D. Δείγματα πολλὰ τοῦ πανούργου (τῶν ζώων) περὶ τοὺς πορισμοὺς καὶ τὰς οἰκονομίας· — *Ἀριστοτέλης*, ἀποσπ. 270, σελ. 1527, α, 8: Ὁ πέρδιξ.. τὸ ζῶον κακόηθές ἐστι καὶ πανοῦργον. — Περὶ τὰ ζῶα ἱστορ. 488, 6, 20: Πανοῦργον ἡ ἀλώπηξ. — *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ. 992 D: Ἀλώπηξ καὶ λύκος πανοῦργα. — *Αἰλιανός*, περὶ ζώων 6, 6, 54: Ἔχῖνος ὁ χερσαῖός ἐστι πανοῦργος. — *Αὐτόθ.* 1, 27: Ὁ πολύπους ἐστίν.. ἐπιβουλεῦσαι σφόδρα πανοῦργος. — *Αὐτόθ.* 8, 10: Ἡ θαλαττία ἀλώπηξ πανοῦργος. — *Αὐτόθ.* 10, 24: Ὁ κροκόδειλος φύσει δειλός ἐστι καὶ κακοήθης καὶ πανοῦργος δεινῶς.— *Πλούταρχος*, Πότερα κτλ. 871 A: Πανουργίας δὲ πολλῶν παραδειγμάτων ὄντων ἀφεὶς ἀλώπεκας καὶ λύκους καὶ τὰ γεράνων σοφίσματα καὶ κολοιῶν κτλ. Ἴδε καὶ *Ἀριστοτέλην*, Ἠθ. Εὐδήμ. 1221, 6, 12. Περὶ ζώων μορίων 645, α, 15. Περὶ τὰ ζῶα ἱστορ. 578, α, 33. 608, 6, 3. 494, α, 17. 614, α, 30. — *Πορφύριον*, περὶ ἀποχ. 3, 10. 12. — *Πλούταρχον*, Πότερα κτλ. 962 B. D. 971 F. *Ξενοφῶντ.* Ἱππαρχικὸν 4, 18. 19. *Αἰλιανόν*, περὶ ζώων 4, 39. 6, 54. 13, 11. *Παροι-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σπουδαῖοι χρηστοὶ σεμνοὶ βαρεῖς μεγαλόψυχοι ἁπλοῖ γενναῖοι 1) καὶ ἐν τοῖς ζώοις ὑπάρχουσι πρᾶα τιθασσευτικὰ ἥπια τὸ ἦθος εὐγενῆ φιλόκαλα ἐλευθέρια σπουδαῖα χρηστὰ σοβαρὰ μεγαλόνοα μεγαλόφρονα ὑψηλόφρονα ἁπλᾶ καὶ γενναῖα 2). Ὅμοια ἐν πᾶσι καὶ κατὰ πάντα

μιογράφ. Ζηνόβιον 5, 6, 8. *Ἀριστοφάν.* Ἱππεῖς 1068 καὶ Σχολιαστὴν Ἀριστοφάνους ἐν τῷ αὐτῷ στίχῳ. *Ἴωνος*, ἀπ. 38, ἔκδ. Nauck, σελ. 573. *Ἀθήναιον*, Δειπνοσοφιστ. 3, 91 D. *Ἀρχίλοχον*, ἀπ. 89, καὶ 118, ἔκδ. Bergk, τόμ. 3, σελ. 409 καὶ 418.

1) *Ἀριστοτέλης*, Ρητορικὴ πρὸς Ἀλέξανδρον 1445, 6, 16 : Δεῖ δὲ πικρῷ τῷ ἤθει μὴ ἐξετάζειν, ἀλλὰ πραεῖ — Ἠθικὰ Νικομάχεια 1129, 6, 22 : Τοῦ πράου ἔργα μὴ τύπτειν μηδὲ κακηγορεῖν. — *Αὐτόθ.* 1125, 6, 33 : Βούλεται ὁ πρᾶος ἀτάραχος εἶναι καὶ μὴ ἄγεσθαι ὑπὸ τοῦ πάθους — Ῥητορικὴ 1380, 6, 2 : Ἔχοντες ἐναντίως τῷ ὀργίζεσθαι δῆλον ὅτι πρᾶοί εἰσιν. — Ἠθικὰ Νικομάχεια 1179, 6, 4 : Εἰ μὲν οὖν ἦσαν οἱ λόγοι αὐτάρκεις πρὸς τὸ ποιῆσαι ἐπιεικεῖς, πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους δικαίως ἔφερον κατὰ τὸν Θέογνιν, καὶ ἔδει ἂν τούτους πορίσασθαι· νῦν δὲ φαίνονται προτρέψασθαι μὲν καὶ παρορμῆσαι τῶν νέων τοὺς ἐλευθερίους ἰσχύειν, ἦθός τ' εὐγενὲς καὶ ὡς ἀληθῶς φιλόκαλον ποιῆσαι ἂν κατοχώχιμον ἐκ τῆς ἀρετῆς, τοὺς δὲ πολλοὺς ἀδυνατεῖν πρὸς καλοκἀγαθίαν προτρέψασθαι — Ῥητορικὴ 1390, 6, 16 : Εὐγενείας ἦθός ἐστι τὸ φιλοτιμότερον εἶναι τὸν κεκτημένον αὐτήν. — Περὶ ἀρετῶν καὶ κακιῶν 1250, 6, 31 : Ἀκολουθεῖ τῇ ἐλευθεριότητι τοῦ ἤθους ὑγρότης καὶ εὐαγωγία καὶ φιλανθρωπία. — Ἠθικὰ Νικομάχεια 1120, 6, 6. α, 24: Τὸ μὴ ἐπιβλέπειν ἐφ' ἑαυτὸν ἐλευθερίου . . ὁ ἐλεύθερίος δώσει τοῦ καλοῦ ἕνεκα καὶ ὀρθῶς· οἷς γὰρ δεῖ καὶ ὅσα καὶ ὅτε, καὶ τἆλλα ὅσα ἕπεται τῇ ὀρθῇ δόσει· καὶ ταῦτα ἡδέως ἢ ἀλύπως. — Ἠθικὰ μεγάλα 1181, α, 28 : Τὸ σπουδαῖον εἶναί ἐστι τὸ τὰς ἀρετὰς ἔχειν. δεῖ ἄρα, εἴ τις μέλλει ἐν τοῖς πολιτικοῖς πρακτικὸς εἶναι, τὸ ἦθος εἶναι σπουδαῖος. — Πολιτικὰ 1286, α, 36 : Εἰ πλείους εἶεν ἀγαθοὶ καὶ ἄνδρες καὶ πολῖται, πότερον ὁ εἷς ἀδιαφθορώτερος ἄρχων, ἢ μᾶλλον οἱ πλείους μὲν τὸν ἀριθμὸν ἀγαθοὶ δὲ πάντες ; ἢ δῆλον ὡς οἱ πλείους ; ἀλλ' οἱ μὲν στασιάζουσιν, ὁ δ' εἷς ἀστασίαστος. Ἀλλὰ πρὸς τοῦτο ἀντιθετέον ἴσως ὅτι σπουδαῖος τὴν ψυχήν, ὥσπερ κἀκεῖνος ὁ εἷς — Ῥητορικὴ 1386, 6, 9 : Ἀντίκειται δὲ τῷ ἐλεεῖν μάλιστα μὲν ὃ καλοῦσι νεμεσᾶν· τῷ γὰρ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις κακοπραγίαις ἀντικείμενόν ἐστι τρόπον τινὰ καὶ ἀπὸ τοῦ αὐτοῦ ἤθους τὸ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις εὐπραγίαις, καὶ ἄμφω τὰ πάθη ἤθους χρηστοῦ. — *Αὐτόθ.* 1391, α, 22 - 29 : Φιλοτιμότεροι καὶ ἀνδρωδέστεροί εἰσι τὰ ἤθη οἱ δυνάμενοι τῶν πλουσίων, καὶ σεμνότεροι ἢ βαρύτεροι . . ἐστι δὲ ἡ σεμνότης μαλακὴ καὶ εὐσχήμων βαρύτης.— *Αὐτόθ.* 1389, α, 31. 6, 24 : Οἱ μὲν οὖν νέοι τὰ ἤθη εἰσὶν μεγαλόψυχοι . . οἱ δὲ πρεσβύτεροι καὶ παρηκμακότες . . μικρόψυχοι — Περὶ ἀρετῶν καὶ κακιῶν 1250, 6, 40 : Ἔστι δὲ μεγαλόψυχος οὗθ' ὁ τὸ ζῆν περὶ πολλοῦ ποιούμενος οὗθ' ὁ φιλόζωος· ἁπλοῦς δὲ τῷ ἤθει καὶ γενναῖος, ἀδικεῖσθαι δυνάμενος καὶ οὐ τιμωρητικός· ἀκολουθεῖ δὲ τῇ μεγαλοψυχίᾳ ἁπλότης καὶ ἀλήθεια.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 588, α, 21 : Ἔνεισιν ἐν πολλοῖς τῶν ζώων . . πραότης καὶ χαλεπότης.— *Αὐτόθ.* 629, 6, 5 : Περὶ δὲ τὰ ἤθη τῶν ζώων . . ἐστί θεωρῆσαι διαφορὰς πρὸς πραότητα καὶ ἀγριότητα καὶ αὐτῶν τῶν ἀγρίων. — *Αὐτόθ.* 488 6, 13 : Πρᾶον ὁ βοῦς.— *Αἰλιανός*, περὶ ζώων 4, 35 : Πρᾶος ὁ βοῦς ἐστιν καὶ πάρεισιν εἰς τὸ αὔλιον ἡσυχῇ. — *Αὐτόθ.* 3, 15 : Περιστεραὶ ἐν μὲν ταῖς πόλεσιν τοῖς ἀνθρώποις συναγελάζονται, καὶ εἰσὶ πραόταται, καὶ εἰλοῦνται περὶ τοῖς ποσίν, ἐν δὲ τοῖς ἐρήμοις χωρίοις ἀποδιδράσκουσιν. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 629, 6, 8 : Ὁ λέων ἐν τῇ βρώσει μὲν χαλεπώτατός ἐστι, μὴ πεινῶν δὲ καὶ βεβρωκὼς πραότατος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

— *Ἀρριανός*, Κυνηγετικὸς 5, 1, 2. 6: Ἀνέθρεψα ἐγὼ κύνα χαροπὴν οἵαν χαροπωτάτην· καὶ τὰ ἄλλα δὲ πραοτάτη ἐστί καὶ φιλανθρωποτάτη . . Ὁρμὴ ὄνομα ὠκυτάτη τε καὶ σοφωτάτη καὶ πραοτάτη — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 11: Ἡμερωθεὶς ἐλέφας πραότατόν ἐστι. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 612, 6, 13: Ἡ ἰχτὶς . . τιθασσὸν γίνεται σφόδρα. — *Αὐτόθ.* 488, 6, 22: Πρᾶα καὶ τιθασσευτικά, οἷον ἐλέφας.— *Αὐτόθ.* 619, 6, 23: Ἡ δὲ καλουμένη φήνη ἐστίν . . εὔτεκνος καὶ ἥπιος. — *Ἀριστοτέλης*, περὶ ἀναπνοῆς 477, α, 16: Τὰ τιμιώτερα τῶν ζώων πλείονος τετύχηκε θερμότητος· ἅμα γὰρ ἀνάγκη καὶ ψυχῆς τετυχηκέναι τιμιωτέρας.— *Ἀριστοτέλης*, περὶ ζώων ἱστορ. 624, 6, 30: Αἱ μὲν οὖν χρησταὶ μέλιτται ἐργάζονται τὰ κηρία ὁμαλά. — *Αὐτόθ.* 625, α, 15: Οἱ κηφῆνες ἁλισκόμενοι θνήσκουσιν ὑπὸ τῶν χρηστῶν μελιττῶν. — *Αἰλιανός*, ἔνθ. ἀν. 4, 7: Ἀκούω τῶν Σκυθῶν βασιλέα . . ἵππον σπουδαίαν ἔχειν πᾶσαν ἀρετήν, ὅσην ἵπποι καὶ ἀπαιτοῦνται καὶ ἀποδείκνυνται, ἔχει δὲ καὶ υἱὸν αὐτῆς ἐκείνης τῶν ἄλλων ἀρετῇ διαπρέποντα. — *Ἀρριανός*, Κυνηγ. 7, 7: Ταῖς γενναιοτάταις κυσὶ καὶ ἐπισκύνιον πρόσεστιν, καὶ σοβαραὶ φαίνονται . . καθάπερ οἱ ἵπποι, ἐπειδὰν λαμπρύνωσιν.— *Ἀριστοτέλ.* περὶ ζώων ἱστορ. 488, 8, 21. Φιλόκαλα οἷον ταὼς.— *Πλούταρχος*, Πότερα κτλ. 973 Β. Διδάσκονται . . τῷ χαίρειν διαμελιζόμεναι καὶ τὸ καλὸν ἀγαπᾶν μᾶλλον ἢ τὸ χρειῶδες τῆς φωνῆς (ἴδ. καὶ ἀν. σελ. 55 καὶ σημ. 4).— *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 488, 6, 16: Ἐλευθέρια καὶ ἀνδρεῖα καὶ εὐγενῆ, οἷον λέων.— *Αἰλιανός*, περὶ ζώων 8, 1: Τὰς κύνας ἄγουσιν εἰς τὰ ἔνθηρα χωρία οἱ θηρατικοὶ τὰς εὐγενεῖς . . ἵππος γενικὸς καὶ εὐγενής. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 608, α, 35: Τὰ θήλεα μαλακώτερα καὶ κακουργότερα καὶ ἧττον ἁπλᾶ . . τὰ δ' ἄρρενα ἁπλούστερα καὶ ἧττον ἐπίβουλα. — *Αἰλιανός* ἔνθ. ἀν. 11, 31: Ἵππος . . πάνυ γενικόν. — *Ἀρριανός*, Κυνηγετικὸς 32, 2: Μέγα μοι δοκεῖ τὸ κτῆμα ἄρρην κύων τῇ ἀληθείᾳ γενναῖος. *Αὐτόθ.* 7, 7: Κύνες γενναιότατα. — *Ἀρριανός*, Ἰνδικὴ 13, 6: Οἱ δὲ ἄγριοι ἐλέφαντες νύκτωρ πλανέονται τε πάντη καὶ ἀγεληδὸν νέμονται τῷ μεγίστῳ καὶ γενναιοτάτῳ σφῶν ἑπόμενοι, κατάπερ οἱ βόες τοῖσι ταύροισιν. — *Αἰλιανός*, ἔνθ. ἀνωτ. 15, 22: Ταῖς κορώναις ἔργον τοὺς ἀετοὺς ἐρεσχελεῖν ἐστιν. οἱ δὲ ὑπερφρονοῦσιν αὐτῶν καὶ ἐκείναις μὲν ἀπολείπουσι τὴν κάτω φέρεσθαι πτῆσιν, αὐτοὶ δὲ τὸν αἰθέρα ὑψηλότερον ὄντα ὠκίστοις τέμνουσι πτεροῖς . . ἰδίᾳ τινὶ μεγαλονοίᾳ ἐῶσιν ἔρρειν ἐκείνας κάτω. — *Πλούταρχος*, Πότερα κτλ. 966 Β: Καθόλου δὲ δι' ὧν οἱ φιλόσοφοι δεικνύουσι τὸ μετέχειν λόγου τὰ ζῶα προθέσεις εἰσὶ καὶ παρασκευαί . . ἔτι δὲ εὑρέσεις τῶν ἀναγκαίων, ἐμφάσεις ἀρετῆς, οἷον ἀνδρείας κοινωνίας ἐγκρατείας μεγαλοφροσύνης. — *Αὐτόθ.* 970 F: Φασὶ δὲ καὶ τὸν πρωτεύοντα κύνα τῶν Ἰνδικῶν καὶ μαχεσθέντα πρὸς Ἀλέξανδρον, ἐλάφου μὲν ἀφιεμένου καὶ κάπρου καὶ ἄρκτου, ἡσυχίαν ἔχοντα κεῖσθαι καὶ περιορᾶν· ὀφθέντος δὲ λέοντος, εὐθὺς ἐξαναστῆναι καὶ διακονίεσθαι καὶ φανερὸν εἶναι αὐτοῦ ποιούμενον ἀνταγωνιστήν, τῶν δ' ἄλλων ὑπερφρονοῦντα πάντων (τὰ αὐτὰ καὶ Αἰλιανὸς ἔνθ. ἀν. 4, 19. 8, 1). — *Αὐτόθ.* 970 Ε: Ἡμέρου μὲν ἔμφασιν ὁμοῦ καὶ ὑψηλοῦ φρονήματος ποιοῦσιν οἱ κύνες ἀποτρεπόμενοι τῶν συγκαθεζομένων . . οὐκέτι γὰρ προσμάχονται τοῖς ὑποπεσοῦσι καὶ γεγονόσι ταπεινοῖς τὰς ἕξεις ὁμοίοις (τὰ αὐτὰ καὶ Ἀριστοτέλης ἐν Ῥητορικῇ 1380, α, 24). — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 629, 6, 10. 24: Ὁ λέων . . ἔστι τὸ ἦθος οὐχ ὑπόπτης οὐδενός οὐδ' ὑφορώμενος οὐδέν . . ἐάν τις βάλλῃ μὲν μή, ἐνοχλῇ δὲ αὐτόν, ἐὰν ἐπαΐξας συλλάβῃ, ἀδικεῖ μὲν οὐδὲν οὐδὲ βλάπτει τοῖς ὄνυξι, σείσας δὲ καὶ φοβήσας ἀφίησι πάλιν. — *Πλούταρχος*, ἔνθ. ἀν. 968 Ε: Ἐλέφας . . ὑπὸ παιδαρίων προπηλακισθεὶς ἐν Ῥώμῃ τοῖς γραφείοις τὴν προβοσκίδα κεντούντων ὀν συνέλαβε μετέωρον ἐξάρας ἐπίδοξος ἦν ἀποτυμπανίσειν· κραυγῆς δὲ τῶν παρόντων γενομένης, ἀτρέμας πρὸς τὴν γῆν πάλιν ἀπηρείσατο, καὶ παρῆλθεν, ἀρκοῦσαν ἡγούμενος δίκην τῷ τη-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῖς ἀνθρωπίνοις 1), ἐν οὐκ ὀλίγοις δὲ καὶ ἐντελῶς τὰ αὐτά 2).

λικούτῳ φοβηθῆναι. — Τὰ αὐτὰ ἀπαράλλακτα καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 383 ἐν ἀρχῇ

1) *Γαληνός*, περὶ ψυχῆς παθῶν κεφ. 7, ἔκδ. Kühn, τόμ. 5, σελ. 37. Marquardt, τόμ. 1, σελ. 28: Ὅτι μὲν οὖν αἱ φύσεις ἡμῶν πάμπολυ διαφέρουσι, μαθεῖν ἐναργῶς ἐστιν ἐπὶ τῶν παραφερομένων παιδίων. Ἕνια μὲν γὰρ αὐτῶν ἀεὶ φαιδρά, σκυθρωπὰ δ' ἄλλα θεώμεθα, καὶ τὰ μὲν ἕτοιμα γελᾶν ἐπὶ πᾶσι, τὰ δὲ κλαίειν ἐπὶ σμικραῖς προφάσεσιν. Οὕτω δὲ καὶ τὰ μὲν ἔχει κοινῇ, τὰ δ' ἁρπάζει· καὶ τὰ μὲν θυμοῦται σφοδρῶς ἐπὶ τῶν σμικροτάτων, ὡς δάκνειν τε καὶ λακτίζειν καὶ λίθοις καὶ ξύλοις ἀμύνασθαι τοὺς πέλας, ὅταν ἀδικεῖσθαι δόξῃ, τὰ δ' ἔστιν ἀνεξίκακα καὶ πραέα, μήτ' ὀργιζόμενα μήτε κλαίοντα, πρὶν ἀδικηθῆναί τι μέγα. . Ἔτι δὲ πρὸς τοῖς εἰρημένοις ἔστιν ἰδεῖν ἔνια μὲν ἀναίσχυντα τῶν παιδίων, ἔνια δ' αἰδούμενα, καὶ τὰ μὲν μνημονικά, τὰ δ' ἀμνήμονα τινὰ δὲ ἐπιλήσμονα, καὶ τὰ μὲν φιλόπονα περὶ τὰ διδασκόμενα, τὰ δ' ἀμελῆ καὶ ῥᾴθυμα, καὶ τῶν φιλοπόνων ἔνια μὲν ἐπὶ τῷ ἐπαινεῖσθαι χαίροντα προθύμως, ἔνια δ' ἐπὶ τῷ καταγιγνώσκεσθαι πρὸς τῶν διδασκάλων αἰδούμενα, τινὰ δὲ καὶ δεδιότα πληγάς. Ἐξ ὧν . . οἱ ἄνθρωποι τὰ μὲν αἰσχυντηλὰ καλοῦσιν αὐτῶν, τὰ δ' ἀναίσχυντα. κατὰ δὲ τὸν αὐτὸν λόγον ἤτοι φιλόκαλα καὶ φιλότιμα ἢ ἀφιλότιμα καὶ ἀφιλόκαλα, καὶ μὴν δειλὰ καὶ καταφρονητικὰ πληγῶν . . οὕτως οὖν καὶ τὰ μὲν φιλοψευδῆ τὰ δὲ φιλαλήθη τῶν παιδίων ὁρῶμεν ὄντα φύσει καὶ πολλὰς ἄλλας ἔχοντα διαφορὰς ἠθῶν. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 488, 6, 12: Τὰ ζῶα . . διαφέρουσι καὶ ταῖς τοιαῖσδε διαφοραῖς κατὰ τὸ ἦθος· τὰ μὲν γάρ ἐστι πρᾶα καὶ δύσθυμα καὶ οὐκ ἐνστατικά, οἷον βοῦς, τὰ δὲ θυμώδη καὶ ἐνστατικὰ καὶ ἀμαθῆ, οἷον ὗς ἄγριος, τὰ δὲ φρόνιμα καὶ δειλά, οἷον ἔλαφος δασύπους, τὰ δὲ ἀνελεύθερα καὶ ἐπίβουλα, οἷον οἱ ὄφεις, τὰ δὲ ἐλευθέρια καὶ ἀνδρεῖα καὶ εὐγενῆ, οἷον λέων, τὰ δὲ γενναῖα καὶ ἄγρια καὶ ἐπίβουλα, οἷον λύκος . . καὶ τὰ μὲν πανοῦργα καὶ κακοῦργα, οἷον ἀλώπηξ, τὰ δὲ θυμικα καὶ φιλητικὰ καὶ θωπευτικά, οἷον κύων, τὰ δὲ πρᾶα καὶ τιθασσευτικά, οἷον ἐλέφας, τὰ δ' αἰσχυντηλὰ καὶ φυλακτικά, οἷον χήν, τὰ δὲ φθονερὰ καὶ φιλόκαλα, οἷον ταώς.

2) *Εὐσέβιος*, Προπαρασκευὴ Εὐαγγελικὴ 6, 10, 9: Τῶν ἀνθρώπων . . οἱ μὲν ὡς σκορπίοι καὶ ὡς ἀσπίδες, μὴ ἀδικηθέντες ἀδικοῦσιν· οἱ δὲ ὡς τὰ ἄλογα ζῶα ἀδικούμενοι ἀμύνονται· ἕτεροι δὲ ὡς λύκοι ἁρπάζουσι καὶ ὡς γαλαῖ κλέπτουσιν· ἄλλοι δὲ ὡς ἀμνάδες καὶ μηκάδες ὑπὸ τῶν ὁμοιοπαθῶν ἐλαύνονται καὶ τοὺς ἀδικοῦντας οὐκ ἀδικοῦσιν. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 1, ἔκδ. Potter, σελ. 4: Ὁ ὠδὸς ὁ ἐμός . . μόνος γοῦν τῶν πώποτε τὰ ἀργαλεώτατα θηρία, τοὺς ἀνθρώπους, ἐτιθάσσευεν· πτηνὰ μέν, τοὺς κούφους αὐτῶν· ἑρπετὰ δέ, τοὺς ἀπατεῶνας· καὶ λέοντας μέν, τοὺς θυμικούς· σύας δέ, τοὺς ἡδονικούς· λύκους δὲ, τοὺς ἁρπακτικούς.— Στρωματεῖς 4, 5, ἔκδ. Potter, σελ. 569: Καὶ θηρία μᾶλλον ἢ ἀνθρώπους, τοὺς παρομοιωθέντας τοῖς κτήνεσιν θηλυμανεῖς ἵππους, ἐπὶ τὰς τῶν πλησίον χρεμετίζοντας. Ὄνος ὑβριστὴς ὁ ἀκόλαστος· λύκος ἄγριος ὁ πλεονεκτικὸς καὶ ὗς ὁ ἀπατεών. — *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 1, 3, 3 καὶ 7: Δύο ταῦτα ἐν τῇ γενέσει ἡμῶν ἐγκαταμέμικται, τὸ σῶμα μὲν κοινὸν πρὸς τὰ ζῶα, ὁ λόγος δὲ καὶ ἡ γνώμη κοινὸν πρὸς τοὺς θεούς· ἄλλοι μὲν ἐπὶ ταύτην ἀποκλίνουσι τὴν συγγένειαν, τὴν ἀτυχῆ καὶ νεκράν . . Διὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταύτην τὴν συγγένειαν, οἱ μὲν ἀποκλίναντες λύκοις ὅμοιοι γινόμεθα, ἄπιστοι καὶ ἐπίβουλοι καὶ βλαβεροί· οἱ δὲ λέουσιν, ἄγριοι καὶ θυμώδεις καὶ ἀνήμεροι· οἱ πλείους δ' ἡμῶν ἀλώπεκες, καὶ ὅσα ἐν ζώοις ἀτυχήματα. Τί γάρ ἐστιν ἄλλο λοίδορος καὶ κακοήθης ἄνθρωπος ἢ ἀλώπηξ, ἤ τι ἄλλο ἀτυχέστερον καὶ ταπεινότερον; — *Αὐτόθ.* 2, 9, 6: Λοιπὸν οἱ μὲν ἡμῶν μεγάλα θηρία εἰσίν, οἱ δὲ θηρίδια κακοήθη καὶ μικρά.— Τὰ αὐτὰ καὶ ὁ Πλάτων καὶ πολλαχοῦ μὲν ἀλλαχοῦ τῶν συγγραμάτων αὐτοῦ (ἴδε τῆς ἐμῆς διατριβῆς «περὶ τῶν τριττῶν εἰδῶν τῆς ψυχῆς παρὰ Πλάτωνι» τὴν ἐν σελίδ. 29 ὑποσελιδ. σημ. 6), ἰδίως δὲ ἐν τῷ Τιμαίῳ 42 B καὶ 90 E - 92 B, ἐν τῷ Φαίδωνι 81 E - 82 C καὶ ἐν τῇ Πολιτείᾳ 620 A - E. Ἔτι καὶ ὁ Ἀρριανὸς ἐν Ἐπικτήτου διατριβαῖς 2, 4, 11. 2, 14, 24. 4, 1, 127. 4, 5, 21· καὶ *Σιμπλίκιος* ἐν Ἐξηγήσεσι εἰς τοῦ Ἐπικτήτου ἐγχειρίδιον, ἔκδοσις Dübner, σελ. 14, στίχ. 22.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ

Ὁ πρακτικὸς βίος τῶν ζώων.

Αἱ ἀρεταὶ καὶ αἱ κακίαι τῶν ζώων αἱ αὐταὶ ταῖς ἀρεταῖς καὶ κακίαις τῶν ἀνθρώπων. Σωφροσύνη καὶ ἀκολασία, ἀνδρία καὶ δειλία, φρόνησις καὶ ἀφροσύνη, δικαιοσύνη καὶ ἀδικία, ἀγαθότης καὶ κακία ἐν τοῖς ζώοις. — Αἱ πράξεις τῶν ζώων καὶ ὁ βίος αὐτῶν ἢ οὐδαμῶς ἢ σμικρόν τι διαφέρουσι τῶν πράξεων καὶ τοῦ βίου τῶν ἀνθρώπων. — Ὁ ἀτομικὸς βίος τῶν ζώων. Ἔξοχα πλεονεκτήματα καὶ θαυμασμοῦ ἄξιαι ἐνέργειαι καὶ πράξεις αὐτῶν. — Αἱ οἰκήσεις τῶν ζώων· αἱ νεοττιαί, αἱ καλιαί, τὰ κηρία, αἱ ὑπόγειοι ἀτραποὶ καὶ περίοδοι καὶ ἑλιγμοί, τὰ ὑφαντικὰ ἔργα αὐτῶν. Πάντα φύσει ἔχει τι θεῖον. — Τὰ ἐλατήρια τῶν πράξεων τῶν ζώων καὶ οἱ τρόποι τῆς ὀντώσεως αὐτῶν. — Ὁ οἰκογενειακὸς βίος τῶν ζώων. ὁ ἄγαμος βίος αὐτῶν. Οἱ γάμοι ἐξ ἔρωτος. Πολυγαμία καὶ μονογαμία. Παρεκτροπαί. Ἀγάπη τῶν συζύγων. — Ἡ πρὸς τὰ ἔκγονα φιλοστοργία. — Ἡ εὐσέβεια τῶν τέκνων πρὸς τοὺς γονεῖς. — Ὁ κοινωνικὸς βίος τῶν ζώων. Ἔριδες καὶ μάχαι, εἰρήνη καὶ ἀγάπη. Συναγελασμός. Συναναστροφαὶ εὐχάριστοι, συνεννοήσεις ἀμοιβαῖαι, κοινοπραγία, ἀλληλοβοήθεια, συνοικισμοί, συμβίωσις. — Ὁ πολιτικὸς βίος τῶν ζώων. Τὰ πολιτικὰ ἤθη καὶ ἔθιμα. — Τὰ πολιτεύματα τῶν ζώων· δημοκρατία, μοναρχία, βασιλεία. Σχέσεις τῶν ἡγεμόνων πρὸς τοὺς ὑπηκόους. Καθήκοντα τῶν ὑπηκόων πρὸς τοὺς ἡγεμόνας.

Ἀφοῦ ὁ ψυχικὸς βίος τῶν ζώων, ποῦ μὲν εἶνε παρεμφερὴς τῷ ἀνθρωπίνῳ, ποῦ δὲ καὶ ὅλως ὅμοιος αὐτῷ, ἔπεται ὅτι καὶ αἱ ἀρεταὶ καὶ αἱ κακίαι τῶν ζώων εἶνε αἱ αὐταὶ ἢ ὅμοιαι ταῖς ἀρεταῖς καὶ κακίαις τῶν ἀνθρώπων.

Ὄντως καὶ ἐν τοῖς ζώοις ὑπάρχουσι σώφρονα καὶ ἀκόλαστα 1),

1) *Ἀριστοτέλης*, Ἠθικὰ Νικομάχεια 1118, α, 24: Ἡ σωφροσύνη καὶ ἡ ἀκολασία . . ὧν καὶ τὰ ζῶα κοινωνεῖ. — *Αἰλιανός*, περὶ ζώων 1, 3: Ἰχθὺς ὁ κέφαλος πεπίστευται τῆς γαστρὸς κρατεῖν καὶ διαιτᾶσθαι πάνυ σωφρόνως. — *Αὐτόθ.* 10, 1: Ὁ ἐλέφας σώφρων. — *Αὐτόθ.* 5, 11: Βίον καθαρὸν ζῇ μέλιττα. ἔστι δὲ καὶ εἰς σωφροσύνην ἀκροτάτη. — *Αὐτόθ.* 3, 5: Περιστερὰ ὀρνίθων σωφρονεστάτη. — *Αὐτόθ.* 3, 44: Σωφρονέστατα ὀρνίθων αἱ φάτται (καὶ αἱ τρυγόνες) ἄδονται. — *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα τῷ λόγῳ χρῆσθαι 989 A: Τὴν Πηνελόπης σωφροσύνην μυρίαι κορῶναι κρώζουσαι γέλωτα θήσονται καὶ καταφρονήσουσιν.—(Ἴδ. καὶ *Πορφύριον*, περὶ ἀποχῆς ἐμψ. 3, 11, ἀλλὰ μάλιστα *Πλούταρχον*, περὶ τοῦ τὰ ἄλογα τῷ λόγῳ κτλ. 988 F - 991 E).— *Αἰλιανός*, περὶ ζώων 3, 16: Ἀκόλαστον τὸ τῶν περδίκων γένος — *Αὐτόθ.*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀνδρεῖα καὶ δειλά 1), φρόνιμα καὶ ἄφρονα 2), δίκαια καὶ ἄδικα 3),

1, 12 : Οἱ κέφαλοι . . λυσσῶσιν εἰς τὰ ἀφροδίσια . . ἵενται κατὰ μίξιν οἰστρούμενοι . . οἷα δήπου νεανίαι ἀκόλαστοι — *αὐτόθ.* 7, 19 : Ἀκόλαστα κυνοκέφαλοι καὶ τράγοι — *αὐτόθ.* 6, 28 : Ἀκολαστότατον τῶν ἰχθύων τὸν πολύποδα εἶναί φασι καὶ ἐς τοσοῦτον λαγνεύειν, ἐς ὅσον αὐτῷ ἡ πᾶσα τοῦ σώματος ῥώμη ἐκρυεῖσα ἀσθενῆ ἀπέφηνε καὶ νήξασθαι μὲν ἥκιστον, τροφὴν δὲ μαστεῦσαι ἀδύνατον, καὶ διὰ ταῦτα ἄλλους τρέφειν. τὰ γοῦν τὰ σμικρὰ τῶν ἰχθυδίων καὶ τὰς καλουμένας καρκινάδας καὶ τοὺς καρκίνους ἐπιφοιτᾶν τε ἅμα καὶ κατεσθίειν αὐτόν. Ἴδε καὶ τὴν ἐν σελ. 65 ὑποσ. σημ. 4.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 588, α, 22 : Ἐν πολλοῖς τῶν ζώων . . ἔνεισιν ἀνδρία καὶ δειλία καὶ φόβοι καὶ θάρρη καὶ θυμοί. — *Πλούταρχος*, Πότερα κτλ. 962 D : Δείγματα πολλὰ ἀνδρίας ἔνεστιν αὐτοῖς. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 488, 6, 16 : Ἀνδρεῖος ὁ λέων — *αὐτόθ.* 610, α, 25 : Τιθασσοὶ καὶ ἀνδρεῖοι ἐλέφαντες. — *Αἰλιανός*, περὶ ζώων 8, 16 : Ἐλέφαντες ἀνδρεῖοι — *αὐτόθ.* 5, 11 : Μέλιτται ἀνδρείας εὖ ἤκουσι καὶ ἄτρεπτοί εἰσιν. — Ἰδ. καὶ *Ἀριστοτέλην*, Φυσιογνωμονικὰ 809, α, 27. Ἠθικὰ Νικομάχεια 1117, α, 4. Περὶ τὰ ζῶα ἱστορ. 629, 6, 33 608, α, 15. καὶ ἰδίως *Πλούταρχον*, περὶ τοῦ τὰ ἄλογα τῷ λόγῳ χρῆσθαι 987 C - 988 F. Ilρδλ. καὶ τὴν ἐν σελ. 73 ὑποσελ. σημ. 1. — *Πλούταρχος*, Πότερα κτλ. 962 B. D : Κακίας πᾶν θηρίον ἀναπέπλησται . . καὶ γὰρ δειλίαν πολλοῖς ἐνορῶμεν ἐνυπάρχουσαν . . δείγματα πολλὰ δειλίας ἀδελτερίας ἔνεστιν αὐτοῖς. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 608, α, 15 : Φαίνονται γὰρ (τὰ ζῶα) ἔχοντά τινα δύναμιν περὶ ἕκαστον τῶν τῆς ψυχῆς παθημάτων φυσικήν, περί τε φρόνησιν καὶ εὐήθειαν καὶ ἀνδρίαν καὶ δειλίαν. — *αὐτόθ.* 488, 6, 15 : Δειλά, οἷον ἔλαφος, δασύπους. — *Αἰλιανός*, περὶ ζώων 9, 41 : Οἱ μῦς οἱ κατὰ τὴν οἰκίαν δειλὸν καὶ ἀσθενὲς ζῶόν εἰσιν. — *αὐτόθ.* 10, 24 : Ὁ κροκόδειλος φύσει δειλός ἐστιν. — *αὐτόθ.* 1, 41 : Δειλότατος ἰχθύων ὁ μελάνουρος. — *Ἀριστοτέλης*, ἔνθ. ἀν. 618, α, 28 : Ὁ κόκκυξ . . τὴν δειλίαν ὑπερβάλλει τοῦτο τὸ ὄρνεον· τίλλεται γὰρ ὑπὸ τῶν μικρῶν ὀρνέων, καὶ φεύγει αὐτά.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 488, 6, 15 : Φρόνιμον οἷον ὁ ἐλέφας. — *αὐτόθ.* 611, α, 15 : Τῶν ἀγρίων καὶ τετραπόδων ἡ ἔλαφος οὐχ ἥκιστα δοκεῖ εἶναι φρόνιμον. — *αὐτόθ.* 614, 6, 18 : Φρόνιμα δὲ πολλὰ καὶ περὶ τὰς γεράνους δοκεῖ συμβαίνειν. — *αὐτόθ.* 608, α, 13 : Φαίνονται γὰρ — τὰ ζῶα — ἔχοντά τινα δύναμιν περὶ ἕκαστον τῶν τῆς ψυχῆς παθημάτων φυσικὴν περί τε φρόνησιν καὶ εὐήθειαν. — Μετὰ τὰ φυσικὰ 980, 6, 23 : Φρόνιμα μὲν ἄνευ τοῦ μανθάνειν, ὅσα μὴ δύναται τῶν ψόφων ἀκούειν, οἷον μέλιττα. — *Πλούταρχος*, Πότερα κτλ. 963 B : Ὁμοίως μηδὲ τὰ θηρία λέγωμεν εἰ νωθρότερον φρονεῖ, μηδὲ φρονεῖν ὅλως. — Περὶ τοῦ τὰ ἄλογα κτλ. 991 E : Ἡ τῶν θηρίων φρόνησις τῶν μὲν ἀχρήστων καὶ ματαίων τεχνῶν οὐδεμίαν χώραν δίδωσι, τὰς δ' ἀναγκαίας αὐτόθεν ἐξ αὐτῆς οἷον ἰθαγενεῖς καὶ συμφύτους ἀναδίδωσιν. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 9 : Λογικὴ ἐν αὐτοῖς ἐστιν ἡ ψυχὴ καὶ οὐκ ἀφῄρηται φρονήσεως. — *Πλούταρχος*, Πότερα κτλ. 963 A : Φύσει πᾶσιν ἡ τοῦ φρονεῖν δύναμις, ἄλλοις δ' ἄλλως κατὰ τὸ μᾶλλον καὶ ἧττον (πάρεστιν).

3) *Ἀριστοτέλης*, Φυσιογνωμονικὰ 809, α, 26 : Νυνὶ δὲ πρῶτον πειράσομαι τῶν ζώων διελέσθαι, ὁποῖα αὐτῶν προσήκει διαλάττειν πρὸς τὸ εἶναι ἀνδρεῖα καὶ δειλὰ καὶ δίκαια καὶ ἄδικα. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 11 : Τὰ δὲ συναγελαστικὰ ὅπως τηρεῖ τὸ δίκαιον τὸ πρὸς ἄλληλα τίς ἀγνοεῖ ; — *Πλούταρχος*, Πότερα κτλ. 967 D : Ἐν τοῖς μύρμηξιν ὥσπερ ἐν σταγόνι καθαρᾷ πάσης ἔνεστιν ἀρετῆς ἔμφασις, « ἔνθ' ἔνι μὲν φιλότης » τὸ κοινωνικόν, ἔνι δ' ἀνδρείας τὸ φιλόπονον· ἔνεστι δὲ πολλὰ μὲν ἐγκρατείας σπέρματα πολλὰ δὲ φρονήσεως καὶ δικαιοσύνης. — *Σέξτος ὁ Ἐμπειρικός*,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀγαθὰ καὶ κακά 1), ὅπως καὶ ἐν τοῖς ἀνθρώποις. Καὶ ἐν τοῖς ζώοις τουτέστιν ὑπάρχουσιν ἀκάθαρτα καὶ καθάρια 2), ἀκρατῆ καὶ ἐγ-

Πυρρ. ὑποτυπ. Α 67, ἔκδ. Bekker, σελ. 16, στίχ. 28: Ὁ κύων ἐστὶν οὐδ' ἀρετῆς ἐκτός· τῆς γέ τοι δικαιοσύνης οὗσης τοῦ κατ' ἀξίαν ἀποδοτικῆς ἑκάστῳ ὁ κύων τοὺς μὲν οἰκείους τε καὶ εὖ ποιοῦντας σαίνων καὶ φρουρῶν τοὺς δὲ ἀνοικείους καὶ ἀδικοῦντας ἀμυνόμενος οὐκ ἔξω ἂν εἴη τῆς δικαιοσύνης. — *Αἰλιανός*, περὶ ζώων 8, 17: Οἱ ἐλέφαντες δίκαιοι. — *αὐτόθ.* 11, 30: Ὁ μέροψ ὁ ὄρνις .. δοκεῖ δικαιότερος εἶναι τῶν πελαργῶν. — *αὐτόθ.* 5, 39: Ἦν δὲ ἄρα δίκαιος ὁ λέων .. τῷ γοῦν ἐπιόντι ἀνθίσταται .. τόν γε μὴν βαλόντα μέν, οὐ τυχόντα δὲ τῇ ἴσῃ ἀμυνούμενος φοβεῖ μέν, λυπεῖ δὲ οὐδὲ ἕν. — *Πλούταρχος*, Πότερα κτλ. 962 C: Δειλίαν πολλοῖς καὶ ἀκολασίαν ἀδικίαν τε καὶ κακόνοιαν ὁρῶμεν ἐνυπάρχουσαν· καὶ παρακατιὼν 962 D: Δείγματα πολλὰ ἀδικίας δειλίας ἀβελτερίας ἔνεστιν τοῖς ζώοις. — *Εὐσέβιος*, Προπαρασκευὴ Εὐαγγελική 6, 10, 3. Σκορπίος .. τοὺς μὴ ἀδικήσαντας ἀδικεῖ, κέντρῳ ἰοβόλῳ πλήσσων· καὶ ἡ αὐτὴ κακία πάντων σκορπίων. — *Σχολιαστὴς Ἀριστοφάνους* ἐν Ἱππεῦσιν 1354: Οἱ δὲ ἱπποπόταμοι ζῶων ἀδικώτατον. Τὸ αὐτὸ οἱ Παροιμιογρ. Ἀποστόλιος 2, 100. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 183: Hat das Thier sittliche Grundsätse; Wir wissen aus der Beobachtung unserer Hausthiere, dass manche derselben, wenn sie Unrecht thun, davon ein klares Rewusstsein haben (ἀντιρρήσεις καὶ συνηγορίαι περὶ τούτου *αὐτόθ.* σελ. 183 κέξ.).

1) *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ, 988 Α: Δειλοῦ προύτίμησεν ἀνδρὸς ἵππον ἀγαθήν καὶ φιλόνικον. — *Αἰλιανός*, περὶ ζώων 11, 20: (κυνῶν ἀγαθῶν πρᾶξις ἀγαθή) — *Πλούταρχος*, Πότερα κτλ. 962 Β: Κακίας .. πᾶν θηρίον ἀναπέπλησται. — *Σιμπλίκιος*, Ἐξήγ. εἰς Ἐπικτήτου Ἐγχειρίδιον, κεφ. 27, ἔκδ. Dübner, σελ. 77, στίχ. 35: Αἱ δὲ τῶν ἀλόγων ζώων ψυχαί, μέσαι οὖσαι τῶν τε ἀνθρωπίνων καὶ τῶν ἐν τοῖς φυτοῖς κατερριζωμένων ψυχῶν, κατὰ μὲν τὸ σωματοειδὲς αὐτῶν ὅμοιον ἔχουσι τοῖς σώμασι τὸ κακόν· καθόσον δὲ ὄρεξιν ἔχουσί τινα καὶ ὁρμήν, τὸ ἐν αὐτοῖς κακὸν τῷ τῶν ἀνθρωπίνων ψυχῶν κακῷ ἔοικεν. — *Αἰλιανός*, 4, 14: Κακὸν θηρίον ἡ γαλῆ, κακὸν δὲ καὶ ὁ ὄφις. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 488, 6, 20: Πανοῦργα καὶ κακοῦργα οἷον ἀλώπηξ. — *αὐτόθ.* 608, α, 33: Ἀθυμότερα τὰ θήλεα πάντα τῶν ἀρρένων πλὴν ἄρκτου καὶ παρδάλεως· τούτων δ' ἡ θήλεια δοκεῖ εἶναι ἀνδρειοτέρα. ἐν δὲ τοῖς ἄλλοις γένεσι τὰ θήλεα μαλακώτερα καὶ κακουργότερα. — *αὐτόθ.* 612, 6, 12: Ἡ δ' ἔκτις ἔστι .. τοῦ ἤθους τὴν κακουργίαν ὅμοιον γαλῇ. — *Ξενοφῶν*, περὶ ἱππικῆς 3, 8: Ἵπποι .. κακοί. — *Ἀρριανός*, Κυνηγετικὸς 7, 4: Κακαὶ δὲ κύνες ὅσαι λυθεῖσαι τοῦ δεσμοῦ ἐν χωρίῳ οὐκ ἐπανίασιν ἐπὶ τὸν ἄγοντα ἀνακαλούμεναι κτλ.

2) *Πλούταρχος*, πότερα κτλ. 962 F. Ὅνοις δὲ καὶ προβάτοις Ἀντίπατρος ἐγκαλῶν ὀλιγωρίαν καθαριότητος οὐκ οἶδ' ὅπως παρεῖδε τὰς λύγκας καὶ τὰς χελιδόνας. ὧν αἱ μὲν ἐκτοπίζουσι παντάπασι κρύπτουσαι καὶ ἀφανίζουσαι τὸ λυγγούριον, αἱ δὲ χελιδόνες ἔξω στρεφομένους διδάσκουσι τοὺς νεοττοὺς ἀφιέναι τὸ περίττωμα. — *Ἀριστοτέλης* περὶ τὰ ζῶα ἱστορ. 626, α, 23: Τὰς ἀποθνησκούσας τῶν μελιττῶν ἐκκομίζουσιν ἔξω (αἱ ἐπιζῶσαι)· καὶ τἆλλα δὲ καθαριώτατόν ἐστι τὸ ζῶον· διὸ καὶ τὸ περίττωμα πολλάκις ἀφιᾶσιν ἀποπετόμεναι, διὰ τὸ δυσῶδες εἶναι. — *Αἰλιανός*, περὶ ζώων 1, 10: (ἐν ταῖς μελίσσαις τινές) αὐτῶν ἔχουσιν ἐκεῖνο ἔργον, τὰς ἀποθνησκούσας τῶν μελιττῶν ἔξω φέρουσι· δεῖ γὰρ αὐταῖς καθαρὰ εἶναι τὰ κηρία καὶ οὐκ ἀνέχονται νεκρὰν ἔσω μέλιτταν. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 10: Γεννῆσαν ἕκαστον (ζῶον) ἐκκαθαίρει τὸ γεννώμενον καὶ ἑαυτό. — *Ἀρριανός*, Ἐπικτήτου διατριβαί, 4, 10, 2.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κρατῆ 1), ὅπως καὶ ἐν τοῖς ἀνθρώποις. Καὶ ἐν τοῖς ζώοις ὑπάρχουσιν εὐθήμονα καὶ τακτικά 2), ἀνυπόμονα καὶ ὑπομονητικά 3), ἐπίμονα 4)

Ὅταν οὖν ἄλλο τι ζῶον ἴδωμεν ἀποκαθαῖρον ἑαυτό, ἐπιλέγειν εἰώθαμεν θαυμάζοντες ὅτι ὡς ἄνθρωπος. — Ἰδ. καὶ *Αἰλιαν.* 6, 27 καὶ Ἀρριαν. ἔνθ. ἀν. 4, 11, 31.

1) *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 14: Πολλάκις ἐπιστάμενα τὰ δελέατα ὅτι ἐπίβουλά ἐστι δι' ἀκρασίαν πρόσεισιν.. τὰ δὲ ὑπὸ λιχνείας, εἰδότα ὅτι ἁλώσεται οὐ χεῖρόν ἢ οἱ Ὀδυσσέως ἑταῖροι περιεῖδε φαγόντα ἀποθανεῖν. — *Αἰλιανός*, περὶ ζώων 3, 5: Πέρδικες ἀκράτορές εἰσιν Ἀφροδίτης. — *Πλούταρχος*, Πότερα κτλ. 966 B. 967 D. (Ἐν τοῖς ζώοις) ἐμφάσεις ἀρετῆς, οἷον ἀνδρείας κοινωνίας ἐγκρατείας μεγαλοφροσύνης.. (ἐν τοῖς μύρμυξιν) ἔνεστι πολλὰ μὲν ἐγκρατείας σπέρματα πολλὰ δὲ φρονήσεως καὶ δικαιοσύνης. — *αὐτόθ.* περὶ τῆς εἰς τὰ ἔγκονα φιλοστοργίας 494 A: Αἰσθόμενον (τὸ ζῶον) ὅτι κύει καὶ πεπλήρωται κοσμίως ἅπεισι καὶ προνοεῖ περὶ τὴν κύησιν καὶ σωτηρίαν τοῦ ἀποτεχθέντος· ἀξίως δ' οὐκ ἔστιν εἰπεῖν τὰ δρώμενα πλὴν ὅτι γίγνεται ἕκαστον αὐτῶν ἐν τῷ φιλοστόργῳ, ταῖς προνοίαις, ταῖς καρτερίαις, ταῖς ἐγκρατείαις.—Περὶ τοῦ τὰ ἄλογα κτλ. 988 F. Οὐδενὸς τῶν θηρίων διαφέρεις (Ὀδυσσεῦ) πρὸς ἐγκράτειαν· οὐδὲ γὰρ ἐκεῖνα τοῖς κρείττοσιν ἐπιθυμεῖ πλησιάζειν, ἀλλὰ καὶ τὰς ἡδονὰς καὶ τοὺς ἔρωτας πρὸς τὰ ὁμόφυλα ποιεῖται. — *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 3, 14. Οὕτω δ' ἔστι λογιστικὰ τὰ ζῶα ὧν δρᾷ ὥστε.. πολλάκις κρατήσαντος τοῦ λογισμοῦ τὸ πάθος ἀπέστη.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 616, 6, 22. Ἡ δὲ καλουμένη σίττη τὸ μὲν ἦθος μάχιμος, τὴν δὲ διάνοιαν εὔθικτος καὶ εὐθήμων καὶ εὐβίοτος. — *αὐτόθ.* 618, 6, 28: Ὁ μελανάετος.. ἔστιν ὠκυδόλος καὶ εὐθήμων καὶ ἄφθονος καὶ ἄφοβος καὶ μάχιμος καὶ εὔφημος. — *Πορφύριος*, ἔνθ. ἀν. 3, 10. Παρατηρήσας δ' ἂν τις κατίδοι καὶ σὺν τάξει ἰόντα πάντα. — *Αἰλιανός*, ἔνθ. ἀν. 9, 53. Ἁλῶνται δ' ἄρα ἰχθῦς καὶ πλανῶνται οἱ μὲν ἀθρόοι, ὥσπερ οὖν ἀγέλαι θρεμμάτων ἢ τάξεις ὁπλιτῶν ἰοῦσαι κατ' ἴλας καὶ φάλαγγας, οἳ δὲ ἐν κόσμῳ κατὰ στοῖχον ἔρχονται, οἳ δὲ φαίης ἂν αὐτοὺς εἶναι λόχους.. ἤδη δὲ νήχονται καὶ κατὰ ζεῦγός τινες. — *αὐτόθ.* 5, 11: Αἱ μέλιτται.. ἕως μὲν οὖν περίεστιν ὁ βασιλεὺς εὐθυνεῖται τὸ σμῆνος καὶ ἀταξία πᾶσα ἠφανίσθη.. ἐπειδὰν δὲ ὁ βασιλεὺς ἀπόλλυται, ἀταξίας τε καὶ ἀναρχίας μεστὰ πάντα. Πρβλ. καὶ Αἰλιαν. ἔνθ. ἀν. 6, 41.

3) *Δίων ὁ Χρυσόστομος*, λόγος 12, ἔκδ. Reisk. σελ. 380. ἔκδ. Dindorf, τόμ. 1, σελ. 218: Πρὸς ἅπαντα δὲ ταῦτα ἀμηχάνως ἔχων ἀφικόμην εἰς ἄνδρας οὐ νωθροὺς οὐδὲ σχολὴν ἄγοντας ἀκροᾶσθαι λόγων, ἀλλὰ μετεώρους καὶ ἀγωνιῶντας καθάπερ ἵππους ἀγωνιστὰς ἐπὶ τῶν ὑσπλήγων, οὐκ ἀνεχομένους τὸν χρόνον, ὑπὸ σπουδῆς δὲ καὶ προθυμίας κόπτοντας τὸ ἔδαφος ταῖς ὁπλαῖς. — *Αἰλιανός*, ἔνθ. ἀν. 4, 47: Ὁ ἐλέφας ἔστι.. τλήμων ὑπομεῖναι τὴν ἐν τῷ μανθάνειν βάσανον, ὅταν ἁλῷ. — *αὐτόθ.* 4, 47: Χλωρίων.. ἔστι τλήμων ὑπομεῖναι τὴν ἐν τῷ μανθάνειν βάσανον. Ἰδ. προσέτι *Ἀριστοτέλ.* περὶ τὰ ζῶα ἱστορ. 626, 6, 10. — *Αἰλιανόν*, ἔνθ. ἀν. 5, 11 περὶ τὸ τέλ. 5, 39. 54. 56.

4) *Ὁμηρος*, Ἰλ. Κ. 360: Ὡς δ' ὅτε καρχαρόδοντε δύο κύνε, εἰδότε θήρης, | ἢ κεμάδα ἠὲ λαγωὸν ἐπείγετον ἐμμενὲς αἰεί | χῶρον ἀν' ὑλήενθ', ὁ δέ τε προθέῃσι μεμηκώς, | ὣς τὸν κτλ. — *αὐτόθ.* Χ 189: Ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται, | ὄρσας ἐξ εὐνῆς, διὰ τ' ἄγκεα καὶ διὰ βήσσας· | τὸν δ' εἴπερ λάθῃσι καταπτήξας ὑπὸ θάμνῳ | ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ· | ὣς Ἕκτωρ κτλ. — *αὐτόθ.* Λ. 558. Ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν ἐδιήσατο παῖδας | νωθής, ᾧ δὴ πολλὰ περὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καί καρτερικά 1), ὅπως καὶ ἐν τοῖς ἀνθρώποις. Καὶ ἐν τοῖς ζώοις ὑπάρχουσι δειλά, ψοφοδεᾶ, θρασέα, ἄφοβα, εὔψυχα, εὔτολμα 2), ὅπως καὶ ἐν τοῖς ἀνθρώποις. Καὶ ἐν τοῖς ζώοις ὑπάρχουσιν ἄλκιμα 3),

ῥόπαλ' ἀμφὶς ἐάγῃ, | κείρει τ' εἰσελθὼν βαθὺ λήϊον· οἱ δέ τε παῖδες | τύπτουσιν ῥοπάλοισι· βίη δέ τε νηπίη αὐτῶν· σπουδῇ τ' ἐξήλασσαν, ἐπεὶ τ' ἐκορέσσατο φορβῆς· | ὣς τότ' ἔπειτ' κτλ.

1) *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ. 987 D. Τὰ θηρία φύσει φεύγοντα τὸ κρατεῖσθαι μέχρι τῶν ἐσχάτων ἐγκαρτερεῖ καὶ διαφυλάττει τὸ ἀήττητον· οὐ γὰρ ἡττᾶται κρατούμενα τοῖς σώμασιν οὐδ' ἀπαγορεύει ταῖς ψυχαῖς ἀλλὰ ταῖς μάχαις ἐναποθνήσκει. — *Αἰλιανός*, περὶ ζώων 11, 31. Ἀνὴρ ἱππεύς, Ληναῖος τὸ ὄνομα, ἵππον εἶχεν ἰδεῖν μὲν ὡραῖον, δραμεῖν δὲ ὤκιστον, τὸν δὲ θυμὸν ἀνδρειότατον . . καρτερικὸν δὲ ἐν αὐτῷ τῷ πολέμῳ. — *αὐτόθ.* 8, 1. Ὁ τοίνυν Ἰνδὸς ὁ τὴν θέαν τῷ βασιλεῖ τήνδε παρέχων κάλλιστα εἰδὼς τοῦ κυνὸς τὸ καρτερικόν, προσέταξέν οἱ τὴν οὐρὰν ἀποκοπῆναι. καὶ ἡ μὲν ἀπεκόπτετο, ὅ δὲ οὐκ ἐφρόντιζε. προσέταξεν οὖν ὁ Ἰνδὸς καὶ τῶν σκελῶν ἓν ἀποκόψαι, καὶ ἀπεκόπη· ὁ δὲ ὡς ἐξ ἀρχῆς ἐνέφυ εἶχετο καὶ οὐκ ἀνίει, ὥσπερ οὖν ἀλλοτρίου κοπτομένου σκέλους καὶ ὀθνείου, καὶ ἄλλο ἀπεκόπτετο . . καὶ τρίτον ἕτερον . . καὶ τὸ τέταρτον ἐπ' ἐκείνοις καὶ ἦν ἐγκρατὴς τοῦ δήγματος ἔτι. καὶ τελευτῶντες τῆς κεφαλῆς τὸ σῶμα ἀφεῖλον· ὀδόντες δὲ ἐκείνῳ ἤρτηντο τῆς ἐξ ἀρχῆς ἀντιλαβῆς, καὶ ἡ κεφαλὴ ᾔωρεῖτο μετέωρος ἐκ τοῦ λέοντος, αὐτοῦ μέντοι τοῦ δακόντος οὐκέτι ὄντος. — *Αὐτόθ.* 5, 54. Τλημόνως δ' ἔχειν καὶ καρτερῶς καὶ γενικῶς ἡ φύσις κελεύει τὴν πάρδαλιν ὑπὲρ τοῦ τῶν πολεμίων ἐνυβρισάντων περιγίνεσθαι καρτερικώτατα ἐναθλοῦσαν. Ἴδε καὶ *Ὁμηρον* Μ 41. Υ 164. Φ 573.

2) *Θεόφραστος*, ἀπ. 189: Ὁ χαμαιλέων φύσει ψοφοδεὴς καὶ δειλός. — *Πλούταρχος*, Πότερα κτλ. 978 Ε. Μεταβάλλει ὁ χαμαιλέων οὐδέν τι μηχανώμενος οὐδὲ καταχρύπτων ἑαυτὸν ἀλλ' ὑπὸ δέους ἄλλως τρέπεται, φύσει ψοφοδεὴς ὢν καὶ δειλός. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 616, 6, 28: Ἔστι δέ τι ὀρνίθιον μικρόν, ὃ καλεῖται κέρθιος οὗτος τὸ μὲν ἦθος θρασύς . . τὴν δὲ διάνοιαν εὐδίοτος. — *Ξενοφῶν*, Κυνηγετικὸς 3, 7: Ὅσαι δὲ τὰ τῶν ἄλλων κυνῶν εὑρήματα ἐν ταῖς ἰχνείαις καὶ μεταδρομαῖς προθέουσι θαμινὰ σκοποῦσαι, ἑαυταῖς ἀπίστως ἔχουσι· θρασεῖαι δ' αἱ οὐκ ἐῶσι τῶν συνεργῶν τὰς σοφὰς εἰς τὸ πρόσθεν προϊέναι, ἀλλ' ἀνείργουσι θορυβοῦσαι. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 618, 6, 30: Ὁ μελανάετος ἄφοβος καὶ μάχιμος. — *Ἀριστοτέλης*, Φυσιογνωμονικὰ 807, α, 17. Τῶν ζώων τὰ μὲν ἀνδρεῖα βαρύφωνά ἐστι, τὰ δὲ δειλὰ ὀξύφωνα, λέων μὲν καὶ ταῦρος καὶ κύων ὑλακτικὸς καὶ τῶν ἀλεκτρυόνων οἱ εὔψυχοι βαρύφωνοι φθέγγονται, ἔλαφος δὲ καὶ λαγὼς ὀξύφωνά ἐστιν. — *Ἀρριανός*, Κυνηγετικὸς 5, 1. Κύων «ψυχος. — *Αἰλιανός*, περὶ ζώων, 2, 51: Ὁ κόραξ οὐκ ἂν αὐτὸν ἐς τόλμαν ἀθυμότερον εἴποις τῶν ἀετῶν· ὁμόσε γὰρ καὶ αὐτὸς τοῖς ζώοις χωρεῖ, οὐ μέντοι τοῖς βραχυτάτοις ἀλλ' ὄνῳ τε καὶ ταύρῳ . . μάχεται δὲ καὶ ὄρνιθι ἰσχυρῷ, τῷ καλουμένῳ αἰσάλωνι. — *Πίνδαρος*, Ἰσθμιονικῶν 4, 45: Τόλμα γὰρ εἰκὼς | θυμὸν ἐριθρεμετᾶν θηρῶν λεόντων | ἐν πόνῳ.

3) *Αἰλιανός*, περὶ ζώων 4, 19. 8, 1: Κύνες Ἰνδικοὶ θηρία καὶ οἷδε εἰσὶ καὶ ἀλκὴν ἄλκιμα καὶ τὴν ψυχὴν θυμοειδέστατα . . Ἀλεξάνδρῳ γοῦν τῷ Φιλίππῳ πεῖραν ἔδοσαν οἱ Ἰνδοὶ τῆς τῶν κυνῶν τῶνδε ἀλκῆς. — *αὐτόθ.* 17, 24: Κύκνοι εἰσὶ καὶ ἐς ῥώμην ἄλκιμοι, καὶ θαρροῦσιν αὐτῇ . . ραδίως οὐν καὶ τῶν ἀετῶν περιγίνονται, ὅτον ἐκεῖνοι τολμήσωσιν ἐπιθέσθαι αὐτοῖς. — *Σέξτος ὁ Ἐμπειρικός*, Πυρωνείων ὑποτυπώ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μένους πλήρη 1), δυσέκπληκτα ὑπὸ φόβου 2), εὐθαρσῆ 3), μεγαλόφρονα 4), ὁρμητικά 5), ἄτρεπτα 6), φιλόπονα, ἐθελουργά, ἐθελόσεων A. 68, ἔκδ. Bekker σελ. 17, στίχ. 1: Καὶ ἄλκιμον δὲ ὄντα ὁρῶμεν ἐν ταῖς ἀμύναις τὸν κύνα καὶ συνετόν. — *Ὁμηρος*, Ἰλ. Δ. 253: Ἰδομενεύς.. συὶ εἴκελος ἀλκὴν — *αὐτόθ.* Π 264. Σφῆκες.. ἄλκιμον ἦτορ ἔχοντες.

1) *Ξενοφῶν*, Κυνηγετ. 6, 14: Περαινομένου δὲ τοῦ ἴχνους διαλιπόντα μὴ πολὺ καὶ τὰς ἄλλας — τὰς κύνας — ἀφιέναι κατὰ μίαν, καὶ ἔπεσθαι μὴ ἐγκείμενον, ὀνομαστὶ ἑκάστην προσαγορεύοντα, μὴ πολλά, ἵνα μὴ παροξύνωνται πρὸ τοῦ καιροῦ. αἱ δ' ὑπὸ χαρᾶς καὶ μένους προϊᾶσιν ἐξίλλουσαι τὰ ἴχνη κτλ. — *Ἀρριανός*, Κυνηγετ. 26, 1: Ἄρρενα δὲ — κύνα — μὴ πρόσθεν ἢ διέτη γενόμενον ἐξάγειν ἐπὶ θήραν.. καὶ ὁ κίνδυνος οὐ σμικρός, ἀλλὰ πολλοὶ ἤδη πρὶν τελειωθῆναι ἀγωνισάμενοι πρὸ ὥρας ἀπώλοντο, καὶ μάλιστα δὴ ὅσοι γενναιότατοι· ὑπὸ γὰρ μένους τοσοῦτον ὅσον δύνανται θέουσιν.

2) *Ὁμηρος*, Ἰλ. Ν 471: Ἀλλ' ἔμεν' ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθώς, | ὅς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν | χώρῳ ἐν οἰοπόλῳ, ῥρίσσει δέ τε νῶτον ὕπερθεν· | ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας | θήγει ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας· | ὣς μένεν Ἰδομενεὺς κτλ. — *αὐτόθ.* Λ 414: Ὡς δ' ὅτε κάπριον ἀμφὶ κύνες θαλεροί τ' αἰζηοί | σεύωνται· ὁ δὲ εἶσι βαθείης ἐκ ξυλόχοιο | θήγων λευκὸν ὀδόντα μετὰ γναμπτῇσι γένυσσιν, | ἀμφὶ δέ τ' αἰσονται, ὑπαὶ δέ τε κόμπος ὀδόντων | γίγνεται.. ὣς ῥα κτλ.

3) *Ὁμηρος*, Ἰλ. Μ. 145: Ἐκ δὲ τὼ αἰξαντε πυλάων πρόσθεν μαχέσθην, | ἀγροτέροισι σύεσσιν ἐοικότε, τώ τ' ἐν ὄρεσσιν | ἀνδρῶν ἠδὲ κυνῶν δέχαται κολοσυρτὸν ἰόντα, | δοχμὼ τ' ἀΐσσοντε περὶ σφίσιν ἄγνυτον ὕλην, | πρυμνὴν ἐκτάμνοντες, ὑπαί δέ τε κόμπος ὀδόντων | γίγνεται, εἰς ὅ κε τίς τε βαλὼν ἐκ θυμὸν ἕληται. — *αὐτόθ.* Ρ 281: Αἴας.. ἴθυσεν δὲ διὰ προμάχων συὶ εἴκελος ἀλκὴν | καπρίῳ, ὅς τ' ἐν ὄρεσσι κύνας θαλερούς τ' αἰζηοὺς ῥηιδίως ἐκέδασσεν, ἑλιξάμενος διὰ βήσσας.

4) *Ὁμηρος*, Ἰλ. Υ 164: Πυλείδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο, λέων ὡς | σίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάασιν | ἀγρόμενοι, πᾶς δῆμος· ὁ δὲ πρῶτον μὲν ἀτίζων | ἔρχεται, ἀλλ' ὅτε κέν τις ἀρηιθόων αἰζηῶν | δουρὶ βάλῃ, ἐάλῃ τε χανών, περί τε ἄφρὸς ὀδόντας | γίγνεται, ἔν δέ τέ οἱ κραδίῃ στένει ἄλκιμον ἦτορ, | οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν | μαστίεται, ἐὲ δὲ αὐτὸν ἐποτρύνει μαχέσασθαι, | γλαυκιόων δ' ἰθὺς φέρεται μένει, ἤν τινα πέφνῃ | ἀνδρῶν, ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ. | — *αὐτόθ.* Μ 41: Ὡς δ' ὅτ' ἄν ἔν τε κύνεσσι καὶ ἀνδράσι θηρευτῆσιν | κάπριος ἠὲ λέων στρέφεται σθένεϊ βλεμεαίνων· | οἱ δέ τε πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες | ἀντίον ἵστανται, καὶ ἀκοντίζουσι θαμειὰς | αἰχμὰς ἐκ χειρῶν· τοῦ δ' οὔποτε κυδάλιμον κῆρ | ταρβεῖ οὐδὲ φοβεῖται, ἀγηνορίη δέ μιν ἔκτα· | ταρφέα τε στρέφεται στίχας ἀνδρῶν πειρητίζων· | ὅππη τ' ἰθύσῃ, τῇ τ' εἴκουσι στίχες ἀνδρῶν· | ὣς Ἕκτωρ κτλ.

5) *Πλάτων*, Εὐθύδημος 294 D: Ὥσπερ οἱ κάπροι οἱ πρὸς τὴν πληγὴν ὁμόσε ὠθούμενοι.

6) *Ὁμηρος*, Ἰλ. Φ 571: Ὡς εἰπὼν — ὁ Ἀγήνωρ — Ἀχιλῆα ἀλεὶς μένεν, ἐν δὲ οἱ ἦτορ | ἄλκιμον ὡρμᾶτο πτολεμίζειν ἠδὲ μάχεσθαι. | ἠύτε πάρδαλις εἶσι βαθείης ἐκ ξυλόχοιο | ἀνδρὸς θηρητῆρος ἐναντίον, οὐδέ τι θυμῷ | ταρβεῖ οὐδὲ φοβεῖται, ἐπεί κεν ὀλαγμὸν ἀκούσῃ· | εἰ περ γὰρ φθάμενός μιν ἢ οὐτάσῃ ἠέ βάλῃσιν, | ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει | ἀλκῆς, πρὶν γ' ἠέ ξυμβλήμεναι ἠέ δαμῆναι. | Τοιαῦτα δὲ ἀνδρείας τοῦ λέοντος δείγματα ἴδ. προσέτι ἐν Ἰλιάδ. Ε 136. Λ 546. Π 657.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πονα καὶ δραστήρια 1), ὅπως καὶ ἐν τοῖς ἀνθρώποις. Καὶ ἐν τοῖς ζώοις ὑπάρχουσί τινα συνετὰ 2), καί τινα μάλιστα ἐν οὐκ ὀλίγοις—θαυμαστὸν εἰπεῖν — καὶ τῶν ἀνθρώπων πολὺ συνετώτερα 3). Καὶ ἐν τοῖς

1) *Πλούταρχος*, Πότερα κτλ. 967 D: (ἐν τῷ μύρμηκι) ἔνι ἀνδρείας εἰκὼν τὸ φιλόπονον. — *Ἀρριανός*, Κυνηγετ. 3, 6: Τῶν Κρητικῶν αἱ κύνες αἱ διάπονοι ἀπὸ τοῦ φιλοπονεῖν (καλοῦνται). — *αὐτόθ.* 5, 1: Ἀνέθρεψα ἐγὼ κύνα χαροπὴν οἵαν χαροπωτάτην καὶ αὕτη ὠκεῖά τε ἦν καὶ φιλόπονος καὶ εὔψυχος. — *Αἰλιανός*, περὶ ζώων 7, 13: Ἡμίονος φιλόπονος.—*Ὅμηρος*, Ἰλιὰς Ρ 742: Οἱ δ', ὡς θ' ἡμίονοι κρατερὸν μένος ἀμφιβαλόντες | ἕλκωσ' ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπὸν | ἢ δοκὸν ἠὲ δόρυ μέγα νήιον· ἐν δέ τε θυμὸς | τείρεθ' ὁμοῦ καμάτῳ τε καὶ ἱδρῷ σπευδόντεσσιν· | ὣς οἵ γε κτλ. — *Πλούταρχος*, ἔνθ. ἀνωτ. 983 C: Ἡ δ' ἀλκυὼν ἓν ὄργανον ἁπλοῦν ἐν ὅπλον ἐν ἐργαλεῖον ἔχουσα, τὸ στόμα, καὶ μηδὲν ἄλλο τοῦ φιλοπόνου καὶ φιλοτέχνου συνεργόν, οἷα μηχανᾶται καὶ δημιουργεῖ. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 608, α, 31: Διαφέρουσιν (αἱ κύνες) ἀνδρίᾳ καὶ φιλοπονίᾳ. — *Αἰλιανός*, περὶ ζώων 4, 43: Τοῖς μύρμηξι τὸ ἐθελουργὸν καὶ ἐθελόπονον πάρεστιν ἀπροφασίστως. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα κτλ. 619, 6, 19: Ὁ ἀετός . . φύσει ἐστὶν . . ὀξυλαβής.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 588, α, 23: (Ἔνεισιν ἐν πολλοῖς αὐτῶν) καὶ θυμοὶ καὶ πανουργίαι καὶ τῆς περὶ τὴν διάνοιαν συνέσεως ὁμοιότητες ταῖς τῶν ἀνθρώπων . . ὡς ἐν ἀνθρώπῳ τέχνη καὶ σοφία καὶ σύνεσις, οὕτως ἐνίοις τῶν ζώων ἐστί τις ἑτέρα τοιαύτη φυσικὴ δύναμις. — *Αἰλιανός*, περὶ ζώων 11, 31: Εἰ γὰρ καὶ ἀμοιρεῖ λόγου (τὰ ζῶα), ἀλλὰ γοῦν συνέσεως καὶ τῆς καθ' ἑαυτὰ σοφίας οὐκ ἀτυχεῖ. — *Πλούταρχος*, Πότερα κτλ. 975 E: (Ἐν ταῖς γενέσεσι καὶ ταῖς τροφαῖς, ἐν ταῖς ἐπιθέσεσί τε καὶ φυλακαῖς ἀλλήλων) οὐκ ὀλίγα καὶ συνέσεως ἔργα καὶ μνήμης καὶ κοινωνίας τῶν ζώων. — *αὐτόθ.* 970 E: Τῶν ζώων ἥ τε πανουργία καὶ τὸ συνετὸν οὐκ ἀπηλλάκται τοῦ θυμοειδοῦς καὶ τοῦ ἀνδρώδους. — *αὐτόθ.* 977 E: Πολλὰ δείκνυσι τῶν ἑνάλων μηδὲν ἀπολειπόμενα τῷ κοινωνικῷ καὶ συνετῷ τοῦ σοφωτάτου τῶν χερσαίων. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 630, 6, 18: Πάντων τιθασσότατον καὶ ἡμερώτατον τῶν ἀγρίων ἐστὶν ὁ ἐλέφας . . ἔστι δὲ καὶ εὐαίσθητον καὶ τῇ συνέσει τῇ ἄλλῃ ὑπερβάλλον — (τὸ αὐτὸ καὶ ὁ Πλούταρχος ἔνθ. ἀν. 972 B) — Περὶ ζώων μορίων 650, 6, 24: Καὶ τῶν ἀναίμων ἔνια συνετωτέραν ἔχει τὴν ψυχὴν ἐνίων ἐναίμων . . οἷον ἡ μέλιττα καὶ τὸ γένος τὸ τῶν μυρμήκων. — *Αἰλιανός*, περὶ ζώων 11, 12. καὶ 5, 39: Οἱ δελφῖνες συνετοὶ . . συνετὸς ὁ λέων. — *Σέξτος ὁ Ἐμπειρικός*, Πυρρ. ὑποτυπ. Α. 68, ἔκδ. Bekker, σελ. 17, στίχ. 1: Καὶ ἄλκιμον δὲ (τὸν κύνα) ὄντα ὁρῶμεν ἐν ταῖς ἀμύναις καὶ συνετόν. — *Πλούταρχος*, ἔνθ. ἀν. 977 C: Συνετὰ . . ὥσπερ καὶ σκάροι. — *αὐτόθ.* 968 A: Ὑπερβάλλει πᾶσαν ἐπίνοιαν συνέσεως ἡ (τῶν μυρμήκων) τοῦ πυροῦ τῆς βλαστήσεως προκατάληψις. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 6: Ὁ μὲν εὐγνώμων . . μεταδίδωσι συνέσεως τοῖς ζώοις, ὁ δὲ ἀγνώμων καὶ ἀνιστόρητος αὐτῶν φέρεται συνεργῶν αὐτοῦ τῇ εἰς αὐτὰ πλεονεξίᾳ.

3) *Πολύβιος*, 5, 75, 2: Καί μοι δοκεῖ πάντων τῶν ζώων εὐπαραλογιστότατον ὑπάρχειν ἄνθρωπος, δοκοῦν εἶναι πανουργότατον. — *αὐτόθ.* 18, 15, 15: Τὸ τῶν ἀνθρώπων γένος, δοκοῦν πανουργότατον εἶναι τῶν ζώων πολὺν ἔχει λόγον τοῦ φαυλότατον ὑπάρχειν. τὰ μὲν γὰρ ἄλλα ζῶα, ταῖς τοῦ σώματος ἐπιθυμίαις αὐταῖς δουλεύοντα, διὰ μόνας ταύτας σφάλλεται· τὸ δὲ τῶν ἀνθρώπων γένος, καὶ πρὸς δεδοξοποιημένον, οὐχ ἧττον διὰ τὴν ἀλογιστίαν ἢ διὰ τὴν φύσιν ἁμαρτάνει. — *αὐτόθ.* 15, 21, 5: Πάντες ἄνθρωποι προφανῶς ἐμπίπτοντες (εἰς τὰς αὐτὰς ἀτυχίας, ἐξ ὧν ἡ κακοπολιτεία

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζώοις ὑπάρχουσιν οὐκ ὀλίγα τὴν διάνοιαν εὐμήχανα, εὔθικτα, εὔστοχα, προνοητικά, πολυμήχανα, οἰκονομικά, ὅπως καὶ ἐν τοῖς ἀνθρώποις 1). Καὶ ἐν τοῖς ζώοις ὑπάρχουσιν οὐκ ὀλίγα πλεονεκτικά, ἁρπακτικά, κλεπτικά, λῃστρικά, κακόνοα, ἄσπονδα, ἔκδικα, μοιχικὰ καὶ ἀσεβῆ, ὅπως καὶ ἐν τοῖς ἀνθρώποις 2). Καὶ ἐν τοῖς ζώοις ὑπάρχουσιν οὐκ ὀλίγα εὐ-

αὐτῶν) οὐ δύνανται λῆξαι τῆς ἀνοίας, ἀλλ' οὐδὲ βραχὺ διαπιστῆσαι, καθάπερ ἔνια τῶν ἀλόγων ζώων. Ἐκεῖνα γὰρ οὐ μόνον ἐὰν αὐτά που δυσχρηστήσῃ περὶ τὰ δελέατα καὶ τὰς ἄρκυς, ἀλλὰ κἂν ἕτερον ἴδῃ κινδυνεῦον, οὐκ ἂν ἔτι ῥᾳδίως αὐτὸ προσαγάγοις πρὸς οὐδὲν τῶν τοιούτων, ἀλλὰ καὶ τὸν τόπον ὑποπτεύει καὶ παντὶ τῷ φαινομένῳ διαπιστεῖ. οἱ δ' ἄνθρωποι τὰς μὲν ἀκούοντες ἀπολλυμένας πόλεις ἅρδην τῷ προειρημένῳ τρόπῳ— προάγοντες ἀεὶ τοὺς χειρίστους δηλ. καὶ κολάζοντες τοὺς ἐναντιουμένους τούτοις — τὰς δ' ἀκμὴν ὁρῶντες, ὅμως ὅταν τις χρησάμενος τῷ πρὸς χάριν λόγῳ προτείνῃ τὴν ἐλπίδα τῆς ἐξ ἀλλήλων ἐπανορθώσεως, προσίασι πρὸς τὸ δέλεαρ ἀνεπιστάτως, σαφῶς εἰδότες ὅτι τῶν τὰ τοιαῦτα δελέατα καταπιόντων οὐδεὶς οὐδέποτε σέσωσται, πᾶσι δὲ ὁμολογουμένως ὅλεθρον ἐπήνεγκαν αἱ τοιαῦται πολιτεῖαι.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 616, 6, 22 καὶ 27. Ἡ κρέξ ἐστι τὴν διάνοιαν εὐμήχανος πρὸς τὸν βίον .. αἰγωλιὸς τὴν διάνοιαν βιωτικὸς καὶ εὐμήχανος. — *Αἰλιανός*, περὶ ζ. 4, 47: Χλωρίων .. ἔστι τὸν βίον μηχανικός. — *Ἀριστοτέλης*, ἔνθ. ἀν. 614, 6, 34: Τῶν ἀγρίων ὀρνέων οἱ μὲν εὐμήχανοι πρὸς τὸν βίον, οἱ δὲ ἀμηχανώτεροι. — *αὐτόθ.* 614, 6, 22: Ἡ λεγομένη σίττη τὴν διάνοιαν εὔθικτος καὶ εὐδίοτος. — *Αἰλιανός*, περὶ ζώων 5, 56: Αἱ ἐν Σύροις ἔλαφοι .. ὅταν βουληθῶσι περαιώσασθαι τὴν θάλασσαν, ἐπὶ τὰς ἠόνας ἀφικνοῦνται ἡ ἀγέλη, καὶ ἀναμένουσι τοῦ πνεύματος τὴν φθίσιν καὶ ἡνίκα ἂν αἴσθωνται πρᾷον αὐτὸ καὶ ἥσυχον καταπνέον, τηνικαῦτα ἐπιθαρροῦσι τῷ πελάγει. — *Αὐτόθ.* 5, 1: Αἱ μέλιτται οὐκ ἀμοιροῦσιν οὐδὲ τῆς εἰς τὸ προμηθὲς σοφίας. — *Πλούταρχος*, Πότερα κτλ. 981 F: Ἀλλ' ἥ γε πρόνοια κοινὴ τοῖς τίκτουσι τῶν γεννωμένων. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 10: Καὶ τόπου προνοεῖ, οὗ μέλλουσι τίκτειν. — *Αἰλιανός*, ἔνθ. ἀν. 6, 23: Οἷα σοφίσματα καὶ τοῖς σκορπίοις ἡ φύσις ἔοικε δοῦναι. — *Πλούταρχος*, ἔνθ. ἀν. 962 D: (Ἔνεστι τοῖς ζώοις) δείγματα πολλὰ τοῦ πανούργου περὶ τοὺς πορισμοὺς καὶ τὰς οἰκονομίας. — *αὐτόθ.* 967 D: Τὰς μυρμήκων οἰκονομίας καὶ παρασκευὰς ἐκφράσαι ἀκριβῶς ἀμήχανον. — *Αἰλιανός*, ἔνθ. ἀν. 6, 43: (μύρμηκες) σοφίᾳ τὴν ὑπόγειον οἰκονομίαν ἀπεργάζονται σκολιωτάτην .. εἶεν δ' ἂν οἱ χῶροι τρεῖς, ὡς ἐν οἰκίᾳ σοβαρᾷ· καὶ τὸν μὲν ἀποφαίνουσιν ἀνδρῶνα εἶναι, ἐν ᾧ διαιτῶνται οἱ ἄρρενες καὶ ὅσοι σὺν αὐτοῖς θῆλυ· τὸν δ' ἕτερον, ἔνθα ἀποτίκτουσι κύουσαι μύρμηκες, οἱονεὶ γυναικῶνα· τρίτον δ' ἕτερον θησαυρόν τε καὶ σιρὸν ἀποκρίνουσι τοῖς ἠθροισμένοις σπέρμασι· καὶ οὔτε Ἰσχόμαχος ἐνταῦθα οὔτε Σωκράτης ὑπὲρ τῆς ἀξιοζήλου οἰκονομίας σπουδάζοντες διδάσκουσιν αὐτά. — Πρβλ. καὶ *Ἀριστοτέλην*, περὶ τὰ ζῶα ἱστ. 619, α, 20. 622, α, 4.

2) *Αἰλιανός*, περὶ ζώων 9, 10: Ἀετὸς ζῶον πλεονεκτικόν, καὶ δι' ἁρπαγῶν ποιοῦνται τὰς τροφάς .. καὶ γὰρ λαγὼς ἁρπάζουσι καὶ νεβρὸν καὶ χῆνα ἐξ αὐλῆς καὶ ἄλλα. — *Πλούταρχος*, Πότερα κτλ. 962 B: Καὶ δειλίαν πολλοῖς καὶ ἀκολασίαν ἀδικίαν τε καὶ κακόνοιαν ὁρῶμεν ἀνυπάρχουσαν. — *Αἰλιανός*, ἔνθ. ἀν. 1, 9: Κλέπτης καὶ λῃστὴς ὁ κηφήν. — *αὐτόθ.* 7, 19: Ἄσπονδον καὶ ἔκδικον ὁ σῦς. — *αὐτόθ.* 7, 19: Μοιχικὸν ὁ πέρδιξ .. ἀσεβέστατον ὁ ποτάμιος ἵππος· γεύεται γὰρ καὶ τοῦ πατρός. — *Πορφύριος*, περὶ ἀποχ. ἐμψ. 3, 17: Τοὺς πατέρας ἐστιῶνται Σκύθαι. — *Αὐτόθ.* 3, 12. Ἐν πολέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μενῆ 1), εὐνοϊκά 2), εὐγνώμονα 3), ὅπως καὶ ἐν τοῖς ἀνθρώποις. Καὶ

μοις καὶ λιμοῖς ἄνθρωποι — οὐδὲ γεύσασθαι φείδονται ἀλλήλων. — *Εὐσέβιος*, Προπαρασκευὴ Εὐαγγελικὴ 6, 10, 9: Πολλὴ διαφορὰ ἐν τῇ ἀνθρωπότητι.. οἱ μὲν ὡς σκορπίοι καὶ ὡς ἀσπίδες, μὴ ἀδικηθέντες ἀδικοῦσιν· οἱ δέ, ὡς τὰ ἄλογα ζῶα, ἀδικούμενοι ἀμύνονται· ἕτεροι δὲ ὡς λύκοι ἁρπάζουσι καὶ ὡς γαλαῖ κλέπτουσιν.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα κτλ. 612, α, 20: Τῶν κρανοδείλων χασκόντων οἱ τροχίλοι καθαίρουσιν εἰσπετόμενοι τοὺς ὀδόντας, καὶ αὐτοὶ μὲν τροφὴν λαμβάνουσιν, ὁ δ' ὠφελούμενος αἰσθάνεται καὶ οὐ βλάπτει, καὶ ὅταν ἐξελθεῖν βούληται, κινεῖ τὸν αὐχένα, ἵνα μὴ συνδάκῃ. (ἀνάλογον τούτῳ καὶ ὁ Πλούταρχος, Πότερα κτλ. 980 F καὶ ἑξ. μεταξὺ τοῦ καλουμένου ἡγεμόνος καὶ τῶν κητῶν τῆς θαλάσσης). — *Αἰλιανός*, περὶ ζώων 11, 20: Ἐν Σικελίᾳ Ἀδρανός ἐστι πόλις.. καὶ ἐν τῇ πόλει ταύτῃ Ἀδρανοῦ νεώς, ἐπιχωρίου δαίμονος.. κύνες εἰσὶν ἱεροὶ καὶ οἵδε θεραπευτῆρες αὐτοῦ καὶ λατρεύοντές οἱ, ὑπεραίροντες τὸ κάλλος τοὺς Μολοττοὺς κύνας καὶ σὺν τούτῳ καὶ τὸ μέγεθος, χιλίων οὐ μείους τὸν ἀριθμόν. οὐκοῦν οὗτοι μεθ' ἡμέραν μὲν αἰκάλλουσί τε καὶ σαίνουσι τοὺς ἐς τὸν νεὼν καὶ τὸ ἄλσος παριόντας, εἴτε εἶεν ξένοι εἴτε ἐπιχώριοι· νύκτωρ δὲ τοὺς μεθύοντας ἤδη καὶ σφαλλομένους κατὰ τὴν ὁδὸν οἳ δὲ πομπῶν δίκην καὶ ἡγεμόνων μάλα εὐμενῶς ἄγουσι. προηγούμενοι εἰς τὰ οἰκεῖα ἑκάστῳ. (Οὗτοι εἶνε οἱονεὶ οἱ τῆς ἀρχαιότητος κύνες τοῦ Ἁγίου Βερνάρδου, οἱ τοσοῦτον νῦν καθ' ὅλον τὸν κόσμον ἐπὶ τῇ εὐμενείᾳ αὐτῶν πεφημισμένοι, περὶ ὧν ὁ Schuberth ἐν σελ. 317, ὁ Oppel ἐν σελ. 125 τῶν ἄνω μνημονευθέντων συγγραμμάτων αὐτῶν, ὁ Meyer ἐν τῇ σελ. 153 τοῦ 9 τόμου τοῦ Konversatios-Lexicon αὐτοῦ (ἔκδ. 3. ἔτ. 1876), πάντα τὰ Γερμανικὰ ἀναγνωστικὰ βιβλία, πᾶσαι αἱ ὁπωσοῦν ἄξιαι λόγου ζωολογίαι λόγον εὔφημον καὶ ἐνθουσιώδη ποιοῦνται. Ἴδ. καὶ τοῦ ἐμοῦ Ἕλλην. Ἀναγνωσματαρίου τάξις τρίτη, ἔκδ. 1894, σελ. 126).

2) *Αἰλιανός*, περὶ ζώων 6, 44: Ἵππος εἰ τυγχάνει κηδεμονίας, ἀμείβεται τὸν εὐεργέτην εὐνοίᾳ τε καὶ φιλίᾳ — *αὐτόθ.*. 7, 10: Ἀνθρώπων πιστότερος καὶ εὐνούστερος ἐλήλεγκται κύων — *αὐτόθ.* 7, 29: «Ἰδίαν δὲ ἄρα κυνῶν εἰς τοὺς τρέφοντας εὔνοιαν καὶ ἐκεῖνο μαρτυρεῖ»—μεθ' ὃ ἕπεται τὸ διήγημα, ὅπερ εὑρηται ἐν τῇ σελ. 39 τοῦ ἐμοῦ Ἑλληνικοῦ ἀναγνωσματαρίου τῆς τρίτης τάξεως (ἔκδ. 1894) ὑπὸ τὴν ἐπιγραφὴν «ὁ θάνατος τοῦ πιστοῦ σκύλου». Τὸ διήγημα τοῦτο τοῦ Αἰλιανοῦ, ἀναφερόμενον εἰς Κολοφώνιόν τινα ἄνδρα, ἰδιοποιήθησαν δύο Γερμανοί, ὁ Campe καὶ ὁ Dittmar, καὶ ὡς ἔργον αὐτῶν ἀναγράφουσι μετὰ πολλοῦ ζήλου οἱ ὁμοεθνεῖς αὐτῶν ἔν τε τοῖς ἀλφαβηταρίοις καὶ τοῖς ἀναγνωσματαρίοις τοῖς προωρισμένοις διὰ τοὺς Γερμανόπαιδας — Ἴδε τὰ **Ἀλφαβητάρια** π.χ. τοῦ *A. Böhme* (1887, II Theil, σελ. 65, ἀρ. 52) καὶ τοῦ *Klussmann* (1885, σελ. 110, ἀρ. 161) καὶ τὰ **Ἀναγνωσματάρια** τοῦ *Dietlein* (Mittelstufe 1894, σελ. 130, ἀρ. 217) τὸ *Deutsches Lesebuch für die Unterklasse der bayrischen Volkschulen* (I σελ. 96, ἀρ. 170) — τοῦ *Förster* (Leseb. für die Mittelstufe der Elementarschulen Elsass-Lothringen 1894, σελ. 128) — τοῦ *Gabriel* (D. L. 1894, I Theil, σελ. 19, ἀρ. 36) — τοῦ *Wetzel* (Ausgabe A. Vorstufe, I Theil, 90 Aufl. σελ. 217, ἀρ. 158) — τοῦ *Wirth* (D. L. für höhere Töchterschulen II Theil, II Cursus, 1878, σελ. 20, ἀρ. 19), τοῦ *Gabriel-Supprian* (D. L. für einfache Schulverhältnisse, Ausg. C. 1894, σελ. 11, ἀρ. 22) — τοῦ *Niedergesäss*, 3 Schuljahr, 38 Aufl. 1894, σελ. 6, ἀρ. 7.

3) *Αἰλιανός*, περὶ ζώων 8, 12: Χάριτος δὲ ἀπομνησθῆναι τὰ ζῶα ἀγαθά. — *Πλούταρχος*, ἔνθ. ἀν. 978 A: Οἱ δελφῖνες.. εὐγνωμονοῦσιν οἱ πλεῖστοι (παράδειγμα τούτου ἐν Αἰλιανῷ 2, 6). — *Αἰλιανός*, ἔνθ. ἀν. 8, 13: Χάριν δὲ ἄρα καὶ δελ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐν τοῖς ζώοις ὑπάρχουσί τινα φιλητικά 1), φιλάλληλα 2), εὐπειθῆ 3),

φῖνες ἀποδοῦναι τῶν ἀνθρώπων δικαιότεροι (ἴδ. καὶ 4, 44). — Παρ' Αἰλιανῷ (περὶ ζώων 3, 21) πρὸς ἀπόδειξιν τῆς εὐγνωμοσύνης τῶν ζώων φέρεται τὸ διήγημα, ὅπερ εὕρηται ἐν τῇ σελ. 109 τοῦ ἐμοῦ Ἑλληνικοῦ Ἀναγνωσματαρίου τῆς δευτέρας τάξεως (ἔκδ. 1894) ὑπὸ τὴν ἐπιγραφὴν «ἡ λέαινα καὶ ὁ ναύτης». Τὸ διήγημα τοῦτο ὁ Αἰλιανὸς λέγει ὅτι τὸ παρέλαβεν ἔκ τινος συγγραφέως Εὐδήμου καλουμένου. Ὑπόκειται δὲ ἡ σκηνὴ εἰς τὸ ὄρος Πάγγαιον «τὸ Θρᾴκιον». Τοῦτο ὅμως τὸ διήγημα ᾠκειοποιήθη Γερμανός τις, Chr. Barth καλούμενος, καὶ ὡς αὐτοῦ προϊὸν φέρεται νῦν ἐν τοῖς Γερμανικοῖς ἀναγνωσματαρίοις τοῦ *Hansen* (D. Les. 21 Aufl. 1886, II Theil, σελ. 89, ἀρ. 92) καὶ τοῦ *Erkelenz* (D. Les. für höhere Mädchenschulen, 1891, I Theil, σελ. 186, ἀρ. 85). Περαιτέρω· παρὰ τῷ αὐτῷ Αἰλιανῷ πρὸς ἀπόδειξιν ἐπίσης τῆς τε μνήμης καὶ τῆς εὐγνωμοσύνης τῶν ζώων φέρεται (7, 48) τὸ πασίγνωστον διήγημα τοῦ λέοντος καὶ τοῦ Ἀνδροκλέους τοῦ δούλου, τοῦ δραπετεύσαντος ἐκ τοῦ δεσπότου αὐτοῦ, συγκλητικοῦ τῆς Ῥώμης ὄντος, ὅπερ εὕρηται ἐν τῇ σελ. 110 τοῦ ἐμοῦ Ἑλλ. Ἀναγνωσματαρίου τῆς δευτέρας τάξεως (ἔκδ. 1884). Καὶ τὸ διήγημα τοῦτο καταγράφει ὡς ἴδιον αὐτοῦ ἔργον ὁ Christoph v. Schmid ὑπ' ἀρ. 26 τοῦ βιβλιαρίου αὐτοῦ «Kurze Erzählungen» καὶ ὡς ἔργον τούτου φέρεται ἐν τοῖς τρισὶ Γερμανικοῖς ἀναγνωσματαρίοις τοῦ *Gabriel* (Ausgabe A in einem Bande, ἐκδ. 29, 1893, σελ. 81, ἀρ. 61 — Ausgabe B, I Theil, Mittelstufe, 1894, σελ. 122, ἀρ. 190 — Ausgabe C (Kinderfreund), 19 Aufl. 1894, σελ. 108, ἀρ. 154)—τοῦ *Wirth* (D. Lesebuch für höhere Töchterschulen, 3 Aufl. 1878, II Theil, Unterstufe, II Cursus, σελ. 72, ἀρ. 59), ἐν ᾧ φαίνεται ὅτι καὶ δεύτερος σφετεριστὴς ἐσφετερίσθη αὐτὸ καὶ ὡς ἴδιον ἔργον ἐνεφάνισε τοῦτο εἰς τὸν κόσμον, ὁ *Agnes Stein*.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 488, 6, 21: Φιλητικὰ καὶ θωπευτικά, οἷον κύων. — *αὐτόθ.* 610, α, 8: Κορώνη καὶ ἐρωδιὸς φίλοι, καὶ σχοινίων καὶ κόρυδος καὶ λαεδὸς καὶ κελοιός.. καὶ πίφιγξ καὶ ἅρπη καὶ ἰκτῖνος φίλοι καὶ ἀλώπηξ καὶ ὄφις καὶ κόττυφος καὶ τρυγών. — *Αἰλιανός*, περὶ ζώων, 2, 51: Ὁ κόραξ.. πρὸς τὴν ἀλώπεκα ἔχει τινὰ φιλίαν. — *Ἀριστοτέλης*, ἔνθ. ἀνωτ. 610, 6, 2: Τῶν ἰχθύων οἱ μὲν συναγελάζονται μετ' ἀλλήλων καὶ φίλοι εἰσίν, οἱ δὲ μὴ συναγελαζόμενοι πολέμιοι.— ἀπόσπασμα 354, ἔκδ. Rose: Αἱ ὠτίδες ἥδονται ἵππῳ. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 191 ἐν ἀρχῇ: «Höchst charakteristisch sind hinsichtlich dieser Bedeutung der freien Neigungswahl die Freundschaften der Thiere.. Am auffallendsten aber sind solche Freundschaften, die zwischen Thieren ganz verschiedener Art geschlossen werden».

2) *Πλούταρχος*, Πότερα κτλ. 977 C: Ἄλλα ζῶα ἐπιδείκνυται μετὰ τοῦ συνετοῦ τὸ κοινωνικὸν καὶ τὸ φιλάλληλον, ὥσπερ ἀνθῖαι καὶ σκάροι· σκάρου μὲν γὰρ ἄγκιστρον καταπιόντος, οἱ παρόντες σκάροι προσαλλόμενοι τὴν ὁρμιὰν ἀποτρώγουσιν.. οἱ δὲ ἀνθῖαι τῷ συμφύλῳ βοηθοῦσιν ἰταμώτερον κτλ. — *Αἰλιανός*, περὶ ζώων 7, 27: Τὰ πρόβατα φιλεῖ ἄλληλα ἰσχυρῶς. — *αὐτόθ.* 4, 30: Οἱ κολοιοὶ δεινῶς φιλοῦσι τὸ ὁμόφυλον. — Πρβλ. καὶ ἀν. τὴν ἐν σελ. 42 ὑποσελ. σημ. 6.

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 610, α, 29: Ἐλέφας ταχέως τιθασσεύεταί τε καὶ πειθαρχεῖ. — *Αἰλιανός*, περὶ ζώων, 7, 4: Ἴδιον ταύρου καὶ τὸ εὐπειθές, ἡμερωθέντος τε καὶ ἐς τὸ πρᾶον ἐκ τοῦ θηριώδους μεταβαλλομένου. — *αὐτόθ.* 7, 27: Εὐπειθέστα δὲ ἄρα τῶν ζώων τὰ πρόβατα ἦν καὶ ἄρχεσθαι φύσει πεπαιδευμένα· ὑπακούει γοῦν καὶ τῷ νομεῖ καὶ τοῖς κυσί, καὶ μέντοι καὶ ἔπεται ταῖς αἰξίν. Ἴδ. καὶ 2, 11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εὐσεβῆ 1), μισοπόνηρα 2), ὅπως καὶ ἐν τοῖς ἀνθρώποις.

Περαιτέρω· Ἐπειδὴ αἱ πράξεις παντὸς ἐμψύχου ὄντος εἶνε ἀπαύγασμα τῆς ποιότητος καὶ τῆς ἐντάσεως τῶν ἐν αὐτοῖς κειμένων σωματικῶν, διανοητικῶν καὶ ἠθικῶν δυνάμεων, αἱ τοιαῦται δὲ δυνάμεις τῶν ζώων εἶνε, ὡς ἀνωτέρω κατεδείχθη, ἐνιαχοῦ μὲν διάφοροι, πολλαχοῦ δὲ αἱ αὐταὶ ταῖς τῶν ἀνθρώπων, ἕπεται ὅτι καὶ αἱ πράξεις αὐτῶν ἔστιν ὅτε μὲν εἶνε διάφοροι, ὡς ἐπὶ τὸ πολὺ δ' ὅμως εἶνε αἱ αὐταὶ ταῖς τῶν ἀνθρώπων 3).

Ὄντως! Ὁ βίος τῶν ζώων ὁ ἀτομικός, ὁ βίος ὁ οἰκογενειακός, ὁ βίος ὁ κοινωνικός, ὁ βίος ὁ πολιτικός, ἀκόμη καὶ αἱ ἠθικαὶ ἀρχαὶ καὶ οἱ τρόποι τῆς τροφῆς καὶ παιδείας τῶν νεαρῶν τέκνων αὐτῶν ἢ εἶνε ἐντελῶς ὅμοιοι τοῖς τῶν ἡμετέρων ἢ ἐλάχιστον διαφέρουσιν αὐτῶν.

Τὰ ζῶα αἰσθάνονται τὰς μεταβολὰς τῶν ὡρῶν τοῦ ἔτους 4). Γνω-

1) *Αἰλιανός*, περὶ ζώων, 10, 16: Φιλοῦσι δὲ οἱ φρόνιμοι καὶ τῶν ἀλόγων τὰ πραότερα καὶ φειδοῦς ἅμα καὶ εὐσεβείας μετειληχότα προτιμᾶν. Αἰγύπτιοι γοῦν τοὺς πελαργοὺς καὶ προσκυνοῦσιν, ἐπεὶ τοὺς πατέρας γηροκομοῦσι καὶ ἄγουσι διὰ τιμῆς. Οἱ αὐτοὶ δὲ Αἰγύπτιοι καὶ χηναλώπεκας καὶ ἔποπας τιμῶσιν, ἐπεὶ οἳ μὲν φιλότεκνοι αὐτῶν, οἳ δὲ πρὸς τοὺς γειναμένους εὐσεβεῖς. — *αὐτόθ.* 7, 15: Ἐλέφαντες τῶν μὲν κινδύνων καὶ πόνων οἱ νέοι κατάρχονται· ποτοῦ δὲ ἄρα καὶ τροφῆς ἀφίστανται τοῖς πρεσβυτέροις αἰδῶ νέμοντες. — *Πορφύριος*, περὶ ἀποχ. ἐμψ. 3, 11: Τίς τῆς τῶν πελαργῶν δικαιοσύνης πρὸς τοὺς τεκόντας ἀνήκοος; Ἴδ. καὶ Αἰλιανὸν 6, 61.

2) *Αἰλιανός*, περὶ ζώων 8, 17: Μισοπόνηρος ἐλέφας. Πρβλ. αὐτόθ. 3, 44. 4, 8. 7, 25. 8, 20. 10, 41. 11, 15 καὶ 20.

3) *Ἀριστοτέλης*, περὶ ποιητικῆς 1449, 6, 36: (πᾶσα πρᾶξις) πράττεται ὑπό τινων πραττόντων, οὓς ἀνάγκη ποιούς τινας εἶναι κατά τε τὸ ἦθος καὶ τὴν διάνοιαν (διὰ γὰρ τούτων πράξεις εἶναί φαμεν ποιάς τινας) — πέφυκεν αἴτια δύο τῶν πράξεων εἶναι διάνοια καὶ ἦθος, καὶ κατὰ ταύτας καὶ τυγχάνουσι καὶ ἀποτυγχάνουσιν ἅπαντες. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 8: Σωμάτων παραλλαγαὶ εὐπαθῆ ἢ δυσπαθῆ (τὴν ψυχὴν) ποιῆσαι δύνανται, καὶ μᾶλλον ἢ ἧττον πρόχειρον ἔχειν τὸν λόγον . . συμπάσχειν οὖν δοίη ἄν τις ψυχὴν σώματι καὶ πάσχειν τι πρὸς αὐτοῦ εὖ ἢ κακῶς διακειμένου . . εἰ δὲ συμπάσχει μόνον καὶ χρῆται αὐτῷ ὡς ὀργάνῳ, δράσειε μὲν ἂν δι' αὐτοῦ πολλά, ἀλλοίως ὠργανωμένου ἢ ὡς ἡμῖν, ὧν ἡμεῖς δρᾶν ἀδύνατοι.

4) *Αἰλιανός*, περὶ ζώων 9,46: Ῥυάδες ὄνομα θαλαττίου ζώου σοφοῦ διαγνῶναι τὴν τῶν ὡρῶν διάβασιν. — *Πλούταρχος*, Πότερα κτλ. 979 C: Ὁ δὲ θύννος οὕτως ἰσημερίας αἰσθάνεται καὶ τροπῆς, ὥστε καὶ τὸν ἄνθρωπον διδάσκειν, μηδὲν ἀστρολογικῶν κανόνων δεόμενον. — *Αἰλιανός*, ἔνθ. ἀν. 9, 42: Τῆς τῶν ὡρῶν μεταβολῆς ἔχουσιν αἰσθητικῶς οἱ θύννοι καὶ ἴσασι τροπὰς ἡλίου ὀξύτατα, καὶ δέονται τῶν τὰ οὐράνια εἰ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρίζουσι τίνα μέσα εἶνε τὰ καταλληλότατα πρὸς ἀποφυγὴν τῶν ἐκ τῆς ἐπιδράσεως τῆς ἀτμοσφαίρας καὶ τῶν λοιπῶν στοιχείων τῆς φύσεως ὀχληρῶν καὶ ἐπιβλαβῶν ἀποτελεσμάτων ἐπὶ τοῦ βίου αὐτῶν καὶ ποιοῦνται ἑκάστοτε τὴν προσήκουσαν χρῆσιν αὐτῶν 1). Μεταβάλλουσι τόπον διαμονῆς συμφώνως πρὸς τὰς ἑκάστοτε μεταβολὰς τῶν ὅρων τῆς βιωτικῆς αὐτῶν εὐμαρείας 2). Διαπερῶσιν ἐκτάσεις ἀπεράντους πολλάκις ἐν τελείᾳ ἐπιγνώσει τῶν κατευνθύσεων 3). Προαισθάνονται καὶ

δέναι δεινῶν οὐδὲ ἕν. — Πρβλ. καὶ Ἀριστοτέλην περὶ τὰ ζῶα ἱστορ. 598, 6, 25. 599, α, 4, καὶ ἑξ.

1) *Αἰλιανός*, περὶ ζώων 9, 56: Ἐν ὥρᾳ θερείῳ, πολλοῦ πάνυ σφόδρα τοῦ ἡλίου ἐνακμάζοντος, οἱ ἐλέφαντες ἀλλήλους χρίουσιν ἰλύϊ παχείᾳ καὶ αὐτοῖς αὕτη ψῦχος παρέχει — *Πλούταρχος*. Πότερα κτλ. 972 A: Τὸ κοιταῖον τῶν ἐχίνων ὁπὰς ἔχει δύο, τὴν μὲν πρὸς νότον τὴν δὲ πρὸς βορρᾶν βλέπουσαν· ὅταν δὲ προαίσθωνται τὴν διαφορὰν τοῦ ἀέρος, ὥσπερ ἱστίον κυβερνῆται μεταλαμβάνοντες ἐμφράσσουσι τὴν κατ' ἄνεμον, τὴν δ' ἑτέραν ἀνοίγουσι. — *αὐτόθ.* 979 B: Ἐχῖνοι οἱ θαλάσσιοι, ὅταν αἴσθωνται μέλλοντα χειμῶνα καὶ σάλον, ἑρματίζονται λιθιδίοις, ὅπως μὴ περιτρέπωνται διὰ κουφότητα μηδ' ἀποσύρωνται γενομένου κλύδωνος, ἀλλ' ἐπιμένωσιν ἀραρότως τοῖς πετριδίοις. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 636, 6, 24: Αἱ μέλισσαι . . ὅταν ἄνεμος ᾖ μέγας, φέρουσι λίθον ἐφ' ἑαυταῖς ἕρμα πρὸ τὸ πνεῦμα (τὸ αὐτὸ καὶ Αἰλιαν. 1, 11. 2, 13). — *αὐτόθ.* 612, α, 1: Πολλὰ δὲ καὶ τῶν ἄλλων ζώων τῶν τετραπόδων ποιεῖ πρὸς βοήθειαν αὐτοῖς φρονίμως. Ἴδ. καὶ *Μάξιμον τὸν Τύριον*, λόγ. 12, 3. *Πλούταρχ.* Πότερα κτλ. 979 B. *Αἰλιαν.* ἐνθ. ἀν. 2, 1. 3, 13. 4, 60. *Ἀριστοτ.* περὶ τὰ ζ. κτλ. 614, 6, 18. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Romanes ἔνθ. ἀν. σελ. 154: «Die Spinen, welche Steine in ihren Gewebe befestigen, um dasselbe während der Stürme festzuhalten» κτλ. καὶ σελ. 206 καὶ ἑξ. «So lebt die Larve der Köcherfliege im Wasser und baut sich einen röhrenförmigen.. Behälter.. Ist der letztere zu leicht, so dass er fortschwimmen könnte, so wird ein kleines Steinchen als Ballast zu Hilfe genommen» κτλ.

2) Πορφύριος, περὶ ἀποχῆς ἐμψύχων 3, 9: Τὰ ζῶα ἀμείβει καὶ τόπους κατὰ τὰς ὥρας, καὶ πᾶν ὅσον πρὸς τὸ συμφέρον οἶδεν. — *Αἰλιανός*, περὶ ζώων 10, 6: Ποντικοὶ δ' ἄρα κολίαι τῶν Περσῶν βασιλέα μεμίμηνται χειμάζοντα μὲν ἐν Σούσοις, θερίζοντα δὲ ἐν Ἐκβατάνοις. καὶ γὰρ οὗτοι ἐν μὲν τῇ καλουμένῃ Προποντίδι χειμάζουσιν· ἀλεεινὴ γὰρ ἥδη ἡ γῆ· θέρους δὲ πρὸς τῷ Αἰγιαλῷ διαιτῶνται· παρέχει γὰρ αὐτοῖς αὖρας μαλακὰς ἡ θάλαττα ἡ προειρημένη. — *αὐτόθ.* 3, 13: Αἱ γέρανοι τοῦ μὲν θέρους κατὰ χώραν μένουσι, φθινοπώρου δὲ ἤδη μεσοῦντος εἰς Αἴγυπτόν τε καὶ Λιβύην ἀπαίρουσι καὶ Αἰθιοπίαν. — Ἴδ. καὶ Μάξιμον τὸν Τύριον, λόγ. 12, 3. *Ἀρριαν.* Ἐπικτήτ. διατριβ. 3, 24, 6.

4) *Αἰλιανός*, 3, 13: Αἱ γέρανοι τοῦ μὲν θέρους κατὰ χώραν μένουσι, φθινοπώρου δὲ ἤδη μεσοῦντος εἰς Αἴγυπτόν τε καὶ Λιβύην ἀπαίρουσι καὶ Αἰθιοπίαν, ὥσπερ οὖν γῆς περίοδον εἰδυῖαι καὶ φύσεως ἀέρων καὶ ὡρῶν διαφοράς. — *αὐτόθ.* 3, 23: Προσακούω τοὺς πελαργοὺς καὶ αὐτοὺς συμφεύγειν τοῖς γεράνοις καὶ συναποδιδράσκειν τὸν χειμῶνα· τῆς ὥρας δὲ τῆς κρυμώδους διελθούσης, ὅταν ὑποστρέψωσιν εἰς τὰ ἴδια καὶ οἴδε καὶ αἵδε τὴν ἑαυτῶν ἕκαστος ,καλιὰν ἀναγνωρίζουσιν, ὡς τὴν οἰκίαν ἄνθρωποι. — Ἴδε καὶ ἀνωτέρ. σελ. 42 καὶ σημ. 1 καὶ 7. — Τὰ αὐτὰ αὐτολεξεὶ καὶ οἱ καθ' ἡμᾶς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

προδηλοῦσι πάσας τὰς ἐπικειμένας ἀτμοσφαιρικὰς μεταβολάς· τοὺς μέλλοντας νὰ πνεύσωσιν ἀνέμους δηλ. τὰς ἐπικειμένας θυέλλας καὶ ὑετοὺς καὶ πλημμύρας καὶ ψύχη, τὸν ἐπικείμενον χειμῶνα καὶ δὴ τὸν πρώϊον καὶ τὸν νοτερόν, τὴν ἐπικειμένην χιόνα, τὸν μέλλοντα αὐχμόν, τὴν μέλλουσαν φαιδρὰν ἡμέραν καὶ τὴν ἐσομένην εὐδίαν 1). Προαισθάνονται τὰ μέλλοντα νὰ ἐπισυμβῶσιν αὐτοῖς δεινά 2). Προαισθάνονται τὸν θάνατον αὐτῶν 3). Προαισθάνονται τὰ ἀπειλοῦντα τὴν

σοφοί. Romanes, ἔνθ. ἀνωτ. σελ. 320 : Die Hauptsache besteht darin, dass die Thiere ihren Rückweg auf weite Entfernungen hin zu finden wissen, selbst wenn die Abreise bei Nacht . . geschieht. — Τὰ αὐτὰ καὶ ὁ *Darwin* καὶ ὁ *Wallace* καὶ ὁ *Andrews* καὶ ὁ *Howitt* (Ἴδ. Romanes, ἔνθ. ἀνωτ. σελ. 316 καὶ ἑξ. 318. 320 μετὰ τῶν ὑποσελιδ. σημ. Ἐν γένει δὲ περὶ τοῦ φαινομένου τούτου ἴδ. αὐτόθ. ὅλον τὸ κεφ. Wandertrieb ἀπὸ σελ. 314 - 328).

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 612, 6, 8 : Περὶ δὲ τῆς τῶν ἐχίνων αἰσθήσεως συμβέβηκε πολλαχοῦ τεθεωρῆσθαι ὅτι μεταβαλλόντων βορέων καὶ νότων οἱ μὲν ἐν τῇ γῇ τὰς ὀπὰς αὐτῶν μεταμείβουσιν, οἱ δὲ ἐν ταῖς οἰκίαις τρεφόμενοι μεταβάλλουσι πρὸς τοὺς τοίχους. (τὸ αὐτὸ καὶ *Πλούταρχος* ἐν Πότερα κτλ. 979 C καὶ *Ἀριστοτέλης* ἐν ἀποσπάσμ. 342, ἔκδ. Rose. πρβλ. καὶ *Πλούταρχον*, ἔνθ. ἀν. 972 A).— *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 627, 6, 10: Προγιγνώσκουσι δὲ καὶ χειμῶνα καὶ ὕδωρ αἱ μέλιτται. — *Αἰλιανός*, περὶ ζώων 5, 13 καὶ 1, 11 : Οἶδε δὲ ἄρα ἡ μέλιττα καὶ ὑετοῦ ἀπειλοῦντος ἐπιδημίαν καὶ σκληρὸν πνεῦμα ἐσόμενον — ἔχουσι δὲ καὶ μαντικῶς (αἱ μέλιτται) ὥστε καὶ ὑετῶν καὶ κρύους ἐπιδημίαν προμαθεῖν. — *Πλούταρχος*, Πότερα κτλ. 982 E : Οἱ βάτραχοι λαμπρύνουσι τὴν φωνὴν ὑετὸν προσδεχόμενοι καὶ τοῦτο σημεῖον ἐν τοῖς βεβαιοτάτοις ἐστίν. — *Αἰλιανός*, ἔνθ. ἀνωτ. 4, 60 : Σπίνοι δὲ ἄρα σοφώτεροι καὶ ἀνθρώπων τὸ μέλλον προεγνωκέναι. Ἴσασι γοῦν καὶ χειμῶνα μέλλοντα καὶ χιόνα ἐσομένην προμηθέστατα ἐφυλάξαντο. — *Πλούταρχος*, περὶ Ἴσιδος καὶ Ὀσίριδος 381 B : Ὅπου δ' ἂν ἡ θήλεια (χροκόδειλος) τῆς χώρας ἀποτέκῃ, τοῦτο Νείλου πέρας ἐπίσταται τῆς αὐξήσεως γενόμενον· ἐν ὑγρῷ γὰρ οὐ δυνάμεναι, πόρρω δὲ φοβούμεναι τίκτειν, οὕτως ἀκριβῶς προαισθάνονται τὸ μέλλον, ὥστε τῷ ποταμῷ προσελθόντι χρῆσθαι λοχευόμεναι καὶ θάλπουσαι, τὰ δὲ ὠὰ ξηρὰ καὶ ἄβρεκτα φυλάσσειν. — Ἴδ. Αἰλιανὸν (ἔνθ. ἀνωτ. 7, 7 καὶ 8), ἔνθα τὴν αὐτὴν προαίσθησιν τῶν ἀτμοσφαιρικῶν μεταβολῶν φαίνονται ἔχοντα ἐν γένει μὲν τὰ πτηνά, ἰδίως δὲ οἱ γέρανοι, οἱ ἐρωδιοί, αἱ γλαῦκες, οἱ κόρακες, αἱ κορῶναι, οἱ κολοιοί, αἱ νῆτται, αἱ αἴθυιαι, οἱ ἐρίθακοι, οἱ ἀλεκτρυόνες καὶ οἱ ἠθάδες ὄρνιθες· περαιτέρω αἱ αἶγες, οἱ βόες, τὰ πρόβατα, τὰ ἄρνια, τὰ ἐρίφια, αἱ γαλαῖ, οἱ μύες, οἱ λύκοι, οἱ λέοντες, τὰ ὑποζύγια καὶ οἱ λαγοί.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 7, 26 : Μέλλουσα ἡ αἴξ ἀποσφάττεσθαι σαφῶς οἶδε. καὶ τὸ μαρτύριον οὐκ ἂν ἔτι τροφῆς προσάψαιτο. — *Ὁμηρος*, Ἰλ. Υ 403 : Ὡς ὅτε ταῦρος| ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα κούρων ἑλκόντων.

3) *Αἰλιανός*, ἔνθ. ἀν. 5, 34 : Πλέον ἔχει τῶν ἀνθρώπων ὁ κύκνος ἐν τοῖς μεγίστοις· οἶδε γὰρ ὁπότε τοῦ βίου τὸ τέρμα ἀφικνεῖται αὐτῷ. — *Αἰσχύλος*. Ἀγαμέμνων 1444, Dindorf: Ἥ δέ τοι κύκνου δίκην | τὸν ὕστατον μέλψασα θανάσιμον γόον | κεῖται κτλ. — *Δίων ὁ Χρυσόστομος*, λόγος 37, σελ. 555 : Ὥσπερ φασὶ τοὺς κύκνους μέλλοντας ἀποθνήσκειν καὶ προορωμένους τὸν θάνατον ἐμβιβάζειν τὴν ψυχὴν οἷον εἰς ὄχημα τὸ μέλος. — *Πλάτων*, Φαίδων 84 E : Οἱ κύκνοι . . ἐπειδὰν αἴσθωνται ὅτι δεῖ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζωὴν αὐτῶν καὶ προλαμβάνουσι τὸν ὄλεθρον 1). Προαισθάνονται τὴν ἐπιβλαβῆ καὶ ὀλεθρίαν δύναμιν, τὴν ἐγκλειομένην ἐν ταῖς φθαρτικαῖς τῆς ὑγείας καὶ τῆς ζωῆς αὐτῶν παντοδαπαῖς οὐσίαις, καὶ ἐπιμελῶς ἀποφεύγουσιν αὐτάς 2). Γνωρίζουσι τὰς ἰαματικὰς τῶν νόσων αὐτῶν προσφόρους οὐσίας καὶ νοσοῦντα ἐπιζητοῦσι καὶ εὑρίσκουσιν καὶ χρησιμοποιοῦσι ταύτας προσηκόντως καὶ ἐπωφελῶς. Κακοδιαθετοῦντα καὶ νοσοῦντα ὑποβάλλονται ἑκουσίως εἰς δίαιταν τὴν προσήκουσαν. Τι-

αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν χρόνῳ τότε δὴ πλεῖστα καὶ μάλιστα ᾄδουσι, γεγηθότες ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι, οὗπέρ εἰσι θεράποντες οἱ κύκνοι. ἅτε οἶμαι, τοῦ Ἀπόλλωνος ὄντες μαντικοί τέ εἰσι καὶ προειδότες τὰ ἐν Ἅιδου ἀγαθὰ ᾄδουσι καὶ τέρποντται ἐκείνην τὴν ἡμέραν διαφερόντως ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ. Ἴδ. καὶ *Ἀριστοτ.* π. τὰ ζ. κτλ. 615, 6, 2. — Ὁ Schubert ἐν τῷ συγγράμματι αὐτοῦ Thierseelenkunde, ἔκδ. 1863, σελ. 103, ἐπαναλαμβάνει τὰ τοῦ Αἰλιανοῦ καὶ τὰ τοῦ Πλάτωνος ταῦτα ἀπαράλλακτα λέγων: « Berümt ist der Schwan wegen . . am berümtesten aber wegen seines Sterbengesanges, der im Schottland allgemein im Munde des Volkes ist . . Es muss etwas Edles, vielleicht gar schon die dunkle Ahnung won etwas Höherem auch in der Psyche des Schwanes sein, weil er so schön und zwar am schönsten im Sterben singt.

Süssen Gesang hebt an mit gemach absterbender Zunge
Selber der Schwan, wenn er trauert um eigenen Tod
Willmann»

Τοιαῦτα ὁ Schuberth, αὐτόχρημα τὰ Πλατωνικά. Περὶ τοῦ ἀντιλεγομένου τούτου κυκνείου ᾄσματος ἴδε τὴν ἐν στίχ. 769 τῶν Ὀρνίθων τοῦ Ἀριστοφάν. σημείωσιν τοῦ Kock ἐν τῇ ἐκδόσει αὐτοῦ, καὶ τὴν παρὰ Ἀθηναίῳ (393 D) παρατήρησιν τοῦ Ἀλεξάνδρου τοῦ Μυνδίου.

1) *Αἰλιανός*, περὶ ζώων 11, 19: Μελλούσης τῆς οἰκίας καταφέρεσθαι αἰσθητικῶς ἔχουσιν οἵ τε ἐν αὐτῇ μύες καὶ μέντοι καὶ αἱ γαλαῖ, καὶ φθάνουσι τὴν καταφορὰν καὶ ἐξοικίζονται (Ἴδ. καὶ *Πλούταρχον*, Πότερα κτλ. 976 D. — *Αἰλιανόν*, *αὐτόθ.* 6, 41 ἐν τέλει). — *Πλούταρχος*, Πότερα κτλ. 968 F: Οἱ δὲ Θρᾷκες ἔτι νῦν, ὅταν παγέντα ποταμὸν διαβαίνειν ἐπιχειρῶσιν, ἀλώπεκα ποιοῦνται γνώμονα τῆς τοῦ πάγου στερρότητος· ἡσυχῇ γὰρ ὑπάγουσα παραβάλλει τὸ οὖς· κἂν μὲν αἴσθηται ψόφῳ τοῦ ῥεύματος ἐγγὺς ὑποφερομένου, τεκμαιρομένη μὴ γεγονέναι διὰ βάθους τὴν πῆξιν ἀλλὰ λεπτὴν καὶ ἀδέβαιον, ἵσταται, κἂν ἐᾷ τις, ἐπανέρχεται, τῷ δὲ μὴ ψοφεῖν θαρροῦσα διῆλθε.

2) *Αἰλιανός*, περὶ ζώων 7, 26: Σοφὰ δὲ αἰγῶν ἐστι καὶ ἐκεῖνα. πτύελον ἀνθρώπου θανατηφόρον εἶναι ζώῳ ἑτέρῳ καλῶς ἴσασι καὶ φυλάττονται . . ἤδη μέντοι τις καὶ ἄνθρωπος ἀγνοῶν καὶ λαθών τι κατέπιεν, αἱ δὲ αἶγες οὐκ ἂν αὐτὰς λάθοι τὸ προειρημένον. — *αὐτόθ.* 8, 9ª: Κύνα δὲ καὶ ἐκεῖνο οὐ διαλέληθεν, ὅτι ἄρα τῆς μελίας ὁ καρπὸς τοὺς μὲν ὗς πιαίνει, αὐτῷ δὲ ἄλγημα ἰσχίου προξενεῖ· καὶ ὁρῶν ἐμφορουμένην τοῦ προειρημένου τὴν ὗν, ἀφίσταται αὐτῆ πάνυ ἐγκρατῶς καὶ τοῦ δοκοῦντος ἡδέος. ἄνθρωποι δὲ τῶν πειθόντων ἄκοντας ἐσθίειν ἥττωνται πολλάκις πάνυ ἀκρατῶς. — Τὰ αὐτὰ ἀπαράλλακτα καὶ οἱ καθ' ἡμᾶς σοφοὶ Darwin, Romanes κλπ. Ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 248.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τρωσκόμενα ὑποβάλλονται εἰς ἐγχειρίσεις χειρουργικὰς καὶ εἰς τὴν ἑκάστοτε προσήκουσαν τῶν τραυμάτων αὐτῶν ἐπούλωσιν καὶ θεραπείαν 1). Διαγιγνώσκουσι τὰ ἀκίνδυνα καὶ ἀβλαβῆ ζῶα καὶ τὰ ἐπι-

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 612, α. 1: Πολλὰ τῶν ζώων .. ποιεῖ πρὸς βοήθειαν αὐτοῖς φρονίμως. — *Πλούταρχος*, Πότερα κτλ. 974 B-D: Ἰατρικῆς δὲ πολὺ τῶν τριῶν εἰδῶν ἑκάστου καὶ γενναῖον ἐν τοῖς ζώοις μόριον ὁρῶμεν οὐ γὰρ μόνον τῷ φαρμακευτικῷ χρῶνται .. ἀλλὰ καὶ τροφῆς ἀποσχέσει ἔνια θεραπεύονται .. οὐ μὴν ἀλλὰ καὶ χειρουργίᾳ (χρῶνται). — *Ἀριστοτέλης*, ἔνθ. ἀνωτ. 612, α, 5: Αἱ κύνες ὅταν τι πονῶσι ἔμετον ποιοῦνται φαγοῦσαί τινα πόαν (τὸ αὐτὸ καὶ *Πλούταρχος*, Πότερα κτλ. 974 B. *Σέξτος ὁ Ἐμπειρικός*, Πυρρων. ὑποτυπ. A. 71. ἔκδ. Bekker, σελ.17, στ. 24. *Αἰλιανός*, περὶ ζώων 5, 46. 8, 9). — *αὐτόθ.* 594, α, 28: Λύκοι .. πόας μὲν ἄλλοτε οὐχ ἅπτονται, ὅταν δὲ κάμνωσιν, καθάπερ καὶ αἱ κύνες ἐσθίουσαι, ἀνεμοῦσι καὶ καθαίρονται. — *αὐτόθ.* 612, α, 31: Αἱ κύνες ὅταν ἑλμινθιῶσιν, ἐσθίουσι τοῦ σίτου τὸ λῆϊον (τὸ αὐτὸ καὶ *Πλούταρχος*, ἔνθ. ἀνωτ. 974 B. *Αἰλιανός*, ἔνθ. ἀν. 5, 46. 8, 9). — *αὐτόθ.* 612, α, 24: Ἡ χελώνη ὅταν ἔχεως φάγῃ, ἐπεσθίει τὸ ὀρίγανον (τὸ αὐτὸ καὶ *Αἰλιανός*, ἔνθ. ἀν. 3, 5). — *Πλούταρχος*, ἔνθ. ἀν. 974 B: Χελῶναι μὲν ὀρίγανον, γαλαῖ δὲ πήγανον, ὅταν ὄφεως φάγωσιν, ἐπεσθίουσαι κτλ. — *Πλούταρχος*, ἔνθ. ἀν. 974 C: Καὶ τροφῆς ἀποσχέσει ἔνια θεραπεύονται καθάπερ λύκοι καὶ λέοντες, ὅταν κρεῶν γένωνται διακορεῖς, ἡσυχίαν ἄγουσι κατακείμενοι καὶ συνθάλποντες ἑαυτούς. τίγριν δέ φασιν ἑρίφου παραδοθέντος αὐτῇ, χρωμένην διαίτῃ μὴ φαγεῖν ἐφ' ἡμέρας δύο. — *Σέξτος ὁ Ἐμπειρικός*, Πυρρων. ὑποτυπ. A, 71, ἔκδ. Bekker, σελ. 17, στίχ. 28: Ὁ κύων . . εἴ ποτε τραῦμα ἐν ποδὶ σχοίη, μετεωρίζει τοῦτον καὶ ὡς οἷόν τε ἄσκυλτον τηρεῖ — *Αἰλιανός*, περὶ ζώων 2, 51: Κόρακες .. ἴσασι διὰ τοῦ θέρους ἐνοχλούμενοι ῥύσει γαστρός· καὶ διὰ ταῦτα ἑαυτοὺς ὑγρᾶς τροφῆς ἀγεύστους φυλάττουσιν. — *Πλούταρχος*, ἔνθ. ἀνωτ. 974 D: Ἀλλὰ καὶ χειρουργίᾳ χρῆσθαι τοὺς ἐλέφαντας ἱστοροῦσι· καὶ γὰρ ξυστὰ καὶ λόγχας καὶ τοξεύματα, παριστάμενοι τοῖς τετρωμένοις, ἄνευ σπαραγμοῦ ῥᾳδίως καὶ ἀβλαβῶς ἐξέλκουσιν. — *Ἀριστοτέλης*, ἔνθ. ἀν. 612, α, 3: Ἐν Κρήτῃ φασὶ τὰς αἶγας τὰς ἀγρίας ὅταν τοξευθῶσι, ζητεῖν τὸ δίκταμνον· δοκεῖ δὲ τοῦτο ἐκβλητικὸν εἶναι τῶν τοξευμάτων ἐν τῷ σώματι (τὸ αὐτὸ καὶ Πλούταρχος, ἔνθ. ἀν. 974 D: — *αὐτόθ.* 612, α, 32: Οἱ δὲ πελαργοὶ καὶ οἱ ἄλλοι τῶν ὀρνίθων, ὅταν ἑλκωθῇ τι μαχομένοις, ἐπιτιθέασι τὴν ὀρίγανον. — *Αἰλιανός*, περὶ ζώων 5, 46: Πέρδικες καὶ πελαργοὶ τρωθέντες καὶ φάττα τὴν ὀρίγανον, ὡς λόγος, διατρώγουσιν, εἶτα τοῖς τραύμασιν ἐντιθέντες ἀκοῦνται τὸ σῶμα. — *Ἀριστοτέλης*, ἔνθ. ἀν. 611, 6, 23: Ὅταν δηχθῶσιν αἱ ἔλαφοι ὑπὸ φαλαγγίου ἢ τινος τοιούτου τοὺς καρκίνους συλλέγουσαι ἐσθίουσιν· δοκεῖ δὲ καὶ ἀνθρώπῳ ἀγαθὸν εἶναι τοῦτο πίνειν, ἀλλ' ἐστιν ἀηδές. — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 18: Ἐλέφας ὅταν εἰς αὐτὸν ἔλθῃ δόρατα καὶ βέλη πολλὰ ἐλάας πασάμενος ἄνθος ἢ ἔλαιον αὐτό, εἶτα πᾶν τὸ ἐμπεσὸν ἀπεσείσατο καὶ ἔστιν αὖθις ὁλόκληρος. — *Σέξτος ὁ Ἐμπειρικός*, Πυρρων. ὑποτυπ. A. 70, ἔκδ. Bekker, σελ. 17, στίχ. 16: Ὁ κύων καὶ τῶν ἑαυτοῦ παθῶν ἀντιληπτικός τέ ἐστι καὶ παραμυθητικός· σκόλοπος γὰρ αὐτῷ καταπαγέντος ἐπὶ τὴν ἄρσιν τούτου ὁρμᾷ τῇ τοῦ ποδὸς πρὸς τὴν γῆν παρατρίψει καὶ διὰ τῶν ὀδόντων ἕλκος τε εἰ ἔχει που .. πράως ἀποψᾷ τὸν γινόμενον ἰχῶρα. — Περὶ δὲ τῶν θεραπευτικῶν μέσων, ὧν χρῆσιν ποιοῦνται οἱ δράκοντες, αἱ ἄρκτοι, αἱ ἴβεις, οἱ ἱέρακες, αἱ παρδάλεις, αἱ αἶγες ἴδ. *Ἀριστοτέλην*, ἔνθ. ἀνωτ. 612, α, 7. 618, 6. 26. *Πλούταρχον*, ἔνθ. ἀνωτ. 974 B καὶ ἑξ. *Αἰλιανόν*, ἔνθ. ἀνωτ. 2, 43. 4, 49. 6, 3

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κίνδυνα καὶ ὀλέθρια, καὶ ταῦτα μὲν φοβοῦνται καὶ ἀποφεύγουσιν, ἐκεῖνα δὲ ἀδεῶς πλησιάζουσιν καὶ εὐχαρίστως συναναστρέφονται 1). Γνωρίζουσι τοὺς τρέφοντας καὶ τοὺς κυρίους αὐτῶν. Διακρίνουσι τοὺς γνωρίμους ἀπὸ τῶν ξένων. Διαγινώσκουσι τοὺς χρηστοὺς καὶ τοὺς ἐπιβούλους, τοὺς ἀγαθοὺς καὶ τοὺς κακούς, καὶ τοὺς μὲν ἀκινδύνους καὶ εὐεργετικοὺς καὶ γνωστοὺς σαίνουσι καὶ αἰκάλλουσι, τοὺς δὲ ἐπικινδύνους καὶ κακόνοας καὶ ἀγνώστους δάκνουσι καὶ ἀμύσσουσιν 2). Γινώσκουσι τὰ ἰδιώματα τῶν ἐχθρῶν αὐτῶν καὶ πρὸς αὐτὰ μεθαρμόζουσι τὸν τρόπον τῆς ἀμύνης αὐτῶν 3). Γινώσκουσι τίνα τὰ βλά-

καὶ 4. 7, 14. *Σέξτον τὸν Ἐμπειρικὸν* ἐν Πυρρων. ὑποτυπ. A. 57, ἔκδ. Bekker, σελ. 14, στίχ. 33 καὶ ἑξ.

1) *Αἰλιανός*, περὶ ζώων 5, 50: Τοὺς ὄρνεις τοὺς ἠθάδας καὶ τοὺς ἐν ποσὶ τρεφομένους τε καὶ ἐξεταζομένους ὁρῶμεν ἵππους καὶ ὄνους καὶ βοῦς καὶ καμήλους θαρροῦντας.. ἤδη δὲ ἀλεκτρυόνες καὶ ἐπὶ τὰ νῶτα αὐτῶν ἀναπέτονται· τοσοῦτον αὐτοῖς τοῦ θάρρους περίεστι καὶ τοῦ ἀδεοῦς· πτοίαν δὲ αὐτοῖς ἐντίθησι καὶ δέος ἰσχυρὸν γαλῆ παραθραμοῦσα.. χηνῶν δὲ καὶ κύκνων καὶ στρουθῶν τῶν μεγάλων ἤ τι ἢ οὐδὲν φροντίζουσιν, ἱέρακα δὲ βραχύτατον ὄντα ὀρρωδοῦσιν. Αὐτολεξεὶ τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοὶ Romanes, Thompson κτλ. Ἴδε Romanes, ἔνθ. ἀν. σελ. 138: «In ähnlicher Weise liiren sich Katzen oft mit Pferden, manchmal auch mit Hunden, Ratten, Vögeln und anderen ihnen ganz unähnlichen Thieren — Thompson erzählt dass die Pferde eine starke Anhänglichkeit für Hunde und Katzen hatten und Gefallen daran fanden, sie im Stalle auf ihrem Rücken zu haben».

2) *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 10. Παρατηρήσας δ' ἄν τις κατίδοι καὶ σὺν τάξει ἰόντα πάντα τὰ ζῶα καὶ διαπαντῶντα μετὰ τοῦ σαίνειν τῷ τρέφοντι καὶ ἐπιγινώσκειν τὸν δεσπότην καὶ μηνύειν τὸν ἐπίβουλον, — *Αἰλιανός*, περὶ ζώων 8, 2: Ὁ κύων περιχαρὴς αἰκάλλει τὸν δεσπότην καὶ φιλεῖ τὼ πόδε. — *αὐτόθ.* 11, 3: Κύνες τοὺς σωφρόνως.. παριόντας.. σαίνουσι καὶ αἰκάλλουσιν, οἷα φιλοφρονούμενοι καὶ γνωρίζοντες δήπου, ἐὰν δέ τις ᾖ τὰς χεῖρας ἐναγής.. δάκνουσι καὶ ἀμύσσουσι (τὸ αὐτὸ Σέξτος ὁ Ἐμπειρικὸς ἐν Πυρρων. ὑποτυπ. A 67, ἔκδ. Bekker, σελ. 16, στίχ. 29). — *Πλάτων*, Πολιτεία 375 E καὶ ἑξ. Οἶσθά που τῶν γενναίων κυνῶν, ὅτι τοῦτο φύσει αὐτῶν τὸ ἦθος πρὸς μὲν τοὺς συνήθεις τε καὶ γνωρίμους ὡς οἷόν τε πραοτάτους εἶναι, πρὸς δὲ τοὺς ἀγνῶτας τοὐναντίον.. ὃν μὲν ἂν ἴδῃ — ὁ κύων — ἀγνῶτα, χαλεπαίνει, οὐδὲν δὲ κακὸν προπεπονθώς· ὃν δ' ἂν γνώριμον ἀσπάζεται, κἂν μηδὲν πώποτε ὑπ' αὐτοῦ ἀγαθὸν πεπόνθῃ. (τὸ αὐτὸ καὶ *Πλούταρχος*, περὶ Ἴσιδ. καὶ Ὀσίρ. 355 B). Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ὡς π. χ. ὁ Schneider παρὰ Romanes, σελ. 128: «Ein Octapous soll, nach Schneider, sogar seinen Wärter kennen lernen».

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 620, α, 22: Γένη δὲ τῶν ἱεράκων φασί τινες εἶναι οὐκ ἐλάττω τῶν δέκα· — διαφέρουσι δ' ἀλλήλων· οἱ μὲν γὰρ αὐτῶν ἐπὶ τῆς γῆς καθημένην τύπτουσι τὴν περιστερὰν καὶ συναρπάζουσι, πετομένης δ' οὐ θιγγάνουσιν· οἱ δ' ἐπὶ δένδρου μὲν ἤ τινος ἄλλου καθημένην θηρεύουσιν, ἐπὶ τῆς γῆς δ' οὖσης ἢ μετεώρου οὐχ ἅπτονται· οἱ δ' οὔτ' ἐπὶ τῆς γῆς οὔτ' ἐπ' ἄλλου καθημένης θιγγάνουσιν, ἀλλὰ πετομένην πειρῶνται λαμβάνειν· φασὶ δὲ καὶ τὰς περιστερὰς γινώσκειν ἕκαστον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πτοντα τοὺς ἐχθροὺς αὐτῶν καὶ πρὸς ματαίωσιν τῶν κακῶν σκοπῶν αὐτῶν ποιοῦνται σοφωτάτην τούτων χρῆσιν 1).

Ἐν γένει δὲ τὰ μέτρα τὰ ὁποῖα τὰ ζῶα λαμβάνουσι, τὰ μέσα τὰ ὁποῖα διαθέτουσι, τὰ τεχνάσματα τὰ ὁποῖα ἐπινοοῦσι, τὰ σοφίσματα τὰ ὁποῖα μηχανῶνται πρὸς ἄλυπον καὶ εὐμαρῆ διαγωγὴν τοῦ βίου αὐτῶν, πρὸς εὕρεσιν τῶν ἀναγκαίων, πρὸς ἀπόκτησιν τῶν ποθουμένων, πρὸς ἀποφυγὴν τῶν λυπούντων, πρὸς ματαίωσιν τῶν ἐπιβούλων σκοπῶν τῶν ἐπιβουλευομένων αὐτά, πρὸς ἄγραν τῶν διωκομένων, πρὸς ἀποφυγὴν τῶν ἐπιτιθεμένων, πρὸς καταφυγὴν καὶ σωτηρίαν αὐτῶν ἐν στιγμαῖς χαλεπαῖς καὶ ἐπικινδύνοις εἶνε τοσαῦτα καὶ τοιαῦτα 2), ὥστε, ὅταν ἀναλογισθῇ τις ἀπαθῶς καὶ ἐμβριθῶς τὴν δύναμιν τὴν ψυχικήν, ἐξ ἧς πάντα ταῦτα ἐξορμῶνται, προάγεται καὶ ἄκων εἰς τὸ νὰ ἀναφωνήσῃ τὸ τοῦ Πορφυρίου «τὰ ζῶα λογιστικὰ ὧν δρᾷ» καὶ δὴ «μᾶλλον ἡμῶν ἐστιν ἐμφρονέστερα» 3)· νὰ παραδεχθῇ δὲ τὸ τοῦ Σέξτου τοῦ Ἐμπειρικοῦ, ὅτι τὰ ζῶα ἔχουσι «καταληπτικὴν φαντασίαν μᾶλλον τῶν ἀνθρώπων» 4)· νὰ συλλογισθῇ πολὺ τὸ τοῦ Πολυβίου «τὸ τῶν ἀνθρώπων γένος, δοκοῦν πανουργότατον εἶναι τῶν ζώων, πολὺν ἔχει λόγον τοῦ φαυλότατον ὑπάρχειν» 5)· νὰ προσέξῃ πολὺ εἰς τὸν διισχυρισμὸν τοῦ Δημοκρίτου ἀποφηναμένου ἡμᾶς «μαθητὰς ἐν τοῖς μεγίστοις τῶν ζώων γεγονότας» 6) καὶ νὰ

τούτων τῶν γενῶν, ὥστε προσπετομένων, ἐὰν μὲν ᾖ τῶν μετεωροθήρων, μένειν ὅπου ἂν καθήμεναι τύχωσιν, ἐὰν δ' ᾖ τῶν χαμαιτύπων ὁ προσπεπτόμενος, οὐχ ὑπομένειν ἀλλ' ἀναπέτεσθαι. (τὰ αὐτὰ καὶ Αἰλιανὸς περὶ ζώων 3, 45).— Ἀνάλογα τούτοις καὶ ὁ *Romanes* (ἔνθ. ἀν. σελ. 330-334) καὶ ὁ *Darrwin* (αὐτόθ. σελ. 332 καὶ ἑξ.).

1) *Αἰλιανός*, περὶ ζώων 1, 37: Οἱ πελαργοὶ λυμαινομένας αὐτῶν τὰ ᾠὰ τὰς νυκτερίδας ἀμύνονται πάνυ σοφῶς . . οὐκοῦν τὸ ἐπὶ τούτοις φάρμακον ἐκεῖνό ἐστι. πλατάνου φύλλα ἐπιφέρουσι ταῖς καλιαῖς· αἱ δὲ νυκτερίδες ὅταν αὐτοῖς γειτνιάσωσι, ναρκοῦσι καὶ γίνονται λυπεῖν ἀδύνατοι . . δῶρον δ' ἄρα ἡ φύσις καὶ ταῖς χελιδόσιν ἔδωκεν οἷον . . αἱ σίλφαι καὶ τούτων τὰ ᾠὰ ἀδικοῦσιν. οὐκοῦν αἱ μητέρες σελίνου κόμην προβάλλονται τῶν βρεφῶν, καὶ ἐκείναις τὸ ἐντεῦθεν ἄδατά ἐστι.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 589, α, 4. 596, 6, 20. — *Σέξτος ὁ Ἐμπειρικός*, Πυρρων. ὑποτυπ. Α, 65 καὶ ἑξ. ἔκδ. Bekker, σελ. 16, στίχ. 19 καὶ ἑξ. — *Πλούταρχος*, Πότερα κτλ. 961 Β. 978 Β. — Περὶ τοῦ τὰ ἄλογα κτλ. 991 D. Ἐπιθι καὶ τὰ ἀν. ἐν σελ. 38 καὶ ὑποσελ. σημ. 7.

3) *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχ. 3, 14.

4) *Σέξτος ὁ Ἐμπειρικός*, Πυρρωνείων ὑποτυπώσεων Α. 68, ἔκδ. Bekker σελ. 17.

5) *Πολύβιος*, 18, 15, 15. Ἴδ. καὶ 15, 21, 6.

6) *Πλούταρχος*, Πότερα κτλ. 974 Α. Πρβλ. καὶ *Αλιανόν*, περὶ ζώων, 2, 35. 43. 3, 14.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

προσβλέψῃ οὐχὶ μετὰ τῆς συνήθους ἐπιπολαιότητος καὶ καταφρονήσεως, μεθ' ἧς διερευνῶνται τὰ ζητήματα ταῦτα, εἰς τὴν παρὰ Πλουτάρχῳ ἀναγεγραμμένην περὶ τοῦ ὀνόματος καὶ τῆς οὐσίας τῆς ψυχικῆς ταύτης δυνάμεως γνώμην τήνδε· « Ἂν γὰρ εἴπῃς, ὅπερ ἀληθές ἐστι, τούτων διδάσκαλον εἶναι τὴν φύσιν, εἰς τὴν κυριωτάτην καὶ σοφωτάτην ἀρχὴν ἀναφέρεις τὴν τῶν θηρίων φρόνησιν· ἣν εἰ μὴ λόγον οἴεσθε δεῖν μηδὲ φρόνησιν καλεῖν, ὥρα σκοπεῖν ὄνομα κάλλιον αὐτῇ καὶ τιμιώτερον, ὥσπερ ἀμέλει καὶ δι' ἔργων ἀμείνονα καὶ θαυμασιωτέραν παρέχει τὴν δύναμιν· οὐκ ἀμαθὴς οὐδ' ἀπαίδευτος, αὐτομαθὴς δέ τις μᾶλλον οὖσα καὶ ἀπροσδεής, οὐ δι' ἀσθένειαν ἀλλὰ ῥώμῃ καὶ τελειότητι τῆς κατὰ φύσιν ἀρετῆς, χαίρειν ἐῶσα τὸν παρ' ἑτέρων διὰ μαθήσεως τοῦ φρονεῖν συνερανισμόν » 1).

Ἐξίσταται ὁ νοῦς τοῦ ἀνθρώπου ἀναλογιζομένου τῶν ἀγρίων ὀρνέων τὰς οἰκήσεις 2), τῆς χλωρίδος τοῦ κοσσύφου τῆς κίσσης τῆς ἀκανθυλλίδος τὰς νεοττιάς 3), τῆς χελιδόνος τὴν σκηνοπηγίαν 4), τῆς ἀλκυόνος τὴν καλιάν 5), τῶν μελιττῶν τὰ κηρία 6), τῶν μυρμήκων

1) *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ. 991 F. — Παρόμοια τούτοις καὶ Μάξιμος ὁ Τύριος (λόγ. 16, 5): Αὐτοδίδακτόν τι χρῆμα ἀτεχνῶς ἡ ψυχὴ καὶ τὸ εἰδέναι παρὰ θεῶν τῇ φύσει εὖ ἔχον . . τὰ ζῶα αὐτοδίδακτα πρὸς τὰ αὐτῶν ἔργα, καὶ οὐδεὶς εἰπεῖν ἔχει διδασκάλους, οὐ λεόντων πρὸς ἀλκήν, οὐκ ἐλάφων πρὸς φυγήν, οὐχ ἵππων πρὸς δρόμον. ἀλλὰ καὶ ὀρνίθων γένος αὐτοδίδακτον ἐπ' ἄκρων φυτῶν ἐμηχανήσαντο καλιάδας αὐτουργῷ τέχνῃ, καὶ ἀράχναι αὐτοφυεῖ μίτῳ θήρατρα ἐν ἀέρι, καὶ ἑρπετὰ φωλεούς, καὶ ἰχθύες χηραμούς, καὶ ὅσαι ἄλλαι ζώων τέχναι πρὸς σωτηρίαν ἑκάστῳ γένει ξύμφυτοι.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 614, 6, 31. — *Πορφύριος*, περὶ ἀποχ. ἐμψύχ. 3, 9.

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 616, α, 1 καὶ ἑξ. — *Αἰλιανός*, ἔνθ. ἀν. 4, 4.

4) *Ἀριστοτέλης*, ἔνθ. ἀν. 612, 6, 19. 27. — Φυσικῆς ἀκροάσεως 199, α, 25. — *Πλούταρχος*, Πότερα κτλ. 966 D καὶ E. — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 24. — *Θεμίστιος*, Παράφρ. εἰς τὸ δεύτερον τῆς τοῦ Ἀριστοτ. φυσικῆς ἀκροάσεως, ἔκδ. Spengel, τόμ. 1, σελ. 194, στίχ. 1.

5) *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστορ. 616, α, 19-32. — *Πλούταρχος*, Πότερα κτλ. 983 C-E. — Περὶ τῆς εἰς τὰ ἔγκονα φιλοστοργίας 494 A καὶ B. — *Αἰλιανός*, περὶ ζώων 9, 17: — *Θεμίστιος*, ἔνθ. ἀν. σελ. 194, στίχ. 5.

6) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 623, 6, 27-624, α, 21. — Φυσικῆς ἀκροάσεως 199, α, 23. — *Αἰλιανός*, περὶ ζώων 1, 59. — *Θεμίστιος*, ἔνθ. ἀν. σελ. 194, στίχ. 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὰς ὑπογείους ἀτραποὺς καὶ περιόδους καὶ ἐλιγμοὺς 1), τῆς ἀράχνης τὸ εὔπηνον καὶ εὔμιτον ὑφαντικὸν ἔργον 2)!

Ἡ πάντοτε πρὸς τὴν εὐμάρειαν τοῦ βίου καὶ τὴν θεραπείαν καὶ τὴν σωτηρίαν τῶν τέκνων προσήκουσα ἐκλογὴ τοῦ τε τόπου τῆς οἰκοδομῆς τῶν οἰκήσεων τούτων καὶ τῆς ὕλης τῆς οἰκοδομητικῆς· ἡ πάντοτε καθ' ὅλους τοὺς κανόνας τῆς ἀρχιτεκτονικῆς σύνθεσις καὶ ἐγκαταπλοκὴ τῆς ὕλης ταύτης, ἡ πάντοτε κατά τε τὰς ἰδιορρύθμους βιωτικὰς ἀνάγκας ἑκάστου ζώου καὶ ἡ κατὰ τὰς ποικίλας ἐπιδράσεις τῆς ἀτμοσφαίρας καὶ τῶν λοιπῶν ἐγκοσμίων στοιχείων, ἀψύχων τε καὶ ἐμψύχων, μεθαρμογὴ τοῦ σχήματος, τοῦ μεγέθους, τῆς στερεότητος καὶ τῆς διακοσμήσεως αὐτῶν, ἡ ἁπλότης τῶν ὀργάνων τῶν οἰκοδομητικῶν καὶ τὸ κατάτεχνον τῆς ἐκτελέσεως 3) ἐκίνησαν τὸν θαυμασμὸν πάντων τῶν σπουδασάντων περὶ τὰ τοιαῦτα.

« Δεῖξόν μοι τί διαφέρει οἰκία ἀνθρώπου καὶ νεοσσιὰ πελαργοῦ, ὡς οἴκησις », ἀνακράζει ὁ Ἀρριανός 4). « Σοφώτατον καὶ γλαφυρώτατον ἀράχνιον », ἀναφωνεῖ ὁ Ἀριστοτέλης 5). « Σοφὴ εἰς ἱστουργίαν ἀράχνη », ἀντιφωνεῖ ὁ Αἰλιανός 6). « Ἀρχέτυπον κοινὸν ἱστῶν γυναιξὶ καὶ θήρας σαγηνευτικῆς ἀράχνης ἔργα », λέγει ὁ Πλούταρχος 7). « Ἀράχνης μαθηταὶ οἱ ἄνθρωποι ἐν ὑφαντικῇ καὶ ἀκεστικῇ, χελιδόνος δὲ ἐν οἰκοδομίᾳ », προσθέτει ὁ αὐτός 8). « Διανοίας ἀκρίβειαν » — ἐλέγχει — « ἡ τῆς χελιδόνος σκηνοπηγία » καὶ « τεχνικῶς ἐξείργασται ἡ τῆς

1) *Πλούταρχος*, Πότερα κτλ. 967 D. 968 A. — *Αἰλιανός*, περὶ ζ. 6, 43. 16, 15. — *Ἀριστοτέλης*, Φυσικῆς ἀκροάσεως 199, α, 22. 27. — *Θεμίστιος*, ἔνθ. ἀν. σελ. 193 ἐν τέλει.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστορ. 623, α, 7. — *Πλούταρχος*, Πότερα κτλ. 974 A. 966 E. — *Αἰλιανός*, περὶ ζ. ἱστ. 1, 21. 6, 57. — *Θεμίστιος*, ἔνθ. ἀν. σελ. 193 ἐν τέλ.

3) Ἴδ. *Ἀριστοτέλην*, *Πλούταρχον*, *Πορφύριον*, *Αἰλιανόν*, ἐν τοῖς μικρὸν ἀνωτέρω σημειωθεῖσι χωρίοις (πρὸς δὲ καὶ *Αἰλιανὸν* 3, 16) καὶ τὰς περὶ τοῦ αὐτοῦ πράγματος παρατηρήσεις τῶν καθ' ἡμᾶς σοφῶν *Hewetson*, *Boud*, *Knox*, *Couch*, *Darwin*, *Forel*, *Huber*, *Kirby*, *Spence*, *Knight* παρὰ Romanes, ἔνθ. ἀν. σελ. 196. 221-228. 270 μετὰ τῶν ὑποσελ. σημ. αὐτόθι.

4) *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 1, 28, 17: « Δεῖξόν μοι, τί διαφέρει οἰκία ἀνθρώπου, καὶ νεοσσιὰ πελαργοῦ ὡς οἴκησις· πλὴν ὅτι ὁ μὲν ἐκ δοκῶν καὶ κεραμίδων καὶ πλίνθων οἰκοδομεῖται τὰ οἰκίδια, ὁ δ' ἐκ ῥάβδων καὶ πηλοῦ ».

5) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 623, α, 7.

6) *Αἰλιανός*, περὶ ζώων 1, 21.

7) *Πλούταρχος*, Πότερα κτλ. 966 E.

8) *Πλούταρχος*, Πότερα κτλ. 974 A.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀκανθυλλίδος νεοττιά», προσθέτει Ἀριστοτέλης 1). «Θαῦμα τῆς ἀλκυόνος ἡ νεοτιά, χαλεπὸν δὲ πεισθῆναι οἷα μηχανᾶται καὶ δημιουργεῖ», ἀναφωνεῖ ὁ Πλούταρχος 2). — Οὐδὲν εὐχαριτώτερον οὐδὲ σοφώτερον τῆς μελίσσης — ἔκθαμβος ἀναφωνεῖ ὁ Αἰλιανὸς — καὶ τῶν ἐν Περσεπόλει βασιλείων τοῦ Κύρου — λέγει — καὶ τῶν Σουσείων τοῦ Δαρείου οἰκοδομημάτων καὶ τοῦ ἐν Λυδίᾳ παραδείσου Κύρου τοῦ δευτέρου αἱ τῶν μελιττῶν οἰκοδομαὶ σοφώτεραι κατὰ πολὺ καὶ τεχνηέστεραι. Αἱ δὲ σύριγγες αἱ Αἰγύπτιοι καὶ οἱ λαβύρινθοι οἱ Κρητικοὶ οὐδέν εἰσιν ὡς πρὸς τὴν σοφὴν ἐπεργασίαν τῶν ποικίλων ἀτραπῶν καὶ ἑλιγμῶν καὶ περιόδων τῶν ὑπογείων οἰκήσεων τῶν μυρμήκων — πλήρης θαυμασμοῦ προσθέτει 3).

Πρὸς τὰς ποικίλας δὲ ταύτας ἐκφράσεις τοῦ βαθυτάτου σεβασμοῦ τῶν ἀρχαίων ἀνταποκρινόμενοι οἱ καθ' ἡμᾶς σοφοὶ ὁμόφωνα τούτοις ἐν ἐξάλλῳ ἐνθουσιασμῷ ἀντιφωνοῦσιν: «Ἐξόχως θαυμάσια ἔνστικτα», λέγει ὁ Darwin 4). «Θαυμασία δεξιότης», λέγει ὁ Schuberth 5). «Θαυμαστὰ τεχνικὰ ἔνστικτα», λέγει ὁ Lotze 6). «Καταπληκτικὰ ἔργα», λέγει ὁ Oppel 7). «Πῶς δυνάμεθα ἐπαρκῶς νὰ ἐκδηλώσωμεν τὸν θαυμασμὸν ἡμῶν διὰ τὴν τεχνικὴν κατασκευὴν τῶν κηρίων τῶν μελισσῶν»; ἐν ἑνὶ στόματι λέγουσιν ὁ Huber, ὁ Kirby, ὁ Spense, ὁ Romanes 8).

Καὶ ἐν τοῖς σμικροτάτοις καὶ ἐν τοῖς μεγίστοις, καὶ ἐν τῷ μύρμηκι καὶ ἐν τῷ ἐλέφαντι, εἶνε κατάδηλος τοῦ νοῦ ἡ φύσις, λέγει ὁ Πλούταρχος 9). Οὐδὲν δὲ ἀντικείμενον τῆς φύσεως, οὐδὲν δὲ πάθος

1) *Ἀριστοτέλης*, περὶ ζώων ἱστ. 612, 6, 20. 616, α, 1.

2) *Πλούταρχος*, περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργ. 494 Β. — Πότερα κτλ. 983 C.

3) *Αἰλιανός*, περὶ ζώων 1, 59. 6, 43. 16, 15.

4) *Darwin*, Entstehung der Arten, σελ. 288-289. — *Romanes*, ἔνθ. ἀν. σελ. 288 καὶ 289. «*Wunderbarste Instinkte*».

5) *Schuberth*, ἔνθ. ἀν. σελ. 122 ἐν ἀρχῇ. «*Bewundernswerthe Geschicklichkeit*».

6) *Lotze*, Grundzüge der Psychologie, ἔκδ. 1888, σελ. 87, § 97 ἐν ἀρχῇ. «*Auffallende Kunsttriebe*».

7) *Oppel*, ἔνθ. ἀνωτ. σελ. 5 ἐν τῷ μέσῳ καὶ σελ. 6-8 «*Staunenswerthe Leistungen*».

8) *Huber*, *Kirby*, *Spense*, (Romanes ἔνθ. ἀν. σελ. 223): «*Wie sollen wir unserer Bewunderung über die Kunst ihres* (*der Biene*) *Zellenbaues . . .genügende Ausdrück verleihen;*».

9) *Πλούταρχος*, Πότερα κτλ. 968 Β: Οἶμαι δὲ μὴ ἄκαιρος ὑμῖν φανεῖσθαι τοῖς μύρμηξιν ἐπεισάγων τοὺς ἐλέφαντας, ἵνα τοῦ νοῦ τὴν φύσιν ἔν τε τοῖς μικροτάτοις ἅμα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ψυχικόν, οὐδὲν δὲ ζῶον, ὅσον μικρόν, ὅσον εὐτελὲς καὶ ἂν φαίνεται, εἶνε ἄξιον περιφρονήσεως, εἶνε ἀνάξιον προσοχῆς. Καὶ ταῦτα, ὡς δημιουργήματα τῆς φύσεως, εἶνε θεῖα, εἶνε θαυμαστά, λέγει ὁ Ἱπποκράτης καὶ ἐπικυροῖ ὁ Ἀριστοτέλης 1).

Θεῖα καὶ θαυμαστά! Τὰ ζῶα προτιθέμενα νὰ ἐπιχειρήσωσί τι σπουδαῖον ἢ νὰ ἀποφύγωσί τι δεινὸν οὐδὲν τῶν πρὸς ἐπίτευξιν τοῦ ποθουμένου παραλείπουσιν. Ὡς τινες νουνεχεῖς καὶ συνετοὶ ἄνθρωποι ἀναλογίζονται 2) καὶ παρασκευάζονται 3). Ὡς τινες δὲ πολύπει-

καὶ μεγίστοις σώμασι κατανοήσωμεν, μήτε τούτοις ἐναφανιζομένην, μήτ' ἐκείνοις ἐνδέουσαν.

1) *Ἱπποκράτης*, περὶ ἀέρων, ὑδάτων, τόπων, κεφ. 22: Ἐμοὶ δὲ καὶ αὐτῷ δοκεῖ ταῦτα τὰ πάθεα θεῖα εἶναι καὶ τἆλλα πάντα καὶ οὐδὲν ἕτερον ἑτέρου θειότερον.. ἀλλὰ πάντα ὁμοῖα καὶ πάντα θεῖα. ἕκαστον δὲ αὐτῶν ἔχει φύσιν τὴν ἑωυτοῦ καὶ οὐδὲν ἄνευ φύσεως γίνεται.— *Ἀριστοτέλης*, περὶ ζώων μορίων 645, α, 15: Δεῖ μὴ δυσχεραίνειν παιδικῶς τὴν περὶ τῶν ἀτιμοτέρων ζώων ἐπίσκεψιν· ἐν πᾶσι γὰρ τοῖς φυσικοῖς ἔνεστί τι θαυμαστόν. — Ἠθικὰ Νικομάχ. 1152, 6, 32: Πάντα γὰρ φύσει ἔχει τι θεῖον.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 631, α, 24: Οἱ δελφῖνες ὅταν διώκωσί τινα ἰχθύν.. ἐὰν ἀποφεύγῃ, συνακολουθοῦσιν εἰς βυθὸν διὰ τὸ πεινῆν· ὅταν δὲ αὐτοῖς μακρὰ γίνηται ἡ ἀναστροφή, κατέχουσι τὸ πνεῦμα ὥσπερ ἀναλογισάμενοι, καὶ συστρέψαντες ἑαυτοὺς φέρονται ὥσπερ τόξευμα, τῇ ταχυτῆτι τὸ μῆκος διελθεῖν βουλόμενοι πρὸς τὴν ἀναπνοήν. Τὰ αὐτὰ καὶ ὁ *Romanes*, ἔνθ. ἀν. σελ. 372: «Die Vernunft-ist-Erkentniss der Beziehungen zwischen angewandten Mitteln und erreichtem Entzweck».

3) *Πλούταρχος*, Πότερα κτλ. 966 B: Δι' ὧν οἱ φιλόσοφοι δεικνύουσι τὸ μετέχειν λόγου τὰ ζῶα προθέσεις εἰσὶ καὶ παρασκευαί.— *Αἰλιανός*, περὶ ζώων 3, 16: Ὅταν μέλλωσι πέρδικες πρὸς τῷ τίκτειν εἶναι παρασκευάζουσιν ἑαυτοῖς ἔκ τινων καρφῶν τὴν καλουμένην ἅλω. — *Πλούταρχος*, ἔνθ. ἀν. 971 D: Ἡ δ' ἄρκτος ὑπὸ τοῦ πάθους, ὃ καλοῦσι φωλείαν, καταλαμβανομένη, πρὶν ἢ παντάπασιν ναρκῆσαι καὶ γενέσθαι βαρεῖα καὶ δυσκίνητος, τόν τε τόπον ἀνακαθαίρει καὶ μέλλουσα καταδύεσθαι τὴν μὲν ἄλλην πορείαν ὡς ἐνδέχεται μάλιστα ποιεῖται μετέωρον καὶ ἐλαφρὰν κτλ. — *αὐτόθ.* 966 D: Τὰς δὲ χελιδόνων πρὸ τῆς τεκνοποιίας παρασκευὰς ὁρῶμεν ὡς εὖ τὰ στερεὰ κάρφη προϋποβάλλονται δίκην θεμελίων, εἶτα περιπλάττουσι τὰ κουφότερα κτλ. — *Αἰλιανός*, ἔνθ. ἀν. 6, 12: Ἡ χερσαία χελώνη διατραγοῦσα ὀριγάνου παρ' οὐδὲν ποιεῖται τὸν ἔχιν· ἐὰν δὲ ἀπορήσῃ αὐτοῦ, πήγανον ἐμφαγοῦσα ὤφλισται πρὸς τὸν ἐχθρόν. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 571, 6, 15: Ὗες οἱ ἄγριοι πρὸς ἀλλήλους ποιοῦνται μάχας θαυμαστάς, θωρακίζοντες ἑαυτοὺς καὶ ποιοῦντες τὸ δέρμα ὡς παχύτατον ἐκ παρασκευῆς πρὸς τὰ δένδρα τρίβοντες καὶ τῷ πηλῷ μολύνοντες πολλάκις καὶ ξηραίνοντες ἑαυτούς. — *Αἰλιανός*, ἔνθ. ἀν. 6, 1: Ὁ σῦς μέλλων εἰς μάχην ἰέναι πρὸς ταῖς λείαις πέτραις τοὺς ὀδόντας ὑποθήγει. (τὸ αὐτὸ καὶ *Ὅμηρος* ἐν Ἰλιάδι Λ 414. *Πλούταρχος*, ἔνθ. ἀν. 966 A. *Αἰλιανός*, ἔνθ. ἀν. 5, 45. *Αἰσώπειοι μῦθοι* ἔκδ. Halm, ἀρ. 407. ἔκδ. Κοραῆ, ἀρ. 54 καὶ πάλιν ἐν σελ. 309). *Ἀριστοτέλης* περὶ τὰ ζῶα ἱστορ. 612, α, 15: Ὁ δ' ἰχνεύμων ὁ ἐν Αἰγύπτῳ.. πρὸς δὲ τὰς πληγὰς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ροι βιοπαλαισταὶ καὶ ἐμπειρότατοι ἀγωνισταὶ προνοοῦσιν 1), ὑποπτεύονται 2), προφυλάττονται 3), κρύπτονται 4), ἑλλοχῶσι 5),

καὶ τὰ δήγματα πηλῷ καταπλάττουσιν ἑαυτούς· βρέξαντες γὰρ ἐν τῷ ὕδατι πρῶτον, οὕτω καλινδοῦνται ἐν τῇ γῇ. (τὸ αὐτὸ καὶ *Αἰλιανός*, ἔνθ. ἀν. 3, 22 καὶ *Πλούταρχος*, ἔνθ. ἀν. 966 D). — *Πλούταρχος*, ἔνθ. ἀν. 961 E: Οἱ δὲ περὶ τούτων ἀβελτέρως λέγοντες μηθ' ἥδεσθαι μήτε θυμοῦσθαι μήτε φοβεῖσθαι μήτε παρασκευάζεσθαι μήτε μνημονεύειν, ἀλλ' «ὡσανεὶ μνημονεύειν» τὴν μέλιτταν καὶ «ὡσανεὶ παρασκευάζεσθαι» τὴν χελώνην καὶ «ὡσανεὶ θυμοῦσθαι» τὸν λέοντα καὶ «ὡσανεὶ φοβεῖσθαι» τὴν ἔλαφον, οὐκ οἶδα τί χρήσονται τοῖς λέγουσι μήτε βλέπειν μήτ' ἀκούειν ἀλλ' «ὡσανεὶ βλέπειν» αὐτὰ καὶ «ὡσανεὶ ἀκούειν», μηδὲ φωνεῖν ἀλλ' «ὡσανεὶ φωνεῖν», μηδ' ὅλως ζῆν ἀλλ' «ὡσανεὶ ζῆν»· ταῦτα γὰρ ἐκείνων οὐ μᾶλλόν ἐστι λεγόμενα παρὰ τὴν ἐνάργειαν, ὡς ἐγὼ πείθομαι. (Ἰδ. αὐτόθ. καὶ 960 F.). — Περὶ παρομοίων δὲ προπαρασκευῶν ταύρων, ἐλεφάντων, λεόντων, ἀραχνῶν, μελισσῶν, χηνῶν, γεράνων, δρακόντων, γαλῶν ἴδ. *Πλούταρχον*, ἔνθ. ἀνωτ. 966 C — 967 B. *Αἰλιανόν*, 6, 1. 4. *Ἀριστοτέλ.* ἔνθ. ἀν. 612, a, 28 - 30. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Büchner, aus des Geistesleben der Thiere, ἔκδ. Leipz. 1860, σελ. 2 περὶ τὸ τέλος.

1) *Πλούταρχος*, περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργίας 494 A: Τὸ ζῶον αἰσθόμενον ὅτι κύει καὶ πεπλήρωται κοσμίως ἄπεισι καὶ προνοεῖ περὶ τὴν κύησιν καὶ σωτηρίαν τοῦ ἀποτεχθέντος. — Πότερα κτλ. 971 F: Γλαφυρώτερόν ἐστιν ἡ περὶ τῶν σκυμνίων πρόνοια τοῦ ἐχίνου. — *αὐτόθ.* 978 F: Ὁ πολύπους μεταβάλλει ἐκ προνοίας μηχανῇ χρώμενος τοῦ λανθάνειν ἃ δέδιε καὶ λαμβάνειν οἷς τρέφεται. Πρβλ. καὶ *Αἰλιανόν* ἔνθ. ἀνωτ. 5, 53. Ἔπιθι καὶ τὴν ἐν σελ. 87 ὑποσελ. σημ. 1.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 613, 6, 14: Οἱ ὄρτυγες καὶ οἱ πέρδικες.. οὐκ ἐν τῷ αὐτῷ τίκτουσι καὶ ἐπῳάζουσιν, ἵνα μή τις κατανοήσῃ τὸν τόπον πλείω χρόνον προσεδρευόντων. — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 16: Οἱ πέρδικες τὰ ᾠὰ οὐ πιστεύουσι τῇ χώρᾳ τῇ αὐτῇ, ἀλλ' ἑτέρᾳ οἱονεὶ μετοικιζόμενοι· δεδοίκασι γὰρ μή ποτε ἄρα φωραθῶσιν. — *Πλούταρχος*, Πότερα κτλ. 976 D: Τῶν δὲ θαλαττίων ὁμοῦ τι πάντων ἡ προαίσθησις ὑποπτος οὖσα καὶ πεφυλαγμένη πρὸς τὰς ἐπιθέσεις ὑπὸ συνέσεως οὐχ ἁπλοῦν τὸ τῆς ἄγρας ἔργον οὐδὲ φαῦλον ἀπείργασται. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Romanes, ἔνθ. ἀν. σελ. 155: «Hierher gehört auch die Vorsicht und Scheu der wilden Thieren» κτλ.

3) *Πλούταρχος*, Πότερα κτλ. 971 F: Τῶν δὲ χερσαίων ἐχίνων ἡ μὲν ὑπὲρ αὐτῶν ἄμυνα καὶ φυλακὴ παροιμίαν πεποίηκε «πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα» — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 619, 6, 34: Ἀετός . . τοὺς δασύποδας οὐκ εὐθὺς λαμβάνει, ἀλλ' εἰς τὸ πεδίον ἐάσας προελθεῖν· καὶ καταβαίνει δ' οὐκ εὐθὺς εἰς τὸ ἔδαφος, ἀλλ' ἀεὶ ἀπὸ τοῦ μείζονος ἐπὶ τὸ ἔλαττον κατὰ μικρόν· ἄμφω δὲ ταῦτα πρὸς ἀσφάλειαν τοῦ μὴ ἐνεδρεύεσθαι. — Πρβλ. καὶ Ἴωνος ἀπ. 38, ἔκδ. Nauck, σελ. 573 καὶ Πλουτάρχου, Πότερα κτλ. 971 C. 978 A.

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 620, 6, 17. 621, 6, 33. 620, 6, 21 καὶ 24: Ὁ βάτραχος ἐν τοῖς ἀμμώδεσι ἢ θολώδεσι κρύπτει ἑαυτόν — ἡ σηπία τῷ θόλῳ πολλάκις χρῆται κρύψεως χάριν — ἡ νάρκη κατακέκρυπται εἰς τὴν ἄμμον καὶ τὸν πηλόν, λαμβάνει δὲ τὰ ἐπινέοντα — κατακρύπτει δὲ καὶ ἡ τρυγὼν αὐτήν.. καὶ τοῦτον τὸν τρόπον ζῶσιν.

5) *Αἰλιανός*, περὶ ζώων 1, 9: Ὁ κηφὴν.. μεθ' ἡμέραν μὲν ἐν τοῖς ἀνθρηνίοις κατακέκρυπται, νύκτωρ δὲ λυμαίνεται τοῖς σίβλοις. τοῦτο αἱ μέλιτται καταμαθοῦσαι αἱ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κρύπτουσι τὰ ἴχνη αὐτῶν 1), ὑποκρίνονται 2), μηχανῶνται παντοῖα τεχνάσματα καὶ σοφίσματα 3), καὶ τὸ πάντων θαυμασιώτατον, ἀπα-

μὲν πλεῖσται καθεύδουσιν ἅτε πεπονηκυῖαι, ὀλίγαι δὲ αὐτῶν ἐλλοχῶσιν. — *αὐτόθ.* 8, 13: Τὸν ἀκοντίαν φασί.. ἐλλοχᾶν ζῶον πᾶν. — 8, 14: Λύκοι.. βοὸς μόσχον πεπλανημένον ἐλλοχήσαντες εἶτα αὐτῷ προσπηδῶσι. — 6, 57: Φάλαγγες ὑφαντικαί.. κάθηνται ἐν τῷ κέντρῳ μέσῳ ἐλλοχῶσαι τὴν ἑαυτῶν ἄγραν.

1) *Αἰλιανός*, περὶ ζώων 9, 3: Ἡ ἄρκτος ὅταν αἴσθηται ἑαυτῆς πεπλησμένης .. ζητεῖ φωλεόν.. εἶτα εἰσέρχεται οὐ βαδίζουσα, ἀλλὰ ὑπτία ἀφανίζουσα τοῖς θηραταῖς τὰ ἴχνη· ἑαυτὴν γὰρ ἐπισύρει κατὰ τὰ νῶτα. (τὸ αὐτὸ καὶ *Πλούταρχος*, Πότερα κτλ. 971 E) — *Πλούταρχος*, ἔνθ. ἀν. 966 C: Ὁ λέων ἀεὶ βαδίζει συνεστραμμένους τοῖς ποσὶν ἐντὸς ἀποκρύπτων τοὺς ὄνυχας, ἵνα μή.. καταλίπωσιν εὐπορίαν τοῖς στιβεύουσιν (τὰ αὐτὰ καὶ Αἰλιανὸς περὶ ζώων 9, 30). — *Αἰλιανός*, ἔνθ. ἀνωτ. 6, 47: Εἰς τὴν κοίτην τὴν συνήθη οὐ πάρεισιν ὁ λαγὼς πρὶν ἢ ταράξαι τὰ ἴχνη, πῇ μὲν ἐσιών, πῇ δὲ ἐξιών, ἵνα ἀφανίσῃ τὴν ἐκ τῶν θηρατῶν εἰς αὐτὸν ἐπιβουλήν. — *Πλούταρχος*, ἔνθ. ἀν. 971 D: Οἱ δασίποδες πρὸς εὐνὴν ἐπανιόντες.. πολλαχόθι ταῖς μεταδρομαῖς ἴχνη θέντες, τὸ δ' ἔσχατον ἅλμα μέγα καὶ μακρὰν τῶν ἰχνῶν ἀποσπάσαντες οὕτω καθεύδουσιν.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 4, 16: Ὁ τιθασσὸς πέρδιξ ἔστηκεν ἐλλοχῶν πρὸς τῇ πάγῃ, ὁ δὲ τῶν ἀγρίων κορυφαῖος μαχούμενος ἔρχεται.. ὁ τοίνυν τιθασσὸς ἐπὶ πόδα ἀναχωρεῖ δεδιέναι σκηπτόμενος. κτλ. — *αὐτόθ.* 5, 54. Ἡ πάρδαλις καὶ τοῦ πιθήκου δολερώτερον· οἷας γοῦν ἐπ' αὐτοῖς παλαμᾶταί τε καὶ ῥάπτει τὰς πάγας. ὅπου πλῆθος πιθήκων κάθηνται, ἐνταῦθα ἐλθοῦσα ἑαυτὴν ὑπέρριψε τῷ δένδρῳ καὶ κεῖται κατὰ τοῦ δαπέδου ὑπτία, καὶ τὴν μὲν γαστέρα διώγκωσε, παρῆκε δὲ τὰ σκέλη, τὸν δὲ ὀφθαλμὸν κατέμυσε, πιέζει γε μὴν τὸ ἄσθμα καὶ κεῖται νεκρὰ δὴ κτλ. — τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Romanes ἔνθ. ἀνωτ. σελ. 343: «Dass gewisse Affen sich todt stellen, und zwar zu dem wohlbedachten Zweck .. um ihre Opfer zu täuschen» — τὸ τοῦ *Thompson* περὶ τῆς ὑποκρίσεως τοῦ πιθήκου (Romanes αὐτόθ.) εἶνε πιστὴ ἐπανάληψις τῶν τοῦ Αἰλιανοῦ περὶ τῆς ὑποκρίσεως τῆς παρδάλεως. Τὰ αὐτὰ καὶ ὁ *Bryden* (αὐτόθ. 345) καὶ ὁ *Bidie* καὶ ὁ *Morgam* (αὐτόθ. σελ. 356. 347).

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 614 6, 34: Τῶν ἀγρίων ὀρνέων .. οἱ μὲν εὐμήχανοι πρὸς τὸν βίον, οἱ δὲ ἀμηχανώτεροι. — *αὐτόθ.* 616, 6, 34: Τῶν ἑρωδιῶν ὁ πέλλος .. εὐμήχανον καὶ δειπνοφόρον. — *αὐτόθ.* 616, 6, 20: Ἡ δὲ κρὲξ τὸ μὲν ἦθος μάχιμος, τὴν δὲ διάνοιαν εὐμήχανος πρὸς τὸν βίον, ἄλλως δὲ κακόποτμος ὄρνις. — *αὐτόθ.* 613, 6, 25: Οἱ πέρδικες διὰ τὸ εἶναι ἀφροδισιαστικοί, ὅπως μὴ ἐπωάζῃ ἡ θήλεια, οἱ ἄρρενες τὰ ᾠὰ διακυλινδοῦσι καὶ συντρίβουσιν, ἐὰν εὕρωσιν· ἡ δὲ θήλεια ἀντιμηχανωμένη ἀποδιδράσκουσα τίκτει, καὶ πολλάκις διὰ τὸ ὀργᾶν τεκεῖν, ὅπου ἂν τύχῃ, ἐκβάλλει, ἂν μὴ παρῇ ὁ ἄρρην. καὶ ὅπως σώζηται ἀθρόα, οὐκ ἔρχεται πρὸς αὐτά. καὶ ἐὰν ὑπ' ἀνθρώπου ὀφθῇ, ὥσπερ περὶ τοὺς νεοττούς, οὕτω καὶ ἀπὸ τῶν ᾠῶν ὑπάγει, πρὸ ποδῶν φαινομένη τοῦ ἀνθρώπου, ἕως ἂν ἀπαγάγῃ. — *Αἰλιανός*, περὶ ζώων 6, 23: Οἷα δ' ἄρα σοφίσματα καὶ τοῖς σκορπίοις ἡ φύσις ἔοικε δοῦναι καὶ ταῖσδε ἴδια. οἱ λίθους τὸ πλῆθος αὐτῶν ὑφορώμενοι καὶ τὰ τεχνάσματα μηχανὰς αὐτοῖς μυρίας ἀντεπινοοῦσι κτλ. — *αὐτόθ.* 3, 30: Σοφώτατος ὁ κόκκυξ καὶ πλέκειν εὐπόρους ἐξ ἀπόρων μηχανὰς δεινότατος. — *Πλούταρχος*, Πότερα κτλ. 977 C: Ταῦτα μὲν οὖν γνῶσιν ἐμφαίνει καὶ χρῆσιν ἐπὶ καιρῷ τοῦ συμφέροντος εὐμήχανον καὶ περιττήν. — Ἴδ. καὶ *Ἀριστοτέλ.* ἔνθ. ἀν. 618, α, 25. *Πλούταρχ.*, ἔνθ. ἀν. 967 C. *Αἰλιαν.*, 5, 54.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶσι 1), διασκέπτονται καὶ δοκιμάζουσιν ἐξακριβοῦντα τὸ ἐφικτὸν τῆς προτιθεμένης ἐπιχειρήσεως 2), ὑποβάλλουσιν ὑπὸ δοκιμασίαν τὰ συντελεσθέντα ἔργα αὐτῶν καὶ μεθαρμόζουσιν αὐτά, ὅταν παραστῇ ἀνάγκη, κατὰ τὰ ἐκ ταύτης πορίσματα 3)· παλαιούμενα δὲ καὶ ὑπόσαθρα γενόμενα ἐπιδιορθοῦσιν 4). Σταθμίζουσι νουνεχῶς τὰς περιστάσεις καὶ

1) *Αἰλιανός*, περὶ ζώων 13, 11 : Σοφὸν ἀπατᾶν ἡ ἀλώπηξ καὶ δόλους οἶδεν. — *Ξενοφῶν*, Κυνηγετικὸς 3, 7 : Αἱ κύνες αἱ ἀσπαζόμεναι τὰ ψευδῆ . . προάγουσι συνειδυῖαι ἑαυταῖς ὅτι ἐξαπατῶσιν. — *Αἰλιανὸς*, ἔνθ. ἀν. 13, 14 : Ὁ λαγὼς δρόμον ἕνα καὶ εὐθὺν οὐ θεῖ, δεῦρο δὲ καὶ ἐκεῖσε παρακλίνει, καὶ ἐξελίττει τῇ καὶ τῇ ἐκπλήττων τοὺς κύνας καὶ ἀπατῶν. — *αὐτόθ.* 10, 5 : Οἱ κοχλίαι ἴσασιν εἶναι σφίσι πολεμίους τοὺς πέρδικας καὶ τοὺς ἐρωδιούς . . οὗτοι μὲν καὶ ἀπατῶσι καὶ περιέρχονταί τινι φυσικῇ σοφίᾳ τοὺς προειρημένους. — *Πλούταρχος*, Πότερα κτλ. 978 F : Ὁ πολύπους παρακρουόμενος, τὰ μὲν αἱρεῖ τὰ δὲ ἐκφεύγει. — Ἴδε καὶ *Πλούταρχον*, περὶ τῆς εἰς τὰ ἔγκονα κτλ. 494. Πότερα κτλ. 971 C. Περὶ τοῦ τὰ ἄλογα κτλ. 992 B. *Ἀριστοτέλην*, περὶ ζῶα ἱστορ. 613, 6, 17 καὶ 30. ἀπόσπ. 270, σελ. 1527, α, 3. *Ἀθήναιον*, Δειπνοσοφιστ. 9, 389, 6. *Αἰλιανόν*, 11, 38.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα κτλ. 614 6, 18 : Φρόνιμα δὲ πολλὰ καὶ περὶ τοὺς γεράνους δοκεῖ συμβαίνειν· ἐκτοπίζουσί τε γὰρ μακρὰν καὶ εἰς ὕψος πέτονται πρὸς τὸ καθορᾶν τὰ πόρρω, καὶ ἐὰν ἴδωσι νέφη καὶ χειμέρια, καταπτᾶσαι ἡσυχάζουσιν. — *Πλούταρχος*, Πότερα κτλ. 968 E : Περὶ δὲ τῶν ἀγρίων καὶ αὐτονόμων ἄλλα τε θαυμάσια καὶ τὰ περὶ τὰς διαβάσεις τῶν ποταμῶν ἱστοροῦσι· προδιαβαίνει γὰρ ἐπιδοὺς αὐτὸν ὁ νεώτατος καὶ μικρότατος· οἱ δ' ἑστῶτες ἀποθεωροῦσιν ὡς, ἂν ἐκεῖνος ὑπεραίρῃ τῷ μεγέθει τὸ ῥεῦμα, πολλὴν τοῖς μείζοσι πρὸς τὸ θαρρεῖν περιουσίαν τῆς ἀσφαλείας οὖσαν. — *Ἀριστοτέλης*, ἔνθ. ἀν. 619, α, 32 : Ἀετὸς ὅταν κυνηγήσῃ καὶ ἄρῃ, τίθησι καὶ οὐκ εὐθὺς φέρει, ἀλλ' ἀποπειραθεὶς τοῦ βάρους ἀφίησιν. — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 55 : Ἐν τοῖς Ἰνδοῖς οἱ ἐλέφαντες, ὅταν τι τῶν δένδρων αὐτόρριζον ἀναγκάζωσιν αὐτοὺς οἱ Ἰνδοὶ ἐκσπᾶσαι, οὐ πρότερον ἐμπηδῶσιν οὐδὲ ἐπιχειροῦσι τῷ ἔργῳ πρὶν ἢ δασεῖσαι αὐτὸ καὶ διασκέψασθαι ἆρά γε ἀνατραπῆναι οἷόν τέ ἐστιν ἢ παντελῶς ἀδύνατον. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Oppel, ἔνθ. ἀνωτ. σελ. 14.

3) *Πλούταρχος*, Πότερον κτλ. 983 C : Ὅταν δὲ συντελέσῃ — ἡ ἀλκυὼν τὴν νεοττιὰν — φέρουσα παρέθηκε παρὰ τὸ κλύσμα τοῦ κύματος, ὅπου προσπίπτουσα μαλακῶς ἡ θάλασσα τὸ μὲν οὐ καλῶς ἁραρὸς ἐδίδαξεν ἀκέσασθαι καὶ καταπυκνῶσαι, χαλώμενον ὁρῶσα ὑπὸ τῆς πληγῆς· τὰ δ' ἠρμοσμένα κατασφίγγει καὶ πήγνυσιν, ὥστε καὶ λίθῳ καὶ σιδήρῳ δυσδιάλυτον εἶναι καὶ δύστρωτον. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Oppel, ἔνθ. ἀν. σελ. 3 καὶ 4, ὅστις καὶ ἐπάγεται τάδε : « *Die Thiere haben allerdings Vernunft und Ueberlegung, sie beobachten und folgern, sie prüfen und beplanen.* Τὰ αὐτὰ καὶ ὁ Francis Darvin παρὰ Romanes σελ. 334. « *In jedem Fall zeigten sie eine beachtenswerthe Fähigkeit zur Benutzung dessen, was sie durch Erfahrung gelernt hatten.*

4) *Αἰλιανός*, ἔνθ. ἀν. 6, 57 : Αἱ φάλαγγές εἰσιν ὡς εἰπεῖν καὶ ὑφάντριαι γενναῖαι καὶ ἀκεστικὴν εὐπάλαμοι· καὶ ὅ,τι ἂν διαρρήξῃς ἐκείνων τῆς εὐπήνου τε καὶ εὐμίτου σοφίας, αἱ δὲ ἀνακοῦνται, καὶ ἀπαθὲς καὶ ὁλόκληρον αὖθις ἀποδείκνυνται. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 625, α, 11 : Καὶ τὰ πίπτοντα δὲ τῶν κηρίων ὀρθοῦσιν αἱ μέλιτται, καὶ ὑφιστᾶσιν ἐρείσματα, ὅπως ἂν δύνωνται ὑπιέναι. Ἴδ. αὐτόθ. καὶ 625, 6, 19.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μετ' ἄκρας ὑπομονῆς ἀναμένουσι τὸν πρὸς ἐνέργειαν εὔθετον χρόνον 1). Γνωρίζουσι τὰς συνεπείας τῶν κακῶν αὐτῶν πράξεων καὶ ἐγκαίρως μεταρρυθμίζουσι τὸν τρόπον τῆς ἐνεργείας αὐτῶν, ἀποφεύγοντα οὕτω πᾶσαν ἐνόχλησιν καὶ πᾶσαν βλάβην 2). Ἐλπίζουσι 3), σφάλλονται 4), μετανοοῦσιν 5).

Ἂν δὲ κατὰ τὸν ἀτομικὸν βίον τὰ ζῶα δὲν φαίνονται ἐν πᾶσι τῶν ἀνθρώπων κατώτερα, ἀλλὰ κατὰ τὸν οἰκογενειακὸν βεβαίως οὐδαμῶς ὑστεροῦσιν αὐτῶν.

Ἐν ἄκρᾳ σωφροσύνῃ ἀγνότατον τὸν νεανικὸν αὐτῶν βίον διά-

—Αὐταῖς λέξεσι τὰ αὐτὰ περὶ τῶν αὐτῶν καὶ ὁ *Huber*, ὁ *Kirby*, ὁ *Spence* (Romanes ἔνθ. ἀν. σελ. 222 ἐν ἀρχῇ).

1) *Αἰλιανός*, 5, 11: Αἱ μέλισσαι οὐκ ἀμοιροῦσι οὐδὲ τῆς εἰς τὸ προμηθὲς σοφίας καὶ Ἀριστοτέλης τεκμηριοῖ ὁ λέγων. ἔστι δὲ τοιοῦτον. ἐλθοῦσαι μέλιτται ἐπί τι σμῆνος οὐκ οἰκεῖον ἀλλὰ ἕτερον, εἶτα τὸ μηδὲν σφίσι προσῆκον ἐκεράϊζον μέλι. αἱ δὲ καίτοι συλώμεναι τὸν σφέτερον πόνον, ὅμως ἐνεκαρτέρουν ἡσυχῇ ἀτρεμοῦσαι, εἶτα μέντοι τὸ μέλλον ἐγκρατῶς ἐκαραδόκουν. ἐπεὶ δὲ ὁ μελιττουργὸς τὰς πολλὰς τῶν ἐχθρῶν ἀπέκτεινεν, αἱ ἔνδον καταγνοῦσαι ὅτι ἄρα δύνανται ἀξιόπιστοι εἶναι πρὸς τὴν μάχην τὴν ἰσοπαλῆ, προελθοῦσαι κἀτ' ἠμύναντο, καὶ δίκας ἀπῄτησαν ὑπὲρ ὧν ἐσυλήθησαν οὐδαμῶς μεμπτάς. (Ἴδ. καὶ *Ἀριστοτέλην*, 626. 6, 10-15).— *αὐτόθ.* 5, 56: Αἱ ἐν Σύροις ἔλαφοι γίνονται μὲν ἐν ὄρεσι μεγίστοις, Ἀμανῷ τε καὶ Λιβάνῳ καὶ Καρμήλῳ· ὅταν δὲ βουληθῶσι παραιώσασθαι τὴν θάλατταν, ἐπὶ τὰς ἠόνας ἀφικνοῦνται ἡ ἀγέλη, καὶ ἀναμένουσι τοῦ πνεύματος τὴν ῥᾳδίσιν, καὶ ἡνίκα ἂν αἴσθωνται πρᾶον αὐτὸ καὶ ἥσυχον καταπνέον, τηνικαῦτα ἐπιθαρροῦσι τῷ πελάγει. — Παράδειγμα ἐπίσης ὑπομονῆς καὶ εὐστοχίας τῶν καιρῶν λαμπρότατον ἴδε αὐτόθ. 5, 53. Ἴδ. ἐπιθ. δὲ καὶ ἀν. τὴν ἐν σ. 83 ὑποσελ. σημ. 3.

2) *Ὅμηρος*, Ἰλ. Ο 585: Ἀντίλοχος δ' οὐ μεῖνε, θοὸς περ ἐὼν πολεμιστής, | ἀλλ' ὃ γ' ἄρ' ἔτρεσε θηρὶ κακὸν ῥέξαντι ἐοικώς, | ὅς τε κύνα κτείνας ἢ βουκόλον ἀμφὶ βόεσσιν | φεύγει πρὶν περ δμιλον ἀολλισθήμεναι ἀνδρῶν.

3) *Πλούταρχος*, Πότερα κτλ. 960 F Ἂν ἀφέλης παντάπασι προσδοκίαν μνήμην πρόθεσιν παρασκευὴν τὸ ἐλπίζειν.. τὸ ἀσχάλλειν οὔτε ὀμμάτων ὄφελος οὐδὲν τοῖς ζώοις παρόντων οὔτε ὤτων. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 612, α, 11: Αὐτοῦ προσαλλομένη ἡ πάρδαλις καὶ ἐλπίζουσα λήψεσθαι (τὸ ἐπὶ τοῦ δένδρου κρεμασθὲν ὑπὸ τῶν κυνηγῶν δέλεαρ) τελευτᾷ. — *Αἰλιανός*, ἔνθ. ἀν. 4, 26: Νεοττοὶ ἀετῶν καὶ κοράκων καὶ ἰκτίνων.. ἐλπίδι τοῦ δείπνου.. μεταθέουσι καὶ αἱροῦσιν ὥκιστα (τὰς ἀλώπεκας). *Ξενοφῶν*, περὶ ἱππικῆς 8, 14: Ἵππος καὶ διαπηδᾷη δ' ἂν καὶ ἐξάλλοιτο καὶ τἆλλα πάντα ὑπηρετοίη ἄν, εἰ προσδοκῴη ὁπότε τὰ σημαινόμενα πράξειε ῥᾳστώνην τινά.

4) *Πολύβιος*, 18, 15, 15: Τὰ ζῶα ταῖς τοῦ σώματος ἐπιθυμίαις δουλεύοντα, διὰ ταύτας σφάλλεται. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοὶ Leroy, Romanes κτλ. (Ἴδ. Romanes ἔνθ. ἀνωτ. σελ. 155 καὶ 307).

5) *Ἀρριανός*, Ἰνδικὴ 14, 4: Θυμόσοφον εἴπερ τι ἄλλο θηρίον ἐλέφας.. ὃ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν ἀμβάτην ὑπὸ μετανοίης τε καὶ ἀθυμίης ἀπέθανεν. Ἴδ. καὶ *Πλούταρχον*, Πότερα κτλ. 961 D.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γοντα, οὐδαμῶς οὐδέποτε τῆς ἀώρου Ἀφροδίτης γευόμενα, ὅταν σημάνῃ τῆς φύσεως ἡ πρόσφορος πρὸς παιδογονίαν ὥρα, ἐξ ἔρωτος ἀμοιβαίου καὶ διαπύρου καὶ πολλὰ μὲν ἄλλα τῶν ζώων, μάλιστα δὲ τὰ πτηνά, συναντῶνται ἄρρεν καὶ θῆλυ καὶ συνδυάζονται πρὸς τεκνογονίαν· συνδυασθέντα δὲ ἅπαξ τὸν λοιπὸν χρόνον ὁσίως καὶ δικαίως ζῶσι, πιστοὶ διὰ παντὸς τοῦ βίου αὐτῶν σύζυγοι καὶ ἀφωσιωμένοι διαμένοντες 1).

Προῖκες μεγάλαι καὶ κληρονομίαι προσδοκώμεναι, τὰ παρεκτρέποντα οὐχὶ σπανίως τοὺς γάμους τῶν λογικῶν ζώων ἀπὸ τῆς κατὰ φύσιν πορείας αὐτῶν, ἐνταῦθα παρὰ τοῖς ἀλόγοις ζώοις οὐδεμιᾶς προσοχῆς ἀξιοῦνται. Τὰ ἄλογα ταῦτα ζῶα δὲν μολύνουσι τὸ ὕψιστον ἔργον τῆς ἐγκοσμίου οἰκονομίας, τὸ ἔργον τῆς διαιωνίσεως τοῦ γένους, διὰ τῶν τοιούτων καὶ τῶν τούτοις παραπλησίων ἀφιλοτίμων καὶ ἀνελευθέρων τῶν λογικῶν ζώων ὑστερολογισμῶν 2). Συνέρχονται εἰς γάμου κοινωνίαν μόνον ἐξ ἀμοιβαίας ἐρωτικῆς διαθέσεως καὶ μόνον πρὸς τὸν ὑψηλὸν σκοπὸν τῆς φύσεως, πρὸς τὸν σκοπὸν τῆς τεκνογονίας 3).

1) *Πλάτων*, Νόμοι 840 D: Οὐ δεῖ χείρους ἡμῖν εἶναι τοὺς πολίτας ὀρνίθων καὶ ἄλλων θηρίων πολλῶν, οἳ κατὰ μεγάλας ἀγέλας γεννηθέντες μέχρι μὲν παιδογονίας ἦθεοι καὶ ἀκήρατοι γάμων τε ἀγνοὶ ζῶσιν, ὅταν δὲ εἰς τοῦτο ἡλικίας ἔλθωσιν συνδυασθέντες ἄρρην θηλείᾳ κατὰ χάριν καὶ θήλεια ἄρρενι τὸν λοιπὸν χρόνον ὁσίως καὶ δικαίως ζῶσιν, ἐμμένοντες βεβαίως ταῖς πρώταις τῆς φιλίας ὁμολογίαις.

2) *Πλούταρχος*, Ἐρωτικὸς 754 A καὶ ἑξ.: Πλοῦτον δὲ γυναικὸς αἱρεῖσθαι πρὸ ἀρετῆς ἢ γένους ἀφιλότιμον κἀνελεύθερον. — Περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργίας 493 E: Ὅρα περὶ τοὺς γάμους ὅσον ἐστὶν ἐν τοῖς ζώοις τὸ κατὰ φύσιν· πρῶτον οὐκ ἀναμένει νόμους ἀγαμίου καὶ ὀψιγαμίου, καθάπερ οἱ Λυκούργου πολῖται καὶ Σόλωνος· οὐδ' ἀτιμίας ἀτέκνων δέδοικεν, οὐδὲ τιμὰς διώκει τρίπαιδας, ὡς Ῥωμαίων πολλοὶ γαμοῦσι καὶ γεννῶσιν, οὐχ ἵνα κληρονόμους ἔχωσιν, ἀλλ' ἵνα κληρονομεῖν δύνανται — Ἰδ. *αὐτόθ.* καὶ βίον Μάρκου Κάτωνος, κεφ. 20, σ. 327. *Αἰλιανόν*, περὶ ζ. 1, 14.

3) *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ. 989 A: Τὰ θηρία τὰς ἡδονὰς καὶ τοὺς ἔρωτας πρὸς τὰ ὁμόφυλα ποιεῖται. — *αὐτόθ.* Πότερα κτλ. 972 D: Ἔρωτες πολλῶν οἱ μὲν ἄγριοι καὶ περιμανεῖς γεγόνασιν, οἱ δ' ἔχοντες οὐκ ἀπάνθρωπον ὡραϊσμόν, οὐδ' ἀναφρόδιτον ὁμιλίαν — Περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργίας 493 F: Μίγνυται τῷ θήλει τὸ ἄρρεν οὐχ ἅπαντα χρόνον· ἡδονὴν γὰρ οὐκ ἔχει τέλος ἀλλὰ γέννησιν καὶ τέκνωσιν. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 10: Τὰ ζῶα ζωογονεῖ τέκνων ἕνεκα, καὶ τὰ πλεῖστα, ὅταν ἐγκύμονα ποιήσῃ τὴν θήλειαν, οὔτε αὐτὰ ἐπιβαίνειν ἐπιχειρεῖ, οὔτε τὸ θῆλυ ἀνέχεται. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. — Ἴδε Wundt, ἔνθ. ἀνωτ. τόμ. 2, σελ. 190 καὶ 192 ἐν ἀρχῇ: Wir haben beweisende Beispiele dafür beigebracht, dass die Schliessung der Ehe bei den Thieren immer auf freier Wahl beruht. Καὶ παρακατιών: So finden wir in der Thierehe demnach keineswegs eine bloss zu geschlechtlichen Zwecken entstandene Vereinigung, sondern es ist ein gewisses sittliches Gefühl, das dieselbe zusammenhält.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Κατὰ τὸ ἔαρ, ὅτε οἱ ἄνεμοι μαλακῶς πνέουσιν καὶ ἡ γῆ ἐξανθεῖ καὶ ἡ ἀτμοσφαῖρα εἶνε εὐώδης καὶ ἀπαλή, τὰ ἄρρενα κατὰ πάντα τρόπον καλλωπιζόμενα καὶ λαμπρυνόμενα, αἴροντα τὸν αὐχένα καὶ κυρτοῦντα τὴν κεφαλὴν καὶ ἀνατείνοντα ἄνω τὴν οὐρὰν καὶ τὰ σκέλη μετεωρίζοντα ἢ περιπαθῶς φωνοῦντα καὶ λιγυρῶς καὶ ἐρωτικῶς ᾄδοντα πρᾶα καὶ ἥπια προσέρχονται πρὸς τὸ θῆλυ. Τοῦτο δὲ δρόσου καθαρᾶς καὶ χλόης καὶ λειμώνων ἥδιστα ὀδωδὸς καὶ ἰδίῳ κόσμῳ ἀγαλλόμενον καὶ ἡδέως ἀποπνέον χειρόηθες καὶ ποθεινὸν συνέρχεται εἰς ταὐτὸ τῷ ἄρρενι, μεθ' ὃ φιλοφρονούμενα καὶ κατασπαζόμενα ἄλληλα συμφέρονται εἰς τοὺς γάμους αὐτῶν 1).

Τινὰ τῶν ζώων συνέρχονται εἰς γάμου κοινωνίαν μόνον μετὰ τῆς ἐκλεκτῆς τῆς καρδίας αὐτῶν καὶ μόνον κατὰ τὴν ὥραν τὴν ὑπὸ

1) *Αἰλιανός*, περὶ ζώων 9, 63: Ἥρος ἐναρμάζοντος καὶ τῆς γῆς ἐξανθούσης οἶστρου ἀφροδισίου τὰ ζῶα ὑποπίμπλαται καὶ μνημονεύει γάμων καὶ ἀλλήλοις συμπλέκεσθαι ὀργᾷ τά τε ὄρεια καὶ ὅσα ἐνθαλαττεύει καὶ μετεωροπορεῖ. — *Ξενοφῶν*, περὶ ἱππικῆς 10, 4: Ὁ ἵππος ὅταν λυθεὶς θέῃ . . παρὰ θηλείας, τότε αἴρει τε τὸν αὐχένα ἀνωτάτω καὶ κυρτοῖ μάλιστα τὴν κεφαλὴν γοργούμενος, καὶ τὰ μὲν σκέλη ὑγρὰ μετεωρίζει, τὴν δὲ οὐρὰν ἄνω ἀνατείνει . . σχηματοποιεῖται . . καλλωπίζεται. — *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστορ. 536, α, 13: Καὶ τὴν ὀλολυγόνα δὲ τὴν γινομένην ἐν τῷ ὕδατι οἱ βάτραχοι οἱ ἄρρενες ποιοῦσιν, ὅταν ἀνακαλῶνται τὰς θηλείας πρὸς τὴν ὀχείαν· εἰσὶ γὰρ ἑκάστοις τῶν ζώων ἴδιαι φωναὶ πρὸς τὴν ὁμιλίαν καὶ τὸν πλησιασμόν, οἷον ὑσὶ καὶ τράγοις καὶ προβάτοις — *αὐτόθ.* 488, α, 33: Καὶ τὰ μὲν κωτίλα τὰ δὲ σιγηλά· τὰ δ' ᾠδικὰ τὰ δ' ἄνωδα· πάντων δὲ κοινὸν τὸ περὶ τὰς ὀχείας μάλιστα ᾄδειν καὶ λαλεῖν. — *αὐτόθ.* 633, α, 9: Τὰ ὄρνεα καὶ μάλιστα καὶ πλείστας ἀφίησι φωνάς, ὅταν ὦσι περὶ τὴν ὀχείαν. — *αὐτόθ.* 536, α, 24: Πολύφωνα δ' ἐστὶ καὶ λαλίστερα τὰ ἔλαττω τῶν μεγάλων (ὀρνίθων)· καὶ μάλιστα περὶ τὴν ὀχείαν ἕκαστον γίνεται τῶν ὀρνέων τοιοῦτον. — *Πλούταρχος*, περὶ τῆς εἰς τὰ ἔκγονα κτλ. 493 F: Ἔτους ὥρᾳ, ἣ πνοάς τε γονίμους ἔχει καὶ πρόσφορον λοχευομένοις κρᾶσιν, συνῆλθεν εἰς ταὐτὸ τῷ ἄρρενι τὸ θῆλυ χειρόηθες καὶ ποθεινόν, ἰδίᾳ μὲν ὁσμῇ χρωτός, ἰδίῳ δὲ κόσμῳ σώματος ἀγαλλόμενον, δρόσου καὶ βοτάνης ἀνάπλεων καθαρᾶς. — Περὶ τοῦ τὰ ἄλογα κτλ. 990 C: Ἀλλὰ κάπρους τε σύες καὶ τράγους αἶγες καὶ τἆλλα θήλεα ἐπάγονται τοὺς συννόμους αὐτῶν ταῖς ἰδίαις ὀσμαῖς δρόσου καθαρᾶς καὶ λειμώνων ὀδωδότα καὶ χλόης συμφέρεται πρὸς τοὺς γάμους ὑπὸ κοινῆς φιλοφροσύνης. — *Αἰλιανός*, ἔνθ. ἀν. 4, 7: Ἵπποι (πρὸ τοῦ γάμου) ἀσπάζονται σφᾶς καὶ φιλοφρονοῦνται. — Ἶδ. *αὐτόθ.* 9, 13 καὶ *Πλούταρχον*, Πότερα κτλ. 982 E καὶ *Ἀριστοτέλην*, περὶ τὰ ζ. ἱστ. 542, α, 21 καὶ *Μάξιμον τὸν Τύριον*, λόγ. 26, 6: Ἴδε καὶ τὴν ἐν σελ. 64 ὑποσελ. σημ. 2 καὶ τὴν ἐν σελ. 55 ὑποσ. σημ. 4. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἶδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 188 ἐν ἀρχῇ: «Allgemein wird behauptet, dass die männlichen Singvögel sich durch ihren Gesang um die Weibchen bewerben. Die Paradiesvögel sollen sich im Menge um ihre Weibchen schaaren, ihr prächtiges Gefilder enfalten, bis dann das Weibchen denjenigen Bewerber erkiest, der ihr am besten gefält».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῆς φύσεως ὡρισμένην 1). Ὀλίγιστα ζῶσιν ἐν πολυγαμίᾳ, ὥς τινες Ἀνατολῖται Μῆδοι καὶ Πέρσαι 2), τὰ δὲ πλεῖστα ἐν μονογαμίᾳ βίον αὐτόχρημα οἰκογενειακόν 3), καὶ δὴ καὶ συμπεφυρμένον μετὰ πάντων τῶν κακῶν καὶ τῶν ἀγαθῶν, ἅτινα ἐν τῷ οἰκογενειακῷ βίῳ τῶν ἀνθρώπων προφαίνονται.

Καὶ ἐν τῷ οἰκογενειακῷ βίῳ τῶν ζώων συμβαίνουσι δηλ. ζηλοτυπίαι ὀλέθριαι 4), ἀπιστίαι συζυγικαὶ σκανδαλώδεις 5), παραμελήσεις

1) Ἀριστοτέλης, περὶ τὰ ζῶα ἱστ. 571, ϵ, 11 καὶ ἐξ. 572, 6, 9. — *Αἰλιανός*, περὶ τὰ ζ. 1, 26. 10, 1. — *Πλούταρχος*, περὶ τῆς εἰς τὰ ἔγκ. φιλοστ. 493 F — Περὶ τοῦ τὰ ἄλογα κτλ. 990 C.

2) *Αἰλιανός*, περὶ ζ. 1, 14: Κόσσυφοι οἱ θαλάττιοι . . γαμοῦσιν ἕκαστος πολλὰς . . καὶ τοῦτο φαίης ἂν εἶναι τρυφώντων εἰς εὐνὴν βαρβάρων καὶ ὡς ἂν εἴποις βίον Μηδικόν τε καὶ Περσικόν. — *αὐτόθ.* 1, 26: Περὶ τῆς πολυγαμίας τῶν σαργῶν.— Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 187 ἐν τέλει: « Wenige Thiere nur haben Vielweiberei ». Ἐν δὲ τῇ σελ. 188 περὶ τὸ μέσον τάδε: « Polygamisch leben ausser unserem Hahn der Strauss und Kasuar . . Der Hahn ist orientalischen Ursprungs. Es scheint so als wenn bei Menschen und Thieren ähnliche Naturbedingungen ähnliche Sitte erzeugten ».

3) Ἀριστοτέλης, περὶ τὰ ζῶα ἱστ. 631, 6, 1: Οἱ δελφῖνες διατρίβουσι μετ' ἀλλήλων κατὰ συζυγίας οἱ ἄρρενες ταῖς θηλείαις. — *αὐτόθ.* 613, α, 14: Ἔχει τὸν ἄρρενα ἡ τρυγὼν τὸν αὐτὸν καὶ ἡ φάττα καὶ ἄλλον οὐ προσίενται. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 2, 23, ἔκδ. Potter, σελ. 503: Αἰσχρόν γε αὐτοῖς δοκεῖ τὸ καὶ τῶν ἀλόγων ζώων τὸν ὑπὸ Θεοῦ δημιουργηθέντα ἄνθρωπον ἀκρατέστερον εἶναι· ἃ τὴν ἐπιμιξίαν οὐ ποιεῖται πρὸς πολλὰ καὶ ἀναίδην, ἀλλὰ πρὸς ἓν καὶ ὁμόφυλον· οἷαι αἱ πελιάδες καὶ αἱ φάσσαι καὶ τὸ τρυγόνων γένος καὶ ὅσα τούτοις παραπλήσια. — Τὸν αὐτὸν οἰκογενειακὸν ἐν μονογαμίᾳ βίον ζῶσι σχεδὸν πάντα τὰ πτηνά· αἱ περιστεραί, αἱ ἀλκυόνες, αἱ κορῶναι καὶ οὕτω καθεξῆς, περὶ ὧν ἴδε *Ἀριστοτέλην*, ἔνθ. ἀν. 612, 6, 31. *Πλούταρχον*, Πότερα κτλ. 983 A. 989 A. *Αἰλιανόν*, 3, 5 καὶ 9. Ἴδε ἀν. καὶ τὴν ἐν σελ. 43 ὑποσελ. σημ. 4 καὶ παράβαλε πρὸς ταῦτα καὶ τὸν Wundt (2, 187-188) τὰ αὐτὰ περὶ τούτων λέγοντα, ὡς ἕπεται: Die Thiere treten in Familien und Staaten . . Unter den Vögeln und Säugthieren ist das Familienleben fast die Regel . . Die meisten Thiere leben in Monogamie . . Alle unsere nistende Vögel, die Elstern, Störche, Schwalben, Sperlinge, Taube usw. leben in Monogamie. Τὰ αὐτὰ καὶ ὁ *Schuberth*, ἔνθ. ἀν. σελ. 108.

4) *Αἰλιανός*, περὶ ζώων, 1, 26: Ὀργῶσιν ἐπὶ τὰς θηλείας καὶ οἱ θαλάττιοι κάνθαροι . . καὶ εἰσὶ ζηλότυποι καὶ ἴδοις ἂν μάχην ὑπὲρ τῶν θηλειῶν μάχην κρατερὰν· καὶ ἔστιν ὁ ἀγών . . ὑπὲρ τῆς ἰδίας συννόμου ὡς ὑπὲρ γαμετῆς τῷ Μενελάῳ πρὸς τὸν Πάριν. — Ἀριστοτέλης, περὶ τὰ ζ. ἱστ. 572, 6, 9: Οἱ ἄρρενες ἵπποι διαγινώσκουσι τὰς θηλείας τὰς συννόμους ταῖς ὀσμαῖς· κἂν ἀναμιχθῶσιν ἀλλήλαις, ἐξελαύνουσι δάκνοντες καὶ νέμονται χωρὶς ἕκαστοι τὰς ἑαυτῶν ἔχοντες. Ἴδ. καὶ *Αἰλιανόν*, 10, 1 καὶ τὴν ἐν σελ. 67 ὑποσελ. σημ. 2.

5) Ἔρωτες δηλ. νεαρῶν συζύγων ἀνδρῶν ἡλικιωμένων πρὸς νεαρωτέρους καὶ ὡραιοτέρους καὶ μοιχείαι: *Αἰλιανός*, περὶ ζώων 10, 1: Σπανίως ἐλέφας ἐρᾷ· ἔστι γὰρ σώφρων . . ἀκούω δ' οὖν ἐλεφάντων πάθος ἐρωτικὸν καὶ ἄξιον θαυμάσαι αὐτό . , ἀνὴρ τῆς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

συζύγων ἀνελεύθεροι 1), παραμελήσεις καὶ ἐγκαταλείψεις καὶ ἐκβολαὶ τέκνων ἄστοργοι καὶ σκληραὶ 2), παιδοκτονίαι Σπαρτιατικαί 3), παιδοκτονίαι μιαραί 4), συζυγοκτονίαι στυγεραί, ἔριδες ἀδελφῶν ἀπαί-

τούτων ἄγρας οὐκ ἄπειρος . . φησὶν ἐν συγγραφῇ νέαν μόσχον ἐλέφαντος ὡραίαν ὡς ἐκείνοις ἰδεῖν συνελθεῖν ἐλέφαντι νέῳ καὶ καλῷ, πρεσβύτερον δὲ ἄλλον εἴτε ἀνὴρ ἦν, εἴτε ἐραστὴς τῆς προειρημένης, ὥσπερ οὖν ἀτιμασθέντα ἀγανακτῆσαι . . ὡς ὑπέρ τινος νύμφης ἢ ἐρωμένης ἀλγῶν. — *Πορφύριος*, περὶ ἀποχ. ἐμψύχ. 3, 11: Τὰ δὲ συναγελαστικὰ ὅπως τηρεῖ τὸ δίκαιον τὸ πρὸς ἄλληλα τίς ἀγνοεῖ; . . τίς δὲ σωφροσύνης φαττῶν πρὸς τοὺς συνοίκους, αἳ καὶ μοιχευθεῖσαι ἀναιροῦσιν, εἰ λάβοιεν τὸν μοιχεύσαντα; — Τὴν μοιχείαν ταύτην τῶν φαττῶν ἀναφέρει καὶ ὁ *Αἰλιανός*, ἔνθ. ἀν. 3, 44 ἐπεκτείνων αὐτὴν καὶ ἐπὶ τῶν τρυγόνων. Ὁ δὲ *Wundt* (τόμ. 2, σελ. 191) καὶ ὁ Schuberth (σελ. 140) καὶ ὁ Oppel (σελ. 390) ἐπαναλαμβάνουσιν αὐτὴν μὲ τὴν διαφορὰν ὅτι τὴν φάτταν τοῦ Πορφυρίου καὶ τοῦ Αἰλιανοῦ καὶ τὴν τρυγόνα τοῦ αὐτοῦ μεταβάλλουσιν εἰς πελαργόν. Ἐν Λαμίᾳ τὸ πρᾶγμα φέρεται εἰς τὰ στόματα πάντων, καθότι πρὸ εἰκοσαετίας περίπου συνέβη τοιοῦτόν τι εἰς τοὺς πελαργοὺς τοὺς νεοττεύοντας ἐπὶ τῆς οἰκίας φαρμακοποιοῦ τινος τῶν ἐκεῖ.

1) *Αἰλιανός*, περὶ ζώων 15, 19: Χερσαία χελώνη ζώων λαγνίστατον, ἀλλ' ὅ γε ἄρρην· ὁμιλεῖ δὲ ἡ θήλεια ἄκουσα . . ἡ θήλεια οὐκ ἄλλως ὁμιλεῖ ἢ πρὸς τὸν ἄρρενα ὁρῶσα· καὶ ὁ μὲν ἐξέπλησε τὴν ἐπιθυμίαν κᾆτα ἀπηλλάγη, ἡ δὲ ἑαυτὴν ἐπιστρέψαι ἡκίστη ἐστί τῷ τε ὄγκῳ τοῦ χελωνίου καὶ ἐρεισθεῖσα ἐς τὴν γῆν.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 614, 6, 32: Τῶν δ' ἀγρίων ὀρνέων . . εἰσὶν οἱ μὲν εὔτεκνοι αὐτῶν καὶ ἐπιμελεῖς τῶν τέκνων, οἱ δὲ τοὐναντίον. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 631, α, 11: Ὁ κόκκυξ τίκτει μὲν οὖν ἓν ᾠόν, ἐπωάζει δὲ οὐκ αὐτός, ἀλλ' ἐν οὗ ἂν τέκῃ νεοττιᾷ οὗτος ὁ ὄρνις ἐκκολάπτει καὶ τρέφει. — Μουσαίου ἔπη, Müllach, Fragm. Philos. Graec. τόμ. 1, σελ. 160: Ἀετός τρία μὲν τίκτει, δύο δ' ἐκλέπει, ἓν δ' ἀλεγίζει. — *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστ. 563, α, 17: Ὁ ἀετὸς ᾠὰ μὲν τίκτει τρία, ἐκλέπει δὲ τούτων τὰ δύο . . ὡς μὲν οὖν τὰ πολλὰ οὕτω συμβαίνει. ἤδη δὲ καὶ τρεῖς νεοττοὶ ὠμμένοι εἰσίν· ἐκβάλλει δὲ αὐξανομένων τὸν ἕτερον τῶν νεοττῶν ἀχθόμενος τῇ ἐδωδῇ. — καὶ παρακατιών: 619, 6, 26: Ἐκβάλλει τὰ τέκνα ὁ ἀετὸς πρὸ ὥρας ἔτι βίου δεόμενα καὶ οὔπω δυνάμενα πέτεσθαι. Πρβλ. καὶ Πλούταρχον ἐν βίῳ Μαρίου, κεφ. 36, σελ. 426. — *Ἀριστοτέλην*, περὶ τὰ ζῶα ἱστ. 618, α, 25. — Τὰ αὐτὰ ἀπαράλλακτα περὶ τοῦ κόκκυγος καὶ ἄλλων πτηνῶν καὶ οἱ καθ' ἡμᾶς σοφοὶ Darwin, Romanes κτλ. (ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 275 - 278 καὶ σελ. 381 ἐν τέλει).

3) *Πλούταρχος*, Πότερα κτλ. 982 D: Ὁ κροκόδειλος . . ἐκλαπέντων τῶν σκύμνων, ὃς ἂν εὐθὺς ἀναδὺς μὴ λάβῃ τι τῶν προστυχόντων, ἢ μυῖαν ἢ σέριφον ἢ γῆς ἔντερον ἢ κάρφος ἢ βοτάνην τῷ στόματι, διασπαράξασα τοῦτον ἡ μήτηρ ἀπέκτεινε δακοῦσα· τὰ δὲ θυμοειδῆ καὶ δραστήρια στέργει καὶ περιέπει. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 620, α, 1: Ὁ δὲ ἁλιάετος ὀξυωπέστατος μέν ἐστι, καὶ τὰ τέκνα ἀναγκάζει ἔτι ψιλὰ ὄντα πρὸς τὸν ἥλιον βλέπειν, καὶ τὸν μὴ βουλόμενον κόπτει καὶ στρέφει, καὶ ὁποτέρου ἂν ἔμπροσθεν οἱ ὀφθαλμοὶ δακρύσωσιν, τοῦτον ἀποκτείνει, τὸν δ' ἕτερον ἐκτρέφει. — Τὰ αὐτὰ καὶ Αἰλιανός 2, 3. 9, 3.

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 619, 6, 27: Ἐκβάλλειν δὲ δοκεῖ ὁ ἀετὸς τοὺς νεοττοὺς διὰ φθόνον . . φθονεῖ οὖν τοῖς νεοττοῖς ἀδρυνομένοις, ὅτι φαγεῖν ἀγαθοὶ γίνονται καὶ σπᾷ τοῖς ὄνυξιν. — *Αἰλιανός*, ἔνθ. ἀν. 6, 27: Αἰλούρων ὁ μὲν ἄρρην ἐστὶ λαγνίστατος, ὁ δὲ θῆλυς φιλότεκνος, φεύγει δὲ τὴν πρὸς τὸν ἄρρενα ὁμιλίαν . . εἰδὼς οὖν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σιαι, πατροκτονίαι ἀνόσιοι, μητροκτονίαι ἄθεοι καὶ ἀνίεροι 1), ἀπαράλλακτα ὅπως καὶ ἐν τῷ οἰκογενειακῷ βίῳ τῶν ἀνθρώπων 2).

ὁ ἄρρην τοῦτο τὰ κοινὰ βρέφη διαχρῆται, ἡ δὲ παίδων ἑτέρων πόθῳ ἑαυτὴν παρέχει συνελθεῖν γλιχομένῳ (τὰ αὐτὰ καὶ Ἡρόδοτος 2, 66).—*αὐτόθ.* 10, 16: Ἡ ὗς καὶ τῶν ἰδίων τέκνων ὑπὸ τῆς λαιμαργίας ἀφειδῶς ἔχει. — *Κλήμης* ὁ *Ἀλεξανδρεύς*, Στρωματεῖς 7, 4. ἔκδ. Potter, σελ. 842: Χάριεν τὸ τοῦ Ἀντιφῶντος· οἰωνισαμένου τινός, ὅτι κατέφαγεν ὗς τὰ δελφάκια, θεασάμενος αὐτὴν ὑπὸ λιμοῦ διὰ μικροψυχίαν τοῦ τρέφοντος κατισχναμένην· «Χαῖρε, εἶπεν, ἐπὶ τῷ σημείῳ· ὅτι οὔτω πεινῶσα, τὰ σὰ οὐκ ἔφαγε τέκνα». — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστοριῶν 558, 6, 16: Αἱ δὲ Ἀδριαναὶ ἀλεκτορίδες . . εἰσὶ χαλεπαὶ καὶ κτείνουσι τοὺς νεοττοὺς πολλάκις. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοὶ περὶ τῆς παιδοκτονίας τῶν χοίρων, τῶν μυῶν καὶ ἄλλων τινῶν ζώων. Ἰδ. Romanes, ἔνθ. ἀν. σελ. 184 - 186.

1) *Αἰλιανός*, ἔνθ. ἀν. 1, 24: Ὁ ἔχις περιπλακεὶς τῇ θηλείᾳ μίγνυται· ἡ δὲ ἀνέχεται τοῦ νυμφίου καὶ λυπεῖ οὐδὲ ἕν. ὅταν δὲ πρὸς τῷ τέλει τῶν ἀφροδισίων ὦσι . . ἐμφῦσα αὐτῷ τῷ τραχήλῳ, διακόπτει αὐτὸν αὐτῇ κεφαλῇ· καὶ ὁ μὲν τέθνηκεν, ἡ δὲ ἔγκαρπον ἔχει τὴν μῖξιν καὶ κύει. τίκτει δὲ οὐκ ᾠά, ἀλλὰ βρέφη, καὶ ἔστιν ἐνεργὰ ἤδη κατὰ τὴν αὐτῶν φύσιν τὴν κακίστην. διεσθίει γοῦν τὴν μητρῴαν νηδὺν καὶ πρόεισι πάραυτα τιμωροῦντα τῷ πατρί. τί οὖν οἱ Ὀρέσται καὶ οἱ Ἀλκμαίωνες πρὸς ταῦτα, ὦ τραγῳδοὶ φίλοι; — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 555, α, 22: Τίκτουσι δὲ καὶ οἱ σκορπίοι οἱ χερσαῖοι σκωλήκια ᾠειδῆ πολλά, καὶ ἐπῳάζουσιν. ὅταν δὲ τελειωθῇ, ἐκβάλλονται, ὥσπερ οἱ ἀράχναι, καὶ ἀπόλλυνται ὑπὸ τῶν τέκνων. — *αὐτόθ.* 555, 6, 9: Τὰ δὲ φαλάγγια τίκτει εἰς γύργαθον πλεξάμενα παχύν, ἐφ' ᾧ ἐπῳάζουσιν . . τίκτουσι δὲ πολὺ πλῆθος καὶ αὐξηθέντα περιέχει κύκλῳ τὸ φαλάγγιον καὶ ἀποκτείνει τὴν τεκοῦσαν ἐκβάλλοντα, πολλάκις δὲ καὶ τὸν ἄρρενα, ἐὰν λάθωσι. συνεπῳάζει γὰρ τῇ θηλείᾳ. ἐνίοτε δὲ τὸ πλῆθος γίνονται καὶ τριακόσια περὶ ἓν φαλάγγιον. — *Πλούταρχος*, Πότερα κτλ. 962 E: Ἵπποι οἱ ποτάμιοι τοὺς πατέρας ἀποκτιννύουσιν, ἵνα τὰς μητέρας ὀχεύσωσιν. — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 19: Ἀσεβέστατον ὁ ποτάμιος ἵππος· γεύεται γὰρ καὶ τοῦ πατρός. — *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστ. 619, 6, 27 καὶ ἑξ.: Ἐκβάλλειν δὲ δοκεῖ ὁ ἀετὸς τοὺς νεοττοὺς διὰ φθόνον . . φθονεῖ οὖν τοῖς νεοττοῖς ἀδρυνομένοις, ὅτι φαγεῖν ἀγαθοὶ γίνονται, καὶ σπᾷ τοῖς ὄνυξιν. μάχονται δὲ καὶ οἱ νεοττοὶ ἑαυτοῖς περὶ τῆς ἕδρας καὶ τῆς τροφῆς.

2) *Ἀριστοτέλης*, Προβλήματα, σελ. 950, 6, 32: Ἄνθρωπος . . ζώων ἁπάντων ἀδικώτατον. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 10: Εἰσὶ δὲ καὶ κακίαι ἄφθονοι ἐν τοῖς ζώοις, εἰ καὶ μὴ οὕτω κέχυνται ὥσπερ ἐν ἀνθρώποις· ἔστιν γὰρ αὐτῶν ἡ κακία κουφοτέρα τῆς τῶν ἀνθρώπων. — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 18: Ἄνθρωποι καὶ τῶν ἀνδρῶν ὑπογηρώντων καταφρονοῦσι καὶ πρὸς τὰ μειράκια ἀφορῶσι· καὶ οἱ γήμαντες περὶ τὰς νέας ἠνέμωνται, τῶν ἀφηλικεστέρων γαμετῶν ὥραν μὴ τιθέμενοι, καὶ οὐκ αἰδοῦνται οἱ ἔμφωνοι τῶν ἀλόγων ζώων βιοῦντες ἀλογώτερον. — *Πλούταρχος*, λείψανα συγγραμμάτων ἀδήλων 145, 6, (ἔκδ. Βερναρδάκη, τόμ. 7, σελ. 171): Πῶς δὲ οὐκ ἄλογον πολλοὺς τῶν ἀνθρώπων ἐπ' αἰσθήσει μόνον ζῶντας ὁρῶντας νοῦν δὲ καὶ λόγον οὐκ ἔχοντας, πολλοὺς δὲ πάλιν ὠμότητι καὶ θυμῷ καὶ πλεονεξίᾳ τὰ φοβερώτατα τῶν θηρίων ὑπερβεβληκότας, παιδοφόνους καὶ πατροκτόνους, τυράννους κτλ. (τὰ αὐτὰ καὶ Πορφύριος, περὶ ἀποχῆς κτλ. 3, 19). — Περὶ τῶν ὠμοτάτων ἐθίμων τῶν ἀγρίων καὶ θηριωδῶν ἐθνῶν, τῶν Μασσαγετῶν, τῶν Δερβίκων, τῶν Τιβαρηνῶν, τῶν Ὑρκανίων, τῶν Κασπίων, τῶν Σκυθῶν, τῶν Βακτρίων καὶ τῶν τοιούτων Ἰδ. *Πορφύριον*, ἔνθ. ἀν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἀλλὰ παρὰ τοῖς ζώοις τὰ τοιαῦτα ἀνοσιουργήματα εἶνε σπανιώτατα. Συνηθέστατα δὲ ὁ οἰκογενειακὸς αὐτῶν βίος εἶνε ἁγνὸς καὶ ἄμεμπτος, ἔστιν ὅτε δὲ καὶ τέλειον καὶ ἀμώμητον οἰκογενειακοῦ βίου παράδειγμα.

Οἱ ἄνδρες ἀγαπῶσι περιπαθέστατα τὰς γυναῖκας αὐτῶν καὶ σφόδρα ἐπιμελοῦνται αὐτῶν. Κατὰ τὰς ὠδίνας καὶ τὴν λοχείαν προσπαθοῦσι νὰ καταστήσωσι τὸν βίον αὐτῶν ὅσον ἐνδέχεται ὀλιγώτερον ἀνιαρόν. Ἀπαλλάτουσιν αὐτὰς πάσης ἄλλης φροντίδος αὐτοὶ φρουροῦντες περὶ τὴν φωλεάν, αὐτοὶ μεταβαίνοντες πρὸς ἀναζήτησιν τροφῆς, αὐτοὶ προμηθεύοντες τὰ χρειώδη εἰς αὐτάς 1). Κινδυνευούσης τῆς συζύγου σπεύδουσι πρὸς αὐτήν, συμπαρίστανται αὐτῇ, ἀγωνίζονται ὑπὲρ τῆς σωτηρίας αὐτῆς καὶ κατὰ πάντα τρόπον προσέχουσι μή τι ἐνοχληθῇ ἢ βλαβῇ αὕτη 2). Αἱ γυναῖκες ἐπίσης ἀγαπῶσι περιπαθῶς τοὺς ἄνδρας αὐτῶν. Συμμορφοῦνται, καίπερ ἀνιώμεναι πολλάκις, πρὸς

4, 21. Τὴν μητροκτονίαν τοῦ Ὀρέστου πάντες γινώσκουσι. Τὴν ἀπιστίαν τῆς Ἑλένης πρὸς τὸν σύζυγον αὐτῆς οὐδεὶς ἀγνοεῖ. Τὴν πρὸς τὸν σύζυγον ἀπιστίαν καὶ προδοσίαν τῆς Ἐριφύλης ὁ φιλομαθὴς δύναται νὰ ἴδῃ ἐν Ὁμήρου Ὀδυσ. λ 326 καὶ νὰ ἐπανεύρῃ ἐν Ἀρριανῷ (Ἐπικτήτου διατριβαί 2, 22, 32). Περὶ τῶν στυγερῶν παιδοκτονιῶν τῶν παμμιάρων γυναίων Μηδείας τῆς Κόλχου καὶ Πρόκνης τῆς Ἀθίδος καὶ Λαϊνίλλας τῆς Ρωμαίας δύναται προχείρως νὰ ἀναγνώσῃ τις ἐν Αἰλιανῷ, ἔνθ. ἀν. 7, 15. Περὶ τούτων δὲ καὶ τῶν τοιούτων μιαριῶν λέγεται ἐν τῇ Ἱερᾷ Γραφῇ (Λευιτικὸν 18, 27): «*Πάντα γὰρ τὰ βδελύγματα ταῦτα ἐποίησαν οἱ ἄνθρωποι τῆς γῆς . . καὶ ἐμιάνθη ἡ γῆ*». Ὁποῖα δέ τινα εἶνε *τὰ ἀνθρώπινα ταῦτα βδελύγματα τὰ μιαίνοντα τὴν γῆν* δύναται ὁ φιλομαθὴς νὰ ἴδῃ ἐν τῷ 18 τούτῳ κεφαλαίῳ τοῦ Λευιτικοῦ ἀπ' ἀρχῆς μέχρι τέλους, αὐτόθ. ἐν τῷ κεφαλαίῳ 20, 9-27 καὶ ἐν Βασιλειῶν Δ' 6, 28-31.

1) *Αἰλιανός*, ἔνθ. ἀν. 1, 14: Κόσσυφος ὁ θαλάττιός ἐστι ἰχθύων ζηλοτυπώτατος καὶ τὴν ἄλλως μὲν, οὐχ ἥκιστα δὲ ὅταν αἱ νύμφαι τίκτωσιν αὐτῷ . . αἱ μὲν ὠδίνων ἤδη πειρώμεναι ἠρεμοῦσί τε καὶ ἔνδον μένουσιν, ὁ δὲ ἄρρην, οἷα δὴ που γαμέτης, περιθυρῶν τὰς ἐπιδουλὰς φυλάττει τὰς ἔξωθεν . . καὶ διημερεύει μὲν ἐπὶ τῇ φρουρᾷ πάντων ἄγευστος . . δείλης δὲ ὀψίας γενομένης ἀφεῖται τῆς ἀνάγκης τῆσδε καὶ μαστεύει τροφήν, καὶ οὐκ ἀτυχεῖ αὐτῆς. καὶ ἑκάστη δὲ ἄρα εὑρίσκει τῶν ἔνδον, εἴτε ἐπ' ὠδῖσιν εἴη εἴτε ἤδη λεχώ, φυκία πολλὰ τῶν ἐν ταῖς ὀπαῖς καὶ περὶ τὰς πέτρας, ἃ οἱ δεῖπνόν ἐστιν. Ἴδ. αὐτόθ. καὶ 12, 14.

2) *Αἰλιανός*, περὶ ζώων 7, 36: Ἐν τοῖς κινδύνοις οἱ σύννομοι ἔχονται ἀλλήλοις. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 608, 6,15: Βοηθητικώτερον καὶ ἀνδρειότερον τὸ ἄρρεν τοῦ θήλεός ἐστιν, ἐπεὶ καὶ ἐν τοῖς μαλακίοις ὅταν τῷ τριώδοντι πληγῇ ἡ σηπία, ὁ μὲν ἄρρην βοηθεῖ τῇ θηλείᾳ, ἡ δὲ θήλεια φεύγει τοῦ ἄρρενος πληγέντος. — *Αἰλιανός*, ἔνθ. ἀν. 10, 8: Ὁ δελφὶς ὁ θῆλυς μαζοὺς ἔχει κατὰ τὰς γυναῖκας, καὶ θηλάζει τὰ βρέφη πάνυ ἀφθόνῳ καὶ πολλῷ τῷ γάλακτι. νήχονται δὲ κοινῇ . . καὶ προνήχονται μὲν οἱ νέοι, ἐπινήχονται δὲ αἱ θήλειαι, καὶ οἱ ἄρρενες οὐραγοῦσιν ἐφορῶντές τε καὶ παραφυλάττοντες τὴν τῶν ἐκγόνων τε καὶ τῶν γαμετῶν νῆξιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὰς ἐπιθυμίας αὐτῶν, ὅπως μὴ δυσαρεστήσωσιν αὐτούς. Τρέχουσι πρὸς βοήθειαν αὐτῶν ἐν κινδύνῳ εὑρισκομένων. Γηράσκοντας δὲ καὶ ἐξασθενοῦντας γηροφοροῦσιν καὶ γηροτροφοῦσιν οὐδέποτε αὐτῶν ἀποχωριζόμεναι. Ἀποθανόντων τῶν ἀνδρῶν περιπίπτουσιν εἰς βαρυτάτην ἀθυμίαν, ἥτις πολλάκις γίνεται παραιτία καὶ τοῦ θανάτου αὐτῶν 1). Οὕτω δὲ ἐν διαθέρμῳ καὶ ἀμοιβαίᾳ συζυγικῇ ἀγάπῃ συζῶντες γυνὴ καὶ ἀνὴρ παραμένουσι δι' ὅλου τοῦ βίου αὐτῶν πιστότατοι σύζυγοι καὶ σφόδρα πρὸς ἀλλήλους ἀφωσιωμένοι, οὔτε ὀθνείου ποτὲ λέχους ἁπτόμενοι οὔτε διασπώμενοί ποτε ἀπ' ἀλλήλων, πλὴν πρὸ τοῦ τάφου, ὅτε ἐν χηρείᾳ τὸ ὑπόλοιπον τοῦ βίου αὐτῶν διάγουσιν 2).

---

1) *Πλούταρχος*, Πότερα κτλ. 982 F. 983 C: Ποίας ἄξιον τῷ φιλάνδρῳ πελειάδας παραβάλλειν; .. ἡ δὲ ἀλκυὼν οὕτω φιλανδρός ἐστιν, ὥστε μὴ καθ' ἕνα καιρὸν ἀλλὰ δι' ἔτους συνεῖναι καὶ προσδέχεσθαι τὴν τοῦ ἄρρενος ὁμιλίαν οὐ διὰ τὸ ἀκόλαστον.. ἀλλ' ὑπ' εὐνοίας ὥσπερ γυνὴ γαμετὴ καὶ φιλοφρόσυνης· ὅταν δὲ διὰ γῆρας ἀσθενὴς ὁ ἄρρην γένηται συνέπεσθαι καὶ βαρύς, ὑπολαβοῦσα γηροφορεῖ καὶ γηροτροφεῖ, μηδαμοῦ προϊεμένη μηδὲ καταλείπουσα χωρὶς ἀλλὰ τοῖς ὤμοις ἐκείνη ἀναθεμένη καὶ κομίζει πανταχόσε καὶ θεραπεύει καὶ σύνεστιν ἄχρι τελευτῆς. (τὸ αὐτὸ καὶ ὁ Αἰλιανός 7, 17). — *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστορ. 628, 6, 19: Ἐὰν δὲ λάβῃ τις τῶν ποδῶν σφῆκα καὶ τοῖς πτεροῖς ἐᾷ βομβεῖν, προσπέτονται οἱ ἄκεντροι, οἱ δὲ τὰ κέντρα ἔχοντες οὐ προσπέτονται· ᾧ τινες τεκμηρίῳ χρῶνται ὡς τῶν μὲν ἀρρένων ὄντων τῶν δὲ θηλειῶν.— *Αἰλιανός*, περὶ ζώων 1, 15: Οἱ δὲ θήλεις κάσσυφοι (οἱ θαλάττιοι) ἕως μὲν ἄρρενα ὁρῶσι προασπίζοντα (αὐτάς), ὡς ἂν εἴποις, μένουσιν ἔνδον καὶ τὸ τῆς οἰκουρίας φυλάττουσι σχῆμα· ὅταν δὲ ἀφανισθῇ, ἀλύουσιν αἴδε, προάγει τε αὐτὰς καὶ ἐξάγει ἡ ἀθυμία καὶ ἐνταῦθα ἑαλώκασιν.

2) *Αἰλιανός*, περὶ ζώων 3, 9: Κορῶναι ἀλλήλαις εἰσὶ πιστόταται καὶ ὅταν εἰς κοινωνίαν συνέλθωσι, πάνυ σφόδρα ἀγαπῶσαι σφᾶς. — *αὐτόθ.* 3, 44: Σωφρονέσταται ὀρνίθων αἱ φάτται ᾄδονται. ὁ γοῦν ἄρρην καὶ ὁ θῆλυς συνδυασθέντες καὶ οἱονεὶ συμπνεύσαντες εἰς γάμον ἀλλήλων ἔχονται καὶ σωφρονοῦσιν καὶ οὐκ ἂν ὀθνείου λέχους οὐδέτερος ἅψαιτο τῶν ὀρνίθων τῶνδε. — *αὐτόθ.* 10, 33: Ἡ τρυγὼν πλὴν τοῦ συννόμου ὅτῳ καὶ συνῆλθεν ἐξ ἀρχῆς μὴ ἂν ποτε ὁμιλήσειεν ἀσπαζομένη λέχος ὀθνεῖόν τε καὶ ἀλλότριον. — *Πλούταρχος*, Πότερα κτλ. 983 A. Ἀλκυὼν ἄλλῳ οὐ μίγνυται (πλὴν τῷ γαμέτῃ). — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 612, 6, 32: Αἱ περιστεραὶ οὔτε συνδυάζεσθαι θέλουσι πλείοσιν οὔτε προλείπουσι τὴν κοινωνίαν, πλὴν ἐὰν χῆρος ἢ χήρα γένηται (τὸ αὐτὸ καὶ Αἰλιανός, ἔνθ. ἀν. 3, 5). — *Αἰλιανός* ἔνθ. ἀν. 3, 9: Περὶ τῶν κορωνῶν λέγουσιν οἱ τὰ ὑπὲρ τούτων ἀκριβοῦντες ὅτι ἂν ἀποθάνῃ τὸ ἕτερον, τὸ λοιπὸν χηρεύει (τὸ αὐτὸ καὶ *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ. 989 A). Τὰ αὐτὰ ἀπαρέλλακτα καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Wund, ἔνθ. ἀν. τόμ. 2, σελ. 188 ἐν τέλει: Das Taubenpaar .. die Zuneigung ist eine gegenseitige. Sie sitzen am liebsten dicht zusammen und schnäbeln sich unzähligmal. Den Tod der einen Ehehälfte überlebt manchmal die andere nicht. Aehnlich ist das Verhältniss zwischen den meisten andern in Monogamie lebenden Vögeln.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Καὶ τοιαῦται μὲν εἶνε αἱ σχέσεις τῶν συζύγων πρὸς ἀλλήλους, «συνδιασθέντες ἄρρην θηλείᾳ καὶ θήλεια ἄρρενι τὸν λοιπὸν χρόνον ὁσίως καὶ δικαίως ζῶσιν ἐμμένοντες βεβαίως ταῖς πρώταις τῆς φιλίας ὁμολογίαις», ὡς χαριέστατα λέγει ὁ Πλάτων 1). Ἡ δὲ πρὸς τὰ ἔκγονα φιλοστοργία «οὐδενὶ τῶν ἡμερωτάτων ζώων ὑπερβολὴν γλυκυθυμίας καὶ χρηστότητος ἀπολέλοιπεν», ὡς ὀρθότατα παρατηρεῖ ὁ Πλούταρχος 2),

Ἅμα τὸ θῆλυ καταστῇ ἔγκυον, ἀσχολεῖται μετὰ τοῦ συζύγου εἰς τὴν εὕρεσιν τόπου καταλλήλου πρὸς τεκνοποίησιν 3). Τούτου συντελεσθέντος κατασκευάζουσιν ἀμφότερα ἐν κοινῇ συνεργασίᾳ τὴν φωλεὰν αὐτῶν, εἰς ἣν εἰσερχόμενα ἀποτίκτουσιν 4).

Καὶ εἶνε μὲν φύσει αἱ μητέρες φροντιστικώτεραι τῶν τέκνων ἢ οἱ πατέρες 5), ἀλλὰ καὶ οὗτοι δὲν πράττουσιν ὀλίγα ὑπὲρ τῶν γεννωμένων τέκνων αὐτῶν. Ἔτι ἐν σπέρμασιν κατακείμενα ὡς καὶ κατὰ τὴν βρεφικὴν αὐτῶν ἡλικίαν οἱ πατέρες μετὰ μεγίστης αὐταπαρνήσεως προσπαθοῦσι ἐκ παντὸς τρόπου νὰ ἐξασφαλίσωσιν αὐτὰ ἀπὸ παντὸς κινδύνου ἀπειλοῦντος τὴν ὕπαρξιν αὐτῶν6) Τὴν μητέρα κατα-

1) Πλάτων, Νόμοι 840 D. ἴδ. καὶ ἀνωτ. σελ. 105 σημ. 1.

2) *Πλούταρχος*, Πότερα κτλ. 982 A.

3) *Πλούταρχος*, Πότερα κτλ. 981 F. Ἀλλ' ἥ γε πρόνοια κοινὴ τοῖς τίκτουσι τῶν γεννωμένων. — Περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργίας 494 A: Τὸ θῆλυ αἰσθόμενον ὅτι κύει καὶ πεπλήρωται κοσμίως ἄπεισι καὶ προνοεῖ περὶ τὴν κύησιν καὶ σωτηρίαν τοῦ ἀποτεχθέντος.—*Πορφύριος*, περὶ ἀποχῆς κτλ. 3, 10: Τὰ ζῶα ὅταν ἐγκύμονα ποιήσῃ τὴν θήλειαν.. τόπου προνοεῖ, οὗ μέλλουσι τίκτειν.

4) *Αἰλιανός*, περὶ ζώων 3, 16: Ὅταν μέλλωσι πέρδικες πρὸς τῷ τίκτειν εἶναι, παρασκευάζουσιν ἑαυτοῖς ἔκ τινων καρφῶν τὴν καλουμένην ἅλω. πλέγμα δέ ἐστι κοῖλον καὶ ἐγκαθίσαι μάλα ἐπιτήδειον. καὶ κόνιν ἐγχέοντες, καὶ μαλακήν τινα οἷον κοίτην ἐργασάμενοι, καὶ ἐνδύντες .. κατὰ πολλὴν τὴν εἰρήνην ἀποτίκτουσιν. Ἔπιθι καὶ τὰ ἐν ταῖς σελ. 97-98 ἀνωτέρω ἀναγεγραμμένα.

5) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 608 6, 2: Τὰ θήλεα περὶ τὴν τῶν τέκνων τροφὴν φροντιστικώτερα.

6) *Πλούταρχος*, Πότερα κτλ. 981 F: Οἱ ἄρρενες .. προσδιατρίβουσι τοῖς κυήμασιν ὡφυλακοῦντες. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 621, α, 20: Τῶν δὲ ποταμίων γλάνις ὁ ἄρρην περὶ τὰ τέκνα ποιεῖται ἐπιμέλειαν πολλήν· ἡ μὲν γὰρ θήλεια τεκοῦσα ἀπαλλάττεται, ὁ δ' ἄρρην ὡφυλακεῖ παραμένων.. ἐρύκων ταῦλα ἰχθύδια μὴ διαρπάσωσι τὸν γόνον καὶ τοῦτο ποιεῖ ἡμέρας τεσσαράκοντα καὶ πεντήκοντα, ἕως ἂν αὐξηθεὶς ὁ γόνος δύναται διαφεύγειν ἀπὸ τῶν ἄλλων ἰχθύων (τὸ αὐτὸ καὶ Αἰλιανός 12, 14). — *Αἰλιανός*, περὶ ζώων 1, 14: Κόττυφος ὁ θαλάσσιος.. ὅταν αἱ νύμφαι τίκτωσιν αὐτῷ.. ὁ ἄρρην.. περιθυρῶν τὰς ἐπιβουλὰς φυλάττει τὰς ἔξωθεν φόβῳ τῶν βρεφῶν. ἔοικε γὰρ καὶ τὰ μήπω γεννώμενα φιλεῖν καὶ δέει πατρικῷ ἁλισκόμενος ἐντεῦθεν ὀρρωδεῖν ἤδη, καὶ διημερεύει ἐπὶ τῇ φρουρᾷ πάντων ἄγευστος. — *αὐτόθ.* 1, 16:

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πονηθεῖσαν καὶ ἀναψυχῆς χάριν μικρὸν ἐκ τῆς φωλεᾶς ἀποχωρίσασαν διαδέχονται αὐτοί 1). Βραδύνουσαν δὲ δι' οἱονδήποτε λόγον νὰ ἀναλάβῃ τὸ ἑαυτῆς ἔργον αὐτοὶ συνωθοῦσι καὶ κατὰ πάντα τρόπον ἐκβιάζουσι πρὸς τοῦτο 2). Ἀποθανοῦσαν ἀντικαθιστῶσιν ἐν πᾶσιν 3). Γεννώμενα δὲ τὰ τέκνα αὐτοὶ ψωμίζουσι κατὰ τὴν πρώτην αὐτῶν ἡλικίαν 4).

Ἀλλ' ἡ μήτηρ εἶνε πάντοτε μήτηρ! Ὅλη ἀφοσίωσις καὶ ἐθελοθυσία! Μετὰ μεγίστης προθυμίας θηλάζει καὶ κατὰ πάντα τρόπον τρέφει τὰ βρέφη αὐτῆς. Λαμβάνει πάντα τὰ προφυλακτικὰ μέτρα περὶ τῆς ἀσφαλείας αὐτῶν καὶ τρέμει ἡ καρδία της πάντοτε δι'αὐτά 5). Ὅταν ὑπάρχῃ τροφὴ ἀρκετὴ ὁπωσοῦν, διανέμει ταύτην εἰς πάντα τὰ

Πατήρ δ' ἐν ἰχθύσιν ὁ γλαῦκος οἷός ἐστι· τὰ γεννώμενα ἐκ τῆς συνόμου παραφυλάττει ἰσχυρῶς, ἵνα ἀνεπιβούλευτά τε καὶ ἀσινῆ ᾖ. καὶ ἕως μὲν φαιδρὰ καὶ ἔξω δέους διανήχεται, ὃ δὲ τὴν φρουρὰν οὐκ ἀπολιμπάνει, ἀλλὰ πῇ μὲν οὐραγεῖ, πῇ δὲ οὗ, ταύτην δὲ παρανήχεται τὴν πλευρὰν ἢ ἐκείνην· ὃ δὲ χανὼν ἐσεδέξατο τὸ βρέφος. Ἴδε καὶ *Πλούταρχον*, Πότερα κτλ. 982 A. καὶ ἀνωτ. σελ. 110, σημ. 1.

1) *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 10: Οἷδε δὲ ἐπὶ τῶν ζώων τὰς ὠδῖνας ὁ σύνοικος καὶ συνωδίνει γε τὰ πολλά, ὥσπερ καὶ ἀλεκτρυόνες· τὰ δὲ καὶ συνεκλέπει· ὡς ταῖς περιστεραῖς οἱ ἄρρενες. — *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστ. 613, α, 14: Ἔχει δὲ τὸν ἄρρενα ἡ τρυγὼν τὸν αὐτὸν καὶ φάττα, καὶ ἄλλον οὐ προσίενται· καὶ ἐπωάζουσιν ἀμφότεροι καὶ ὁ ἄρρην καὶ ἡ θήλεια.

2) *Ἀριστοτέλης*, ἔνθ. ἀν. 612 6, 34: Ἔτι δὲ περὶ τὴν ὠδῖνα δεινὴ ἡ τοῦ ἄρρενος θεραπεία καὶ συναγανάκτησις· ἐάν τ' ἀπομαλακίζηται (ἡ θήλεια) πρὸς τὴν εἴσοδον τῆς νεοττιᾶς διὰ τὴν λοχείαν τύπτει καὶ ἀναγκάζει εἰσιέναι· (τὸ αὐτὸ καὶ ὁ *Πλούταρχος*, Πότερα κτλ. 962 F καὶ ὁ *Αἰλιανός*, 3, 45).

3) *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστ. 631, 6, 13: Ἐπὶ τῶν ὀρνίθων . . ᾗδη δὲ καὶ τῶν ἀρρένων τινὲς ὤφθησαν ἀπολομένης τῆς θηλείας αὐτοὶ περὶ τοὺς νεοττοὺς τὴν τῆς θηλείας ποιούμενοι σκευωρίαν, περιάγοντές τε καὶ ἐκτρέφοντες. — *Αἰλιανός*, ἔνθ. ἀν. 4, 29: Τῆς ὄρνιθος ἀπολωλυίας, ἐπῳάζει (ὁ ἀλεκτρυὼν) αὐτός καὶ ἐκλέπει τὰ ἐξ ἑαυτοῦ νεόττια σιωπῶν, οὐ γὰρ ᾄδει τότε. — Τὰ αὐτὰ καὶ ὁ Πλίνιος καὶ ὁ Albertus Maguns καὶ ὁ Dr. J. W. Stroud, περὶ ὧν ἴδε Romanes, ἔνθ. ἀν. σελ. 183.

4) *Πλούταρχος*, Πότερα κτλ. 962 E: (ἐν ταῖς περιστεραῖς οἱ ἄρρενες) διαδέχονται τὴν ἐπιμέλειαν ἐν μέρει θάλποντες τὰ ᾠὰ καὶ ψωμίζουσι πρότεροι τὰ νεόττια. — *Ἀριστοτέλης*, ἔνθ. ἀν. 613, α, 2: Γεννωμένων δὲ τῶν νεοττῶν (ἐν ταῖς περιστεραῖς ὁ πατὴρ) τῆς ἁλμυριζούσης μάλιστα γῆς διαμασησάμενος εἰσπτύει τοῖς νεοττοῖς διοιγνὺς τὸ στόμα, προπαρασκευάζων πρὸς τροφήν.

5) *Αἰλιανός*, ἔνθ. ἀν. 10, 8: Ὁ δελφὶς ὁ θῆλυς μαστοὺς ἔχει κατὰ τὰς γυναῖκας καὶ θηλάζει τὰ βρέφη πάνυ ἀφθόνῳ καὶ πολλῷ τῷ γάλακτι. νήχονται δὲ κοινῇ . . φιλότεκνον γὰρ καὶ φιλόστοργον ὁ δελφὶς ζῶον καὶ ὑπὲρ τῶν βρεφῶν ὀρρωδεῖ. — *Ξενοφῶν*, Ἀπομνημονεύματα 1, 4, 7: Τὸ ἐμφῦσαι ἔρωτα μὲν τῆς τεκνοποιίας, ἐμφῦσαι δὲ ταῖς γεναμέναις ἔρωτα τοῦ ἐκτρέφειν . . ταῦτα ἔοικε μηχανήμασί τινος ζῶα εἶναι βουλευσαμένου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τέκνα αὐτῆς πρῶτον καὶ ἔπειτα αὐτὴ λαμβάνει ὅ,τι ὑπολειφθῇ 1). Ὅταν ὅμως δὲν ὑπάρχῃ ἀρκετή, τότε παρέχει ὅλην τὴν ὑπάρχουσαν εἰς τὰ τέκνα αὐτῆς καὶ αὐτὴ μένει ἐντελῶς ἄσιτος 2). Τελείας δ' ἐνδείας οὔσης ἀνεμεῖ τὴν χθεσινὴν τροφὴν καὶ δι' αὐτῆς τρέφει τὰ τέκνα αὐτῆς 3). Ἀνταποκρίνονται μετὰ γλυκυθυμίας πρὸς τὰς ἐπικλήσεις αὐτῶν 4). Προστρέχουσι προθύμως καὶ ἀπροφασίστως πρὸς αὐτὰ δεόμενά τινος καὶ βοηθοῦσιν αὐτὰ μετ' ἄκρας ἀφοσιώσεως καὶ συμπαθείας 5). Ἐπὶ τῇ ὑπονοίᾳ κινδύνου τινός, ὅπως ἀσφαλίσωσιν αὐτά, μεταφέρουσιν ἤδη ἀπὸ τῆς πρώτης στιγμῆς τῆς γενέσεως αὐτῶν εἰς ἄλλην φωλεάν, ἐγκαταλείπουσαι ἔρημον τὴν φωλεάν, ἐν ᾗ τὸ πρῶτον περιέθαλψαν αὐτά 6), μεταφέρουσιν αὐτὰ ἀπὸ τόπου εἰς τόπον 7),

1) *Αἰλιανός*, περὶ ζώων 3, 25 : Δικαίους ἡ μήτηρ ἡ χελιδὼν τοὺς ἑαυτῆς νεοττοὺς ἐργάζεται, τὸ ἰσότιμον αὐτοῖς διὰ τῆς τροφῆς τῆς ἴσης φυλάττουσα . . αὐτὴ δὲ τοσοῦτον κατασπᾷ τῆς τροφῆς, ὅσον ἂν ἐν τῇ καλιᾷ κερδῆναι δυνηθῇ παραρρεῦσαν αὐτῇ.

2) *Ὅμηρος*, Ἰλιὰς Ι 323 : Ὡς δ' ὄρνις ἁπτῆσι νεοσσοῖσι προφέρῃσιν | μάστακ' ἐπεί κε λάβῃσι κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ, | ὡς καὶ ἐγὼ κτλ — *Πλάτων*, Συμπόσιον 207 A : Οὐκ αἰσθάνει ὡς δεινῶς διατίθεται πάντα τὰ θηρία, ἐπειδὰν γεννᾶν ἐπιθυμήσῃ . . πρῶτον μὲν περὶ τὸ ξυμμιγῆναι ἀλλήλοις, ἔπειτα περὶ τὴν τροφὴν τοῦ γενομένου . . καὶ αὐτὰ τῷ λιμῷ παρατεινόμενα, ὥστ' ἐκεῖνα ἐκτρέφειν καὶ ἄλλο πᾶν ποιοῦντα ; — *Πλούταρχος*, περὶ τῆς εἰς τὰ ἔγγονα κτλ. 494 D : Ἡ ὄρνις . . τῷ αὐτῆς τρέφει λιμῷ τὰ ἔγγονα, καὶ τὴν τροφὴν τῆς γαστρὸς ἁπτομένην ἀποκρατεῖ καὶ πιέζει τῷ στόματι, μὴ λάθῃ καταπιοῦσα. — *Θεόκριτος*, 14, 39 : Μάσταξ δοῖσα τέκνοισιν ὑπωροφίοισι χελιδὼν | ἄψορρον ταχινὰ πέτεται βίον ἄλλον ἀγείρειν.

3) *Αἰλιανος*, ἔνθ. ἀν. 3, 23 : Οἱ πελαργοὶ τὰ ἑαυτῶν ἔγγονα φιλοῦσι· καὶ τὸ μαρτύριον, ὅταν ὁ τέλειος ἐνδεὴς ᾖ τροφῆς, ἁπτῆσιν ἔτι καὶ ἀπαλοῖς τοῖς νεοττοῖς ἐν τῇ καλιᾷ παραθεῖναι, γενομένης αὐτῷ κατὰ τύχην ἀπορίας, ὃ δὲ τὴν ἑαυτοῦ χθιζὴν ἀνεμέσας ἐκείνους τρέφει.

4) *Ὅμηρος*, Ἰλ. Δ 433: Τρῶες δ', ὡς τ' ὄιες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ | μυρίαι ἑσκήκασιν ἀμελγόμεναι γάλα λευκόν, | ἀζηχὲς μεμακυῖαι ἀκούουσαι ὄπα ἀρνῶν, | ὡς κτλ.

5) *Ὅμηρος*, Ἰλ. Ρ 1 : Οὐδ' ἔλαθ' Ἀτρέος υἱὸν ἀρηίφιλον Μενέλαον | Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηιοτῆτι. | βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ, | ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖν' ὡς τις περὶ πόρτακι μήτηρ | πρωτοτόκος κινυρή, οὐ πρὶν εἰδυῖα τόκοιο.

6) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα 614, 6, 15 : Οἱ ὄρτυγες καὶ οἱ πέρδικες . . οὐκ ἐν τῷ αὐτῷ τίκτουσι καὶ ἐπῳάζουσιν, ἵνα μή τις κατανοήσῃ τὸν τόπον πλείω χρόνον προσεδρευόντων. — Τὰ αὐτὰ καὶ ὁ Romanes, ἔνθ. ἀν. σελ. 229 ἐν τέλει : « Bemerkenswerthe Intelligenz . . die von manchen Vögeln an den Tag gelegt wird, wenn sie ihre Eier oder ihre Jungen von Stellen entfernen, wenn sie gestört wurden ».

7) *Αἰλιανός*, ἐνθ. ἀν. 6, 41 : Οἱ μύες ὅταν ἀκούσωσι γαλῆς τριζούσης ἢ συρίττοντος ἔχεως, ἐκ τῆς μυωπίας τῆς μιᾶς τὰ ἑαυτῶν βρέφη ἄλλο ἄλλῃ μετοικίζουσιν. — Ἀνάλογα τούτοις παρὰ Romanes ἐν σελ. 229 ἐν τέλει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κρύπτουσιν αὐτὰ διὰ τοῦ ἰδίου αὐτῶν σώματος 1), φέρουσιν αὐτὰ ἐπὶ τῶν ὀδόντων 2), φέρουσιν αὐτὰ ἐπὶ τῶν ἰδίων ὤμων 3) καὶ ἐν γένει μηχανῶνται παντοῖα καὶ ἔστιν ὅτε σφόδρα παρακεκινδυνευμένα τεχνάσματα πρὸς ἀποπλάνησιν τῶν ἐπιβουλευόντων τὰ τέκνα αὐτῶν 4). Ἀποσπώμεναι ἀπ' αὐτῶν καὶ ἄκουσαι μακρὰν αὐτῶν διατελοῦσαι σφόδρα ποθοῦσιν αὐτά 5). Στερούμεναι τούτων λυποῦνται, ἀναστενά-

1) *Αἰλιανός*, ἔνθ. ἀν. 7, 36. Ὅταν ὑπὸ τῶν θηρατῶν .. τραπῶσιν οἱ ἐλέφαντες καὶ ἐς φυγὴν ὁρμήσωσιν .. φεύγουσι κοινῇ καὶ πιέζουσιν ἀλλήλους τῶν συννόμων ἐχόμενοι καὶ κύκλῳ μὲν οἱ νέοι .. ἐν μέσῳ δὲ οἱ γεγηρακότες καὶ αἱ μητέρες, ὑπὸ ταύταις δὲ τὰ πῶλια, ἑκάστη τὸ ἴδιον ἀποκρύπτουσα καὶ ὁρῶνταί γε οἷδε οἱ μικροὶ σπανιώτατα. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 613, 6, 13: Ἀναπαύονται δὲ ὑφ' ἑαυτοὺς ἀγόμενοι τοὺς νεοττοὺς καὶ οἱ ὄρτυγες καὶ οἱ πέρδικες, ὥσπερ αἱ ἀλεκτορίδες.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 7, 15 : Ποταμὸν οἱ ἐλέφαντες διέρχονται οἱ μὲν ἔτι νέοι διανηχόμενοι, οἱ δὲ ἤδη τέλειοι καὶ εἰ καλύπτοιντο ὑπὸ τοῦ ῥεύματος, ἀνέχουσι μέντοι τὰς προβοσκίδας ὑπὲρ τὸ ὕδωρ, τὰ δὲ ἀρτιγενῆ πώλια ἐπὶ τῶν ὀδόντων φέρουσιν αἱ μητέρες.

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 611, 6, 32 : Αἱ ἄρκτοι ὅταν φεύγωσι, τὰ σκυμνία προωθοῦσι καὶ ἀναλαβοῦσαι φέρουσιν. Ἰδ. καὶ Αἰλιανὸν 1, 17. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Οὕτω π. χ. ὁ Romanes, ἔνθ. ἀν. σελ. 230 λέγει: «Die Paradies-Ente .. ihre Jungen auf dem Rücken herab zum Wasser bringt».

4) *Πλούταρχος*, περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργίας 494 E : Αἱ πέρδικες ὅταν διώκωνται μετὰ τῶν τέκνων, ἐκεῖνα μὲν ἐῶσι προπέτεσθαι καὶ φεύγειν, αὐταῖς δὲ μηχανώμεναι προσέχειν τοὺς θηρεύοντας ἐγγὺς κυλινδούμεναι καὶ καταλαμβανόμεναι, μικρὸν ὑπεκθέουσιν, εἶτα πάλιν ἵστανται καὶ παρέχουσιν ἐν ἐφικτῷ τῆς ἐλπίδος ἑαυτὰς ἄχρι ἂν οὕτω προκινδυνεύουσαι τῶν νεοττῶν τῆς ἀσφαλείας προαγάγωνται πόρρω τοὺς διώκοντας. — Τὸ τέχνασμα τοῦτο τῶν περδίκων μνημονεύεται ὑπὸ πολλῶν. Ὑπὸ τοῦ *Πλουτάρχου* τρίς. Ἅπαξ ἐνταῦθα, τὸ δεύτερον ἐν «Πότερα κτλ.» 971 C. καὶ τὸ τρίτον ἐν «Περὶ τοῦ τὰ ἄλογα κτλ.» 992 B. Ἐπειτα τρὶς ὑπὸ τοῦ *Ἀριστοτέλους*, ἐν «Περὶ τὰ ζῶα ἱστορ.» 613, 6, 17. *αὐτόθ.* 613, 6, 30 καὶ ἐν ἀποσπ. 270, σελ. 1527, α, 3. Ἐπειτα ὑπὸ τοῦ Ἀθηναίου ἐν Δειπνοσοφισταῖς 9, 389 6. Ἐπειτα ὑπὸ τοῦ Αἰλιανοῦ, ἔνθ. ἀν. 11, 38, ὅστις προσθέτει ὅτι «καὶ ὁ χηναλώπηξ, ταὐτὰ τοῖς πέρδιξι δρᾷ» Ὁ δὲ Oppel (Thiergeschichten, ἐκδ. 1873, σελ. 12, ἀπὸ τοῦ μέσου καὶ ἑξ.) γενικεύων τὸ τοῦ πέρδικος καὶ τοῦ χηναλώπεκος τοῦτο τέχνασμα καὶ ἐπὶ πάντων τῶν μικρῶν πτηνῶν καὶ δραματοποιῶν αὐτὸ ἐπάγεται ἐν τέλει τήν δε τὴν παρατήρησιν: «Das ist aber nicht eine Beobachtung, welche dieser, oder jener Naturforscher einmal gemacht hat, sondern welche schon oft won Solchen gemacht wurde, die häufig den Wald besuchen» κτλ. Τὰ αὐτὰ καὶ ὁ Romanes ἐν τῷ κεφαλαίῳ «Simulation von Verletzungen» σελ. 349 - 351.

5) *Αἰλιανός*, ἔνθ. ἀν. 6, 48 : Μήτηρ δὲ ἄρα καὶ ἡ θήλεια ἵππος ἀγαθὴ ἦν καὶ τοῦ πώλου τοῦ ἐξ αὐτῆς μεμνῆσθαι δεινή· ὅπερ οὖν κατεγνωκὼς Δαρεῖος ὁ κάτω εἶτα μέντοι ἐπήγετο εἰς τὰς μάχας ἐξ ὠδίνων ἵππους τὰ βρέφη καταλιπούσας οἴκοι .. οὐκοῦν ὅτε ἡ τροπὴ τῆς μάχης κατὰ τὸν Ἰσσὸν τὰ Περσῶν πιέζειν ὑπήρξατο, καὶ ἐνικᾶτο Δαρεῖος, ἵππον ἀνέδη θῆλυν, φυγῆς δεόμενος καὶ σωτηρίας ὠκίστης· ἡ δὲ ἄρα τοῦ καταλειφθέντος μνήμη, ὡς εἶχεν ἐπιθυμίας καὶ ποδῶν, τὸν δεσπότην ὑμνεῖται τῆς ἀκμῆς τῶν ἐπικειμένων κινδύνων ἐξαρπάσαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζουσι, κλαίουσι, θρηνοῦσιν, ὀδύρονται, ὀλοφύρονται 1), ἔρχονται εἰς τὸν τόπον, ἔνθα ἀφηρέθησαν αὐτὰ καὶ ὀδύρονται 2), τρέχουσι λυσσῶσαι ὑπ' ὀργῆς πανταχοῦ, ὅπως ἀνεύρωσι τοὺς κατὰ τὴν ἀπουσίαν αὐτῶν ἐκ τῆς φωλεᾶς ἁρπάσαντας αὐτὰ καὶ κατασπαράξωσιν αὐτούς 3).

Καὶ ἄλλως δὲ χαλεπώταται αἱ μητέρες, ὅταν ἐκτέκωσι, γίνονται ἀγριώταται καὶ ἀνυπόστατοι ὁσάκις πρόκειται νὰ βοηθήσωσι καὶ νὰ ὑπερασπίσωσι τὰ κινδυνεύοντα τεκνία αὐτῶν 4). Ἐξαγριοῦνται πάραυτα καὶ ἀτρόμηται ἀναμένουσι νὰ ἐπιτεθῶσι κατὰ τῶν ἀπειλούντων τὰ τεκνία αὐτῶν 5). Ὁρμῶσιν ἀκατάσχετοι κατὰ παντὸς πλη-

1) *Ὅμηρος*, Ὀδύσ. π 213: Τηλέμαχος δὲ | ἀμφιχυθεὶς πατέρ' ἐσθλὸν ὀδύρετο, δάκρυα λείβων. | ἀμφοτέροισι δὲ τοῖσιν ὑφ' ἵμερος ὦρτο γόοιο. | κλαῖον δὲ λιγέως, ἀδινώτερον ἢ τ' οἰωνοὶ | φῆναι ἢ αἰγυπτοὶ γαμψώνυχες, οἵσί τε τέκνα | ἀγρόται ἐξείλοντο πάρος πετεηνὰ γενέσθαι. — Ὀδύσσεια τ 518: Ὡς δ' ὅτε Πανδαρέου κούρη χλωρηὶς ἀηδὼν | καλὸν ἀείδῃσιν ἔαρος νέον ἱσταμένοιο, | δενδρέων ἐν πετάλοισι καθεζομένη πυκινοῖσιν, | ἥ τε θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν, | παῖδ' ὀλοφυρομένη Ἴτυλον φίλον, ὃν ποτε χαλκῷ | κτεῖνε δι' ἀφραδίας, κοῦρον Ζήθοιο ἄνακτος, | ὡς καὶ ἐμοὶ κτλ. — *Αἰσχύλος*, Ἀγαμέμνων 1140: Φρενομανὴς τις εἶ θεοφόρητος, ἀμφὶ δ' αὐτᾷς θροεῖς | νόμον ἄνομον, οἷά τις ξουθὰ | ἀκόρετος βοᾶς, φεῦ, ταλαίναις φρεσίν, | Ἴτυν Ἴτυν στένουσ' ἀμφιθαλῆ κακοῖς ἀηδὼν βίον | ἰὼ ἰὼ λιγείας μόρον ἀηδόνος. — *Ἀριστοφάνης*, Ὄρνιθες 209: Ἄγε σύννομέ μοι, παῦσαι μὲν ὕπνου, | λῦσον δὲ νόμους ἱερῶν ὕμνων, | οὓς διὰ θείου στόματος θρηνεῖς, | τὸν ἐμὸν καὶ σὸν πολύδακρυν Ἴτην | ἐλελιζομένη διεροῖς μέλεσιν | γένυος ξουθῆς. | Περὶ τῆς ἀηδόνος τὰ αὐτὰ καὶ *Σοφοκλῆς* Ἠλέκτρα 103. 147 1077. Αἴας 627. *Εὐριπίδης*, Φαίδων ἀπ. 775, 21, ἔκδ. Dindorf. Πρόλ. καὶ Ἡσίοδον ἐν ἔργ. καὶ ἡμ. 568 (ὀρθογόη Πανδιονὶς χελιδών).

2) *Αἰλιανός*, ἔνθ. ἀν. 6, 10: Ἔνθα ἀφῃρέθη ἡ βοῦς τὸν μόσχον, ἐνταῦθα ἐλθοῦσα ὠδύρατο μυκηθμῷ συντρόφῳ τὸ πάθος. Ἰδ. καὶ ἀνωτ. σελ. 39, σημ. 1. σελ. 43, σημ. 6.

3) *Ὅμηρος*, Ἰλ. Σ 314: Αὐτὰρ Ἀχαιοὶ | παννύχιοι Πάτροκλον ἀνεστενάχοντο γοῶντες. | τοῖσι δὲ Πηλείδης ἀδινοῦ ἐξῆρχε γόοιο, | χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου, | πυκνὰ μάλα στενάχων ὥς τε λὶς ἠυγένειος, | ᾧ ῥά θ' ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσῃ ἀνὴρ | ὕλης ἐκ πυκινῆς· ὁ δὲ τ' ἄχνυται ὕστερος ἐλθών, πολλὰ δὲ τ' ἄγκε' ἐπῆλθε μετ' ἀνέρος ἴχνι' ἐρευνῶν, | εἴ ποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ.

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα κτλ. 571, 6, 10. 30. Τὰ θήλεα χαλεπώτατα, ὅταν ἐκτέκωσι πρῶτον . . χαλεπαὶ δὲ καὶ αἱ θήλειαι ἄρκτοι ἀπὸ τῶν σκύμνων, ὥσπερ καὶ οἱ κύνες ἀπὸ τῶν σκυλακίων. — *Πλούταρχος*, περὶ τῆς εἰς τὰ ἔγκονα φιλοστοργίας 494 F: Κύνας καὶ δράκοντας — ὁρῶμεν — ἂν περὶ σὑτῶν φοβηθῶσι, φεύγουσιν, ἂν δὲ περὶ τῶν τέκνων, ἀμύνονται καὶ διαμάχονται παρὰ δύναμιν. — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 36: Οὐκ ἀνθίσταται τοῖς διώκουσιν ἐλέφας, εἰ μή ποτε ἅρα ὑπὲρ τῶν τέκνων . . ἐνταῦθα δὲ ἄμαχός ἐστιν.

5) *Ὅμηρος*, Ὀδύσσεια υ 14: Ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα | ἄνδρ' ἀγνοιήσας' ὑλάει, μέμονεν τε μάχεσθαι, | ὣς ῥα κτλ. — Ἰλ. Ρ 133: Ὡς τίς τε λέων, περὶ οἷσι τέκεσσιν, | ᾧ ῥά τε νήπι' ἄγοντι συναντήσωνται ἐν ὕλῃ | ἄνδρες ἐπακτῆρες· ὁ δέ τε σθένεϊ βλεμεαίνει, | πᾶν δὲ τ' ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων, | ὡς Αἴας κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σιάζοντος αὐτά· παίουσαι δὲ καὶ δάκνουσαι καὶ ἀμύσσουσαι καὶ κατὰ πάντα τρόπον λυμαινόμεναι αὐτὸν προσπαθοῦσι νὰ ἀπωθήσωσι καὶ ἀβλαβῆ νὰ καταστήσωσιν αὐτόν 1). Ἀδιαφοροῦσαι πρὸς τὸ μέγεθος τοῦ κινδύνου, οὐδαμῶς ἀναμετρῶσαι τὰς ἰδίας αὐτῶν δυνάμεις, οὐδαμῶς ἀναλογιζόμεναι τὴν ἑαυτῶν τύχην λυσσαλέαι ῥίπτονται κατὰ των ἐπιβούλων, ἐκ παντὸς τρόπου, καὶ δὴ καὶ διὰ τῆς ἰδίας αὐτῶν ζωῆς, προσπαθοῦσαι νὰ ἁρπάσωσι τὰ φίλτατα αὐτῶν ἐκ τοῦ θανάτου. Ἀποτυγχάνουσαι φέρουσι βαρύτατα τὴν συμφορὰν καὶ συναποθνήσκουσι μετ' αὐτῶν 2).

---

1) *Αἰλιανός*, ἔνθ. ἀν. 2, 40: Ἀετὸς ζηλοτυπώτατον πρὸς τὰ νεόττια.. ἐὰν γοῦν θεάσηταί τινα προσιόντα, ἀπελθεῖν ἀτιμώρητον οὐκ ἐπιτρέπει· παίει γὰρ τοῖς πτεροῖς αὐτόν, καὶ τοῖς ὄνυξι λυμαίνεται. — *Ὅμηρος*, Ἰλ. Π 259: Αὐτίκα δὲ σφήκεσσιν ἐοικότες ἐξεχέοντο | εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες, | νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσιν. | τοὺς δ' εἴπερ παρὰ τίς τε κιὼν ἄνθρωπος ὁδίτης | κινήσῃ ἀέκων, οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες | πρόσσω πᾶς πέτεται καὶ ἀμύνει οἷσι τέκεσσιν.

2) *Ὅμηρος*, Ἰλ. Β 308 καὶ ἑξ: Δράκων ἐπὶ νῶτα δαφοινός, | σμερδαλέος.. | βωμοῦ ὑπαΐξας πρὸς ῥα πλατάνιστον ὄρουσεν. | ἔνθα δ' ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα, | ὄζῳ ἐπ' ἀκροτάτῳ, πετάλοις ὑποπεπτηῶτες | ὀκτώ· ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα. | ἔνθ' ὅ γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας. | μήτηρ δ' ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα· | τὴν δ' ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχυῖαν, | αὐτὰρ ἐπεὶ κατὰ τέκνα ἔφαγε στρουθοῖο καὶ αὐτήν. — *Ἀριστοτέλης*, Ἠθικὰ Εὐδήμια 1226, α, 33: Φιλοῦσίν αἱ μητέρες τὰ τέκνα. φαίνεται δὲ καὶ ἐν τοῖς θηρίοις ἐνοῦσα φιλία· προαποθνήσκειν οὖν αἱροῦνται τῶν τέκνων. — *Πλάτων*, Συμπόσιον 207 Α: Τὰ θηρία πάντα ἑτοῖμά ἐστιν ὑπὲρ τῶν τέκνων καὶ διαμάχεσθαι τὰ ἀσθενέστατα τοῖς ἰσχυροτάτοις καὶ ὑπεραποθνήσκειν. — *Ξενοφῶν*, Κυνηγετικός 9, 9: Αἱ ἔλαφοι τὰς κύνας ὑπὲρ τῶν νεβρῶν αὐτῶν ἀμυνόμεναι καταπατοῦσιν. — *αὐτόθ.* 9, 6: Ἀλώσεται δὲ ὁ νεβρὸς ὑπὸ τῶν κυνῶν σὺν πόνῳ διωκόμενος· λαβόντα δὲ δοῦναι τῷ ἀρκυωρῷ· ὁ δὲ βοήσεται· ἡ δ' ἔλαφος τὰ μὲν ἰδοῦσα, τὰ δὲ ἀκούσασα, ἐπιδραμεῖται τῷ ἔχοντι αὐτὸν ζητοῦσα ἀφελέσθαι. — *Αἰλιανός*, ἔνθ. ἀν. 1, 18: Δελφὶς θῆλυς φιλοτεκνότατος ἐς τὰ ἔσχατα ζώων ἐστίν.. ὅταν δὲ ἁλιεὺς ἢ τρώσῃ τὸν παῖδα αὐτῆς τῇ τριαίνῃ ἢ τῇ ἀκίδι βάλῃ.. ἡσυχῇ παρ' αὐτὴν ἄγει τὴν ναῦν καὶ ἔχει τὴν ἄγραν· ἡ δὲ μήτηρ οὐκ ὀρρωδεῖ τὸ πραχθέν, οὐδὲ ἀναστέλλεται δείσασα, ἀλλὰ.. πόθῳ τοῦ παιδὸς ἕπεται· καὶ δείματα ὁπόσα ἐθέλεις εἰ ἐπάγοις, ἢ δὲ οὐκ ἐκπλήττεται, τὸν παῖδα οὐχ ὑπομένουσα ἀπολιπεῖν ἐν φοναῖς ὄντα, ἀλλὰ καὶ ἐκ χειρὸς αὐτὴν πατάξαι πάρεστιν· οὕτως ὁμόσε χωρεῖ τοῖς βάλλουσιν, ὥσπερ οὖν ἀμυνουμένη.. μένει δὲ αὐτὴ ἔστ' ἂν αἱρεθῇ, καὶ συναποθνήσκει τῷ ἑαλωκότι. — *αὐτόθ.* 7, 15: Τὰ βρέφη τὰ νεαρὰ οὐκ ἄν ποτε αἱ τεκοῦσαι (ἐλέφαντες) προδοῖεν ἀλλὰ καὶ ἐκείνοις ἐκεῖναι πιστῶς παραμένουσι καίτοι τῶν θηρώντων ἐγκειμένων καὶ πρότερόν γε τὴν ψυχὴν ἀπολίποιεν ἂν ἢ τὰ τέκνα. — *αὐτόθ.* 9, 8: Ἐκκαλύψων δ' ἔγωγε καὶ ἐλέγξων τὴν στοργὴν τῶν ἐλεφάντων ἔρχομαι· ἡ μήτηρ θεασαμένη τὸ ἑαυτῆς βρέφος εἰς μίαν τῶν τάφρων ἐμπεσόν, οὔτε ἐμέλλησεν οὔτε βλακεύουσα διέτριψεν, ἀλλ' ὡς εἶχεν ὁρμῆς ἐκθύμως καὶ περιπαθῶς ἐπιδραμοῦσα, κατὰ τοῦ παιδὸς ἑαυτὴν ἔωσεν ἐς κεφαλήν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πρὸς τὴν τοιαύτην φιλοστοργίαν τῶν γονέων πρὸς τὰ τέκνα ἀνάλογος εἶνε καὶ ἡ εὐσέβεια τῶν τέκνων πρὸς τοὺς γονεῖς ἐν τοῖς ἀλόγοις καλουμένοις ζώοις. Τιμῶσι καὶ σέβονται αὐτούς! Ἔτι ἀπὸ τῶν πρώτων ἡμερῶν τῆς γεννήσεως αὐτῶν χαίροντα καὶ ἀγαλλόμενα ὑποδέχονται τὰ νεογέννητα τὴν ἐπιστρέφουσαν εἰς τὴν φωλεὰν μητέρα αὐτῶν 1). Ἅμα αὐξηθέντα δέ πως καὶ ἀποκτήσαντα τὴν προσήκουσαν ἱκανότητα, ὅπως διὰ τῶν ἰδίων αὐτῶν δυνάμεων πορίζωνται τὰ πρὸς τὸ ζῆν, δὲν ἀφίνουσι τοὺς γονεῖς πλέον νὰ ὑποβάλλωνται εἰς τὰς πρὸς πορισμὸν αὐτῶν ἀναγκαίας ταλαιπωρίας, ἀλλ', ὡς τέκνα εὐσεβέστατα, αὐτὰ ἐξερχόμενα εἰς τὸν μέγαν κόσμον, αὐτὰ μοχθοῦντα καὶ προκινδυνεύοντα καὶ ἀγωνιζόμενα πορίζονται τὰ ἐπιτήδεια καὶ τρέφουσι τοὺς οἴκοι παραμένοντας καὶ ἐφησυχάζοντας γονεῖς, κατευφραινομένους ἐπὶ τῇ εὐσεβείᾳ ταύτῃ τῶν τέκνων αὐτῶν 2). Κατὰ τὰς

καὶ ἄμφω κατὰ ταὐτὸν τὸ τέλος εἰχέτην. — Ἰδ. καὶ ἀνωτ. σελ. 43, καὶ σημ. 6. Ἔτι τὴν ὑποσελ. σημ. 3 τῆς σελ. 61. — Αὐτολεξεὶ τὰ αὐτὰ ἐπαναλαμβάνουσιν καὶ οἱ καθ' ἡμᾶς σοφοί, Oppel, Wundt καὶ οἱ τοιοῦτοι. Ἰδ. *Oppel*, ἔνθ. ἀν. σελ. 10-11 καὶ 403. *Wundt*, ἔνθ. ἀν. τόμ. 2, σελ. 190 καὶ 192.

1) *Ὁμηρος*, Ὀδύσ. κ. 410: Ὡς δ' ὅτ' ἂν ἄγραυλοι πόριες περὶ βοῦς ἀγελαίας, | ἐλθούσας ἐς κόπρον ἐπὴν βοτάνης κορέσωνται, | πᾶσαι ἅμα σκαίρουσιν ἐναντίαι· οὐδ' ἔτι σηκοὶ | ἴσχουσ', ἀλλ' ἀδινόν μυκώμεναι ἀμφιθέουσιν | μητέρας· ὣς ἐμὲ κεῖνοι ἐπεὶ ἴδον ὀφθαλμοῖσιν, | δακρυόεντες ἔχυντο· κτλ. — Τὰ αὐτὰ καὶ οἱ καθ' ὑμᾶς σοφοὶ Ἴδε Romanes, ἔνθ. ἀν. σελ. 382 ἐν ἀρχῇ.

2) *Ἀριστοφάνης*, Ὄρνιθες 1353: Ἀλλ' ἔστιν ἡμῖν τοῖσιν ὄρνισι νόμος | παλαιὸς ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν· | ἐπὴν ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους | πάντας ποιήσῃ τοὺς πελαργιδῆς τρέφων, δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν. — *Πλάτων*, Ἀλκιβιάδης Α', 135 Ε: Ὦ γενναῖε, πελαργοῦ ἄρα ὁ ἐμὸς ἔρως οὐδὲν διοίσει, εἰ παρὰ σοὶ ἐνεοττεύσας ἔρωτα ὑπόπτερον ὑπὸ τούτου πάλιν θεραπεύσεται. — *Πλούταρχος*, Πότερα κτλ. 962 Ε: Οἱ πελαργοὶ τρέφουσι τοὺς πατέρας. — *Αἰλιανός*, ἔνθ. ἀν. 10, 16: Αἰγύπτιοι τοὺς πελαργοὺς καὶ προσκυνοῦσιν, ἐπεὶ τοὺς πατέρας γηροκομοῦσιν καὶ ἄγουσι διὰ τιμῆς· οἱ αὐτοὶ δὲ Αἰγύπτιοι καὶ χηναλώπεκας καὶ ἔποπας τιμῶσιν, ἐπεὶ οἳ μὲν φιλότεκνοι αὐτῶν, οἳ δὲ πρὸς τοὺς γειναμένους εὐσεβεῖς. — *Ἀριστοτέλης*, περὶ ζώων γενέσεως 760, 6, 13: Αἱ δὲ μέλιτται τρέφουσι τοὺς πατέρας. ὁμολογούμενον δ' ἐστὶ καὶ τὸ ἐπακολουθεῖν τοῖς βασιλεῦσι τῷ τὴν γένεσιν ἐκ τούτων εἶναι τὴν τῶν μελιττῶν .. καὶ τὸ τοὺς μὲν ἐὰν μηθὲν ἐργαζομένους ὡς γονεῖς, τοὺς δὲ κηφῆνας κολάζειν.—*Αἰλιανός*, ἔνθ. ἀν. 6, 61: Ποῦ δὲ ἠλόησε πληγαῖς πατέρα ἐλέφας; — *Αὐτόθ.* 9, 1: Ὁ λέων ἤδη προήκων τὴν ἡλικίαν καὶ γήρᾳ βαρὺς γεγενημένος θηρᾶν μὲν ἥκιστός ἐστιν, ἀσμένως δὲ ἀναπαύεται ἐν ταῖς ὑπάντροις ἢ λοχμώδεσι καταδρομαῖς .. οἱ δὲ ἐξ αὐτοῦ γεγενημένοι .. προΐασιν ἐπὶ θήραν .. καὶ τυχόντες τοσούτων ὅσα ἀποχρήσει καὶ αὐτοῖς καὶ τῷ γεγενηκότι σφᾶς βρυχησάμενοι γενναῖόν τε καὶ διάτορον καλοῦσιν ὡς δαιτυμόνα ἑστιάτορες ἐπὶ θοίνην οἱ νέοι τὸν γεγηρακότα, τὸν πατέρα οἱ παῖδες. ὁ δὲ ἡσυχῇ καὶ βάδην καὶ οἷον ἕρπων ἔρχεται, καὶ περιβαλὼν τοὺς παῖδας, καὶ τῇ γλώττῃ μικρὰ ὑποσήνας, ὥσπερ οὖν ἐπαινῶν τῆς εὐθηρίας ἔχεται τοῦ δείπνου, καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀποδημίας καὶ τὰς λοιπὰς μετατοπίσεις ἀδυνατοῦντας ὡς ἐκ τοῦ γήρατος νὰ παρακολουθήσωσι, φέρουσιν αὐτοὺς ἐπὶ τῶν ὤμων, εὐσεβέστατα οὕτω τὰ τροφεῖα πρὸς γονεῖς φιλοστόργους ἀποτίοντα 1).

Ἀλλὰ τῶν ζώων ὁ βίος δὲν ἐγκατακλείεται εἰς τὰ στενὰ ὅρια μόνον τοῦ οἰκογενειακοῦ βίου. Ταῦτα ζῶσι μὲν ἔστιν ὅτε κατὰ ζεύγη ἀπομεμονωμένα καὶ ἀπομεμακρυσμένα ἀπὸ τῶν ἄλλων 2), ἀλλὰ καθ' ὅλου εἰπεῖν φύσει κοινωνικὰ ὄντα 3), ὡς ἐπὶ τὸ πλεῖστον συνενοῦνται μετ' ἄλλων κατὰ τὸ μᾶλλον καὶ ἧττον πολυαρίθμων ἐκ τῶν ὁμοφύλων αὐτῶν καὶ εἰς συγγενείας καὶ ἑταιρείας καὶ ἀγέλας καὶ πολιτείας ἐγκατακλειόμενα διάγουσι τὸν βίον αὐτῶν 4).

σὺν τοῖς υἱέσιν ἑστιᾶται. — Πλὴν τούτων ἴδε καὶ *Ἀριστοτέλην*, περὶ τὰ ζῶα ἱστορ. 615, 6, 23. *Πορφύριον*, περὶ ἀποχῆς ἐμψ. 3, 11. *Αἰλιανόν*, 3, 23. 10, 16. 11, 30. *Διογενειανὸν* 1, 84, *Ἀποστόλιον* καὶ *Ἀρσένιον* 2, 10 ἐν Παροιμιογράφοις ἐκδ. Leutsch.

1) *Σχολιαστὴς Ἀριστοφάνους* ἐν Ὄρνισιν 1354: Οἱ πελαργοὶ δικαιοπραγεῖς ὄντες ἐπὶ πτερῶν βαστάζουσι τοὺς πατέρας γεγηρακότας. — *Ζηνόβιος*, ἐν Παροιμιογράφοις 1, 94: Λέγονται οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς τρέφειν καὶ μὴ δυναμένους ἵπτασθαι φέρειν ἐπὶ τῶν ὤμων. Ἴδ. καὶ *Αἰλιανόν*, 5, 11. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 201.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 488, α, 5: Γαμψώνυχον δ' οὐδὲν ἀγελαῖον. — *Αἰλιανός*, ἔνθ. ἀν. 4, 20: Γαμψώνυχον δ' ἄρα οὐδὲ ἓν . . συναγελάζεται ἑτέροις. — *Ἀριστοτέλης*, ἔνθ. ἀν. 619, α, 25: Ἀετοὶ ποιοῦνται τὰς νεοττιὰς οὐκ ἐν πεδινοῖς τόποις ἀλλ' ἐν ὑψηλοῖς . . ἐπέχει ἓν ζεῦγος ἀετῶν πολὺν τόπον· διόπερ οὐκ ἐᾷ πλησίον αὐτῶν ἄλλους αὐλισθῆναι. — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 41: Ἀετὸς κοινωνίαν τὴν πρὸς ἄλλον ἥκιστα ἐνδέχεται . . καὶ μέντοι καὶ ἀλλήλων ἀπῳκισμένοι οἰκοῦσι καλιάς. — *Ἀριστοτέλης*, ἔνθ. ἀν. 571, 6, 27: Ἄρκτοι καὶ λύκοι καὶ λέοντες χαλεποὶ τοῖς πλησιάζουσι . . πρὸς ἀλλήλους δ' ἧττον μάχονται διὰ τὸ μὴ ἀγελαῖον εἶναι μηθὲν τῶν τοιούτων ζώων. Ἴδ. καὶ *Αἰλιανόν*, ἔνθ. ἀν. 4, 3.

3) *Πλούταρχος*, Πότερα κτλ. 962 D: Δείγματά γε πολλὰ κοινωνίας καὶ ἀνδρείας . . ἔνεστι τοῖς ζώοις. — *αὐτόθ.* 966 B: Ἐν αὐτοῖς ἐμφάσεις ἀρετῆς οἷον ἀνδρείας κοινωνίας ἐγκρατείας φρονήσεως μεγαλοφροσύνης. — *αὐτόθ.* 977 E: Πολλὰ τῶν ἐνάλων μηδὲν (ἀπολείπεται) τῷ κοινωνικῷ καὶ συνετῷ τοῦ σοφωτάτου τῶν χερσαίων. Ἴδ. αὐτόθ. καὶ 967 D. 972 B. 975 E. 977 C. 979 F. 980 A. 981 B.

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 487, 6, 33: Εἰσὶ δὲ καὶ αἱ τοιαίδε διαφοραὶ κατὰ τοὺς βίους καὶ τὰς πράξεις τῶν ζώων. Τὰ μὲν γὰρ αὐτῶν εἰσὶν ἀγελαῖα τὰ δὲ μοναδικά . . τὰ δ' ἐπαμφοτερίζει· καὶ τῶν μὲν ἀγελαίων καὶ μοναδικῶν τὰ μὲν πολιτικὰ τὰ δὲ σποραδικά ἐστιν. — *αὐτόθ.* 611, α, 4: Κατάκεινται δὲ αἱ ὅτες καὶ αἱ αἶγες ἀθρόαι κατὰ συγγένειαν. *αὐτόθ.* 611, α, 7: Αἱ βόες καὶ νέμονται καθ' ἑταιρείας καὶ συνηθείας. *αὐτόθ.* 610, 6, 1: Συναγελάζονται πολλάκις τὰ ὁμόγονα. *αὐτόθ.* 488, α, 3: Ἀγελαῖα μὲν οὖν οἷον ἐν τοῖς πτηνοῖς τὸ τῶν περιστερῶν γένος καὶ γέρανος καὶ κύκνος . . καὶ τῶν πλωτῶν πολλὰ γένη ἰχθύων, οἷον οὓς καλοῦσι δρομάδας, θύννοι,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τὰ οὕτω διαβιοῦντα καὶ ἄλλως διαφέρονται πρὸς ἄλληλα καὶ μάχονται 1), ἀλλ' ἰδίως ὅταν φθονῶσιν ἄλληλα 2), ὅταν ἀπειλῆται ἡ ἰδιοκτησία αὐτῶν, καὶ διαμφισβητῆται ὁ ἄνετος καὶ δαψιλὴς ποριστὸς τῆς τροφῆς αὐτῶν 3), ὅταν συνταράττηται ἡ ἀπαρακώλυτος ἕνωσις μετὰ τῆς ἐκλεκτῆς τῆς καρδίας αὐτῶν 4)· ἀλλ' ὡς ἐπὶ τὸ

πηλαμύδες, ἅμιαι, ὁ δὲ ἄνθρωπος ἐπαμφοτερίζει. πολιτικὰ δ' ἔστιν ὧν ἕν τι καὶ κοινὸν γίνεται πάντων τὸ ἔργον· ὅπερ οὐ πάντα ποιεῖ τὰ ἀγελαῖα. ἔστι δὲ τοιοῦτον ἄνθρωπος, μέλιττα, σφήξ, μύρμηξ, γέρανος (ἴδ. ἀνωτ. τὴν ἐν σελ. 42 σημ. 6). Τὸν λόγον τούτου ἴδε παρὰ Μάρκῳ Ἀντωνίνῳ, τῶν εἰς ἑαυτὸν 9, 9.

1) *Αἰλιανός*, ἔνθ. ἀν. 5, 11: Αἱ μέλισσαι καὶ πρὸς ἀλλήλας διαφέρονται, καὶ αἱ δυνατώτεραι κρατοῦσι τῶν ἡττόνων. — *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστ. 610, α, 15: Μάχονται δὲ καὶ ἐλέφαντες σφοδρῶς πρὸς ἀλλήλους καὶ τύπτουσι τοῖς ὀδοῦσι σφᾶς αὐτούς. — *Ὁμηρος*, Ἰλιὰς Γ 2: Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν, ὄρνιθες ὡς, | ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό . . | ἠέριαι δ' ἄρα ταί γε κακὴν ἔριδα προφέρονται. | — *αὐτόθ.* Ἰλ. Π 428: Οἱ δ', ὡς τ' αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι | πέτρῃ ἐφ' ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται, | ὡς οἱ κτλ. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα 615, 6, 16: Μάχιμοι δὲ καὶ αἱ γέρανοί εἰσι πρὸς ἀλλήλας οὕτω σφόδρα ὥστε καὶ λαμβάνεσθαι μαχομένας — 610, α, 2: Εἰσὶ δ' οἱ κύκνοι καὶ ἀλληλοφάγοι μάλιστα τῶν ὀρνέων.

2) *Ἀρριανός*, Κυνηγετικός, 12, 5: Ἀλλὰ μηδ' ὅσαι διεχθρεύουσιν ἀλλήλαις, μηδὲ ταύτας λύειν ὁμοῦ, ὡς μὴ λυμαίνωνται ἀλλήλας· εἰσὶν γάρ τοι κύνες ἐχθραὶ ἀλλήλαις καὶ ἄφιλοι, καθάπερ ἄνθρωποι, καὶ μάλιστα δὲ οἵ τε ἄρρενες τοῖς ἄρρεσιν καὶ αἱ θήλειαι ταῖς θηλείαις τὸ πολὺ ὑπὸ φθόνου. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Wundt τόμ. 2, σελ. 199 περὶ τῶν μελισσῶν.

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 608, 6, 19: Πόλεμος μὲν οὖν πρὸς ἄλληλα τοῖς ζώοις ἐστίν, ὅσα τοὺς αὐτούς τε κατέχει τόπους καὶ ἀπὸ τῶν αὐτῶν ποιεῖται τὴν ζωήν· ἐὰν γὰρ ᾖ σπάνις ἡ τροφή, καὶ πρὸς ἄλληλα τὰ ὁμόφυλα μάχεται, ἐπεὶ καὶ τὰς φώκας φασὶ πολεμεῖν τὰς περὶ τὸν αὐτὸν τόπον καὶ ἄρρενι ἄρρενα καὶ θηλείᾳ θήλειαν, ἕως ἂν ἀποκτείνῃ ἢ ἐκβληθῇ θάτερον ὑπὸ θατέρου· καὶ τὰ σκυμνία ὡσαύτως πάντα. — *Πορφύριος*, περὶ ἀποχ. ἐμ. 3, 12: Τῆς τροφῆς χάριν, καίτοι ἀναγκαίας καὶ εὐτελοῦς οὔσης, αἵ τε ἔχθραι καὶ αἱ φιλίαι αὐτοῖς, καὶ τοῦ τόπου ἕνεκα. — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 19: Τροφῆς τὴν κοινωνίαν ἥκιστα ἐνδέχονται κύνες. πολλάκις γοῦν καὶ ὑπὲρ ὀστοῦ ἀλλήλους σπαράττουσιν. — *Ὁμηρος*, Ἰλ. Π 756: Τὼ (Πάτροκλος καὶ Ἕκτωρ) περὶ Κεβριόναο λέοντ' ὣς δηρινθήτην, | ὥ τ' ὄρεος κορυφῇσι περὶ κταμένῃ ἐλάφοιο, | ἄμφω πεινάοντε, μέγα φρονέοντε μάχεσθον. Ἴδε καὶ *Ἀριστοτέλην*, ἐνθ. ἀν. 610, α, 33. 613, α, 8. *Αἰλιανόν*, ἔνθ. ἀν. 5, 11. *Ἀρριανόν*, Ἐπικτ. διατριβ. 2, 22, 9. Ὅτι τὰ ζῶα ἔχουσι τὴν ἰδέαν τῆς ἰδιοκτησίας παρατηροῦσι καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 255 καὶ ἑξ.

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 571, 11: Οἱ ἄρρενες χαλεπώτατοι περὶ τὴν ὀχείαν· οἵ τε γὰρ ἵπποι δάκνουσι τοὺς ἵππους . . καὶ οἱ ὗες οἱ ἄγριοι . . πρὸς ἀλλήλους ποιοῦνται μάχας θαυμαστὰς . . μάχονται δὲ πρὸς ἀλλήλους οὕτω σφοδρῶς ὥστε πολλάκις ἀμφότεροι ἀποθνήσκουσιν· ὡσαύτως δὲ καὶ οἱ ταῦροι καὶ οἱ κριοὶ καὶ οἱ τράγοι· πρότερον γὰρ ὄντες σύννομοι ἕκαστοι περὶ τοὺς καιροὺς τῆς ὀχείας μάχονται διιστάμενοι πρὸς ἀλλήλους. — *Αἰλιανός*, ἔνθ. ἀν. 1, 26: Μάχονται ὑπὲρ τῶν θηλειῶν ὡς ὑπὲρ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολὺ ζῶσιν ἐν εἰρήνῃ καὶ ἀγάπῃ 1). Χαίρουσι συντρεφόμενα καὶ συναγελαζόμενα μετ' ἀλλήλων 2). Φέρονται καὶ πλανῶνται καὶ νήχονται καὶ νέμονται καὶ βόσκουσι καὶ εἰς φυγὴν ὁρμῶσι καὶ ἀποδημοῦσι καὶ ἐπανέρχονται κοινῇ καὶ ἀγεληδόν 3), ἡγεμόνας ποιούμενα τὰ ἰσχυρότατα καὶ ἐμπειρότατα καὶ γενναιότατα αὐτῶν 4). Συζῶσιν ἀδελφι-

ὡραίων γυναικῶν καὶ οἱ τράγοι πρὸς τράγους καὶ οἱ ταῦροι πρὸς ταύρους καὶ ὑπὲρ οἰῶν οἱ κριοὶ πρὸς τοὺς ἀντερῶντας· ὀργῶσι δὲ ἐπὶ τὰς θηλείας καὶ οἱ θαλάττιοι κάνθαροι . . καὶ εἰσὶ ζηλότυποι, καὶ ἴδοις ἂν μάχην ὑπὲρ τῶν θηλειῶν κρατεράν.—Ἰδ. προσέτι *Ἀριστοτέλην*, ἔνθ. ἀν. 572, 6, 9.— Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 188: «Bei Thieren mit wilderer Gemüthsart läuft diese Freiwerberei nicht so friedlich ab, sondern sie wird meistens zu einem heftigen Kampf der Männchen unter einander» κτλ.

1) *Πορφύριος*, περὶ ἀποχ. κτλ. 3, 11: Τὰ δὲ συναγελαστικὰ ὅπως τηρεῖ τὸ δίκαιον τὸ πρὸς ἄλληλα τίς ἀγνοεῖ;—*Πλούταρχος*, Πότερα κτλ. 977 C: Ἄλλα ἐπιδείκνυνται μετὰ τοῦ συνετοῦ τὸ κοινωνικὸν καὶ τὸ φιλάλληλον. — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 27: Τὰ πρόβατα φιλεῖ ἄλληλα ἰσχυρῶς. — *αὐτόθ.* 4, 30: Οἱ κολοιοὶ δεινῶς φιλοῦσι τὸ ὁμόφυλον. Ἴδε καὶ *Μάρκον Αὐτωνῖνον*, Τῶν εἰς ἑαυτὸν 11, 18, ἔνατον. *Πλούταρχον*, ἔνθ. ἀν. 979 F. Καὶ ἀνωτ. σελ. 42 καὶ σημ. 6.

2) *Πλούταρχος*, Πότερα κτλ. 979 F: Θύννοι πάνυ χαίρουσι τῷ συντρέφεσθαι καὶ συναγελάζεσθαι μετ' ἀλλήλων.

3) *Πλούταρχος*, Πότερα κτλ. 980 A: Τῶν γενῶν ὅσα φαίνεται καὶ ζῇ κοινωνικῶς μετ' ἀλλήλων ἀγεληδὸν οὐκ ἄν τις εἴποι τὸν ἀριθμόν. — *Αἰλιανός*, 13, 19: Ἐν τῷ Ἰονίῳ πελάγει . . κεφάλων εἰσὶ κατ' ἴλας . . ἄφθονοι νήξεις καὶ πλήθη πάμπολλα. — *αὐτόθ.* 9, 52: Αἱ τευθίδες κατ' ἀγέλας ὀρνίθων δίκην φέρονται κοινῇ — *αὐτόθ.* 9, 53: Ἁλῶνται δ' ἄρα ἰχθῦς καὶ πλανῶνται οἱ μὲν ἀθρόοι ὥσπερ οὖν ἀγέλαι θρεμμάτων ἢ τάξεις ὁπλιτῶν ἰοῦσαι κατ' ἴλας καὶ φάλαγγας, οἱ δὲ ἐν κόσμῳ κατὰ στοῖχον ἔρχονται. — *αὐτόθ.* 13, 20: Τῶν κητῶν τὰ ὑπέρογκα ἄγαν καὶ τὸ μέγεθος ὑπερήφανα . . νεῖ κατ' ἀγέλας — *αὐτόθ.* 10, 8: Οἱ δελφῖνες νήχονται κοινῇ. — *αὐτόθ.* 1, 46: Οἱ συνόδοντες φιλοῦσι συναγελαζεσθαι καθ' ἡλικίαν. — *Πλούταρχος*, ἔνθ. ἀνωτ. 980 A. C. Ἁμίαι . . πορφύραι συναγελαζόμεναι.—*Ἡσίοδος*, Ἀσπὶς Ἡρακλέους 314: Οἱ δὲ κατ' αὐτὸν (τὸν Ὠκεανόν) | κύκνοι ἀερσιπόται μεγάλ' ἤπυον, οἵ ῥά τε πολλοὶ | νῆχον ἐπ' ἄκρον ὕδωρ. — *Ὅμηρος*, Ἰλ. Ο 690: Ὡς τ' ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων | ἔθνος ἐφορμᾶται, ποταμὸν πάρα βασκομενάων, | χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων, | ὥς κτλ.—*Ἀρριανός*, Ἰνδικὴ 13, 6: Οἱ ἄγριοι ἐλέφαντες .. νύκτωρ πλανέονταί τε πάντες καὶ ἀγεληδὸν νέμονται, τῷ μεγίστῳ καὶ γενναιοτάτῳ σφῶν ἑπόμενοι, κατάπερ αἱ βόες τοῖσι ταύροισιν. — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 36: Ὅταν ὑπὸ τῶν θηρατῶν ὡς ἐν πολέμῳ στρατιῶται τραπῶσιν οἱ ἐλέφαντες καὶ εἰς φυγὴν ὁρμήσωσιν οὐ φεύγουσι διῃρημένοι οὐδὲ καθ' ἕνα, ἀλλὰ κοινῇ . . καὶ κύκλῳ μὲν οἱ νέοι, ὡς εἰπεῖν τὸ μαχιμώτατον, ἐν μέσῳ δὲ οἱ γεγηραμότες καὶ αἱ μητέρες, ὑπὸ ταύταις δὲ τὰ πῶλια ἑκάστη τὸ ἴδιον ἀποκρύπτουσα. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 192 - 193. Romanes, ἔνθ. ἀν. σελ. 314 - 328 καὶ σελ. 382.

4) *Πολύβιος*, 6, 5, 7: Ἐπὶ τῶν συναγελαζομένων ζώων . . τοὺς ἰσχυροτάτους ὁρῶμεν ἡγουμένους. — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 13: Αἱ γέρανοι . . ποιοῦνται ἡγεμόνας τῆς πτήσεως τὰς ἤδη τῆς ὁδοῦ πεπειραμένας . . εἶεν δ' ἂν ὡς τὸ εἰκὸς αἱ πρεσβύτεραι, —

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κῶς 1), παίζουσι καὶ διασκεδάζουσιν 2), ἁμιλλῶνται 3), διαλέγονται ἀνακοινοῦντα πρὸς ἄλληλα τὰς ἐπιθυμίας καὶ τὰ συναισθήματα καὶ τὰ διανοήματα αὐτῶν, τὰ πάθη τὰ ἀνακυκῶντα τὴν ψυχὴν αὐτῶν, τοὺς πόθους τοὺς θάλποντας τὴν καρδίαν αὐτῶν 4). Συνεννοοῦν-

Ὁμηρος, Ἰλ. Ν 491 : Οἳ οἱ ἅμ' ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα | λαοὶ ἕπονθ', ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα πιόμεν' ἐκ βοτάνης. — *Ἀρριανός*, Ἰνδικὴ 13, 6 : Οἱ δὲ ἄγριοι ἐλέφαντες . . νύκτωρ πλανέονταί τε πάντη καὶ ἀγεληδὸν νέμονται τῷ μεγίστῳ καὶ γενναιοτάτῳ σφῶν ἑπόμενοι κατάπερ οἱ βόες τοῖσι ταύροισιν. Ἶδ. καὶ *Ἀρριανόν*, Ἐπικτήτ. διατριβ. 3, 22, 99.

1) *Αἰλιανός*, ἔνθ. ἀν. 9, 46 : Ῥυάδες . . ὑπαρχομένου τοῦ χειμῶνος ἡσυχάζουσι τοὺς κρυμοὺς ἀποδιδράσκουσαι καὶ ἀσμένως ἑαυτὰς τῇ καταμονῇ θάλπουσαι ἰσομοιρίᾳ ἀδελφικῇ. εἶτα ἦρος νεῖν ὑπάρχονται καὶ πορείας τῆς μακροτέρας.

2) *Ὁμηρος*, Ἰλ. Β 459 : Ὡς τ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλὰ | χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων, | Ἀσίῳ ἐν λειμῶνι Καϋστρίου ἀμφὶ ῥέεθρα | ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμενα πτερύγεσσιν, | κλαγγηδὸν προκαθιζόντων, σμαραγεῖ δέ τε λειμών, | ὡς τῶν ἔθνεα κτλ. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 570, α, 30 : Αἱ ἵπποι πρὸς αὐτὰς παίζουσιν. — *Ξενοφῶν*, Κυνηγετικὸς 5, 4 : Οἱ λαγὼ χαίροντες τῷ φέγγει τῆς σελήνης ἐπαναρριπτοῦντες μακρὰ διαιροῦσι (τὰ ἴχνη) ἀντιπαίζοντες. — *Ἀρριανός*, Κυνηγετικὸς 12, 1 : Προάγειν τὰς κύνας . . εἰς ὁμαλὸν χωρίον καὶ καθαρόν . . καὶ δύω ἐπιλύειν ἐν ταὐτῷ, ὥστε ἁμιλλωμένας καὶ παιζούσας ὁμοῦ μὲν εὐφραίνεσθαι ἐμοῦ δὲ γυμνάζεσθαι. — *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστ. 629, 6, 10 : Ὁ λέων πρὸς τε τὰ σύντροφα καὶ τὰ συνήθη σφόδρα φιλοπαίγμων καὶ στερκτικός. — *Πλούταρχος*, περὶ τῆς εἰς τὰ ἔκγονα κτλ. 494 F : Τὰς δὲ ἀλεκτορίδας ἐν τοῖς ὄμμασι καθ' ἡμέραν ἔχομεν, ὂν τρόπον τὰ νεόττια περιέπουσιν, τοῖς μὲν ἐνδῦναι χαλῶσαι τὰς πτέρυγας, τὰ δ' ἐπιβαίνοντα τῶν νώτων καὶ προσέρποντα πανταχόθεν ἀναδεχόμεναι μετὰ τοῦ γεγηθός τι καὶ προσφιλὲς ἐπιφθέγγεσθαι. Ἶδ. καὶ *Αἰλιανόν*, ἔνθ. ἀν. 4, 34. 5, 39.

3) *Αἰλιανός*, ἔνθ. ἀν. 2, 6 : Ὁ δὲ δελφὶν εἴτε πρὸς εἰρεσίαν ἡμιλλᾶτό τινα, εἴτε ἐκυβίστα τῶν ἄλλων ὅσοι περὶ τὸν χῶρον ἐπλανῶντο ἀγελαῖοι κατασκιρτῶν, εἴτε κτλ. — *Ἀρριανός*, Κυνηγ. 31, 4 : Αἱ κύνες . . ἁμιλλώμεναι, ἔστιν ὅτε καὶ ὑπὲρ δύναμιν συνταθεῖσαι ἐς ἴσον κίνδυνον καθίστανται. — Τὸ αὐτὸ καὶ *Μάξιμος ὁ Τύριος* λόγ. 24, 2. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἶδ. Romanes ἔνθ. ἀν. σελ. 328.

4) *Σέξτος ὁ Ἐμπειρικός*, Πυρρωνείων ὑποτυπώσεων Α. ~~74~~, ἔκδ. Bekker, σελ. 18, στίχ. 9 : Εἰ καὶ μὴ συνίεμεν τὰς φωνὰς τῶν ἀλόγων καλουμένων ζώων, ἀλλ' οὐκ ἔστιν ἀπεικὸς διαλέγεσθαι μὲν ταῦτα, ἡμᾶς δὲ μὴ συνιέναι· καὶ γὰρ καὶ τῆς τῶν βαρβάρων φωνῆς ἀκούοντες οὐ συνίεμεν ἀλλὰ μονοειδῆ ταύτην δοκοῦμεν εἶναι. — *Θεμίστιος*, ἔνθ. ἀν. 2, 8, σελ. 123 : Ἀλλ' οὐδὲ τὸ *χρέμπτεσθαι* οὐδὲ τὸ ποππύζειν φωνεῖν ἐστιν· οὐ γὰρ γίνεται μετὰ φαντασίας τινός· δεῖ γὰρ τοῦτο προσεῖναι τῷ ὅρῳ τῆς φωνῆς· σημαντικὴ γάρ τις ψόφος ἐστὶν ἡ φωνή, ἀλλὰ τῶν μὲν φύσει, οἷον ὁ τῶν ἀλόγων ζώων· σημαίνει γὰρ καὶ τὰ ἄλογα τὰ πρῶτα πάθη τὸ ἥδεσθαι ἢ τὸ λυπεῖσθαι, τῶν δὲ κατὰ συνθήκην οἷον ἡ τῶν ἀνθρώπων. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 4 : Δηλοῖ γε μὴν καὶ τὸ ποικίλον καὶ διάφορον τῆς φθέγξεως αὐτῶν τὸ σημαντικόν· ἄλλως γοῦν ἀκούεται, ὅταν φοβῆται φθεγγόμενα, ἄλλως ὅταν καλῇ, ἄλλως ὅταν εἰς τροφὴν παρακαλῇ, ἄλλως ὅταν φιλοφρονῆται, ἄλλως ὅταν προκαλῆται εἰς μάχην . . ὅταν δὲ πρὸς ἄλληλα φθέγγηται, φανερά τε καὶ εὔσημα. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 536, α,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ται ἐν πᾶσι 1). Σχεδιάζουσι καὶ ἐπιχειροῦσιν ἀπὸ κοινοῦ εἴτε πρὸς εὐμαρεστέραν τοῦ βίου διαγωγήν, εἴτε πρὸς ἐκπλήρωσιν τῶν συμφύτων αὐτῶν ὁρμῶν καὶ διαθέσεων, εἴτε πρὸς εὕρεσιν τροφῆς, εἴτε

32. 20. 24. 11: Τὰ ζωοτόκα καὶ τετράποδα ζῶα ἄλλα ἄλλην ἀφίησι φωνὴν . . τὸ τῶν ὀρνίθων γένος ἀφίησι φωνὴν . . πολύφωνα δ' ἐστι καὶ λαλίστερα . . μάλιστα περὶ τὴν ὀχείαν . . καὶ τὰ μὲν μαχόμενα φθέγγεται . . τὰ δὲ πρὸ τοῦ μάχεσθαι προκαλούμενα ἢ νικῶντα . . καὶ τὴν ὁλολυγόνα δὲ τὴν γενομένην ἐν τῷ ὕδατι οἱ βάτραχοι οἱ ἄρρενες ποιοῦσιν, ὅταν ἀνακαλῶνται τὰς θηλείας πρὸς τὴν ὀχείαν· εἰσὶ γὰρ ἑκάστοις τῶν ζώων ἴδιαι φωναὶ πρὸς τὴν ὁμιλίαν καὶ τὸν πλησιασμόν. — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 51: Κόραξ ὀρνίθων πολυκλαγγότατός τε καὶ πολυφωνότατος· φθέγμα δὲ αὐτοῦ παίζοντος μὲν ἄλλο σπουδάζοντος δ' ἕτερον. — *Πλούταρχος*, περὶ σαρκοφαγίας 994 E: Εἶθ' ἃς φθέγγεται καὶ διέτρισε φωνὰς ἀνάρθρους εἶναι δοκοῦμεν, οὐ παραιτήσεις καὶ δεήσεις καὶ δικαιολογίας ἑκάστου; — *αὐτόθ.* Πότερα κτλ. 973 A: Καὶ προφορικοῦ λόγου καὶ φωνῆς ἐνάρθρου μέτεστιν αὐτοῖς. — *Σέξτος ὁ Ἐμπειρικός*, ἔνθ. ἀν. 77, ἔκδ. Bekker, σελ. 18, στίχ. 26: Τίς οὐκ ἂν εἴποι τοὺς ὄρνιθας ἀγχινοίᾳ τε διαφέρειν καὶ τῷ προφορικῷ κεχρῆσθαι λόγῳ; — *αὐτόθ.* 75, σελ. 18, στίχ. 13: Καὶ ἀκούομεν δὲ τῶν κυνῶν ἄλλην μὲν φωνὴν προϊεμένων ὅταν ἀμύνωνταί τινας, ἄλλην δὲ ὅταν ὠρύωνται καὶ ἄλλην ὅταν τίπτωνται, καὶ διάφορον ἐπὰν σαίνωσι· καὶ ὅλως εἴ τις εἰς τοῦτο ἀτενίσειεν, εὕροι ἂν πολλὴν παραλλαγὴν τῆς φωνῆς παρὰ τούτῳ καὶ τοῖς ἄλλοις ζώοις ἐν ταῖς διαφόροις περιστάσεσιν, ὥστε διὰ ταῦτα εἰκότως λέγοιτ' ἂν καὶ τοῦ προφορικοῦ μετέχειν λόγου τὰ καλούμενα ἄλογα ζῶα . . Ἰδ. καὶ *Πλούταρχον*, Πότερα κτλ. 973 C καὶ ἑξ. Ὁμηρον Ὀδύσ. τ 518.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 618, 6, 16: Κόρακες ἔχουσιν αἴσθησίν τινα τῆς παρ' ἀλλήλων δηλώσεως. — *Αἰλιανός*, περὶ ζώων 3, 16: Ἡ μήτηρ τὰ βρέφη καλεῖ, οἱ δὲ προσπέτονται γνωρίσαντες τὸ φώνημα. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 3: Εἰ δὲ μὴ ἡμεῖς ξυνίεμεν, τί τοῦτο; οὐδὲ γὰρ τῆς Ἰνδῶν οἱ Ἕλληνες οὐδὲ τῆς Σκυθῶν ἢ Θρᾳκῶν ἢ Σύρων οἱ ἐν τῇ Ἀττικῇ τραφέντες· ἀλλ' ἴσα κλαγγῇ γεράνων ὁ τῶν ἑτέρων τοῖς ἑτέροις ἦχος προσπίπτει . . καθάπερ γὰρ ἡμεῖς ψόφου μόνου ἀντιλαμβανόμεθα καὶ ἠχου, ἀξύνετοι ὄντες τῆς Σκυθῶν ὁμιλίας, καὶ κλαγγάζειν δοκοῦσιν καὶ μηδὲν διαρθροῦν, ἀλλ' ἐνὶ ψόφῳ χρῆσθαι μακροτέρῳ ἢ βραχυτέρῳ, τὸ παρηλλαγμένον δὲ αὐτοῦ εἰς σημασίαν οὐδαμῶς προσπίπτει, ἐκείνοις δὲ εὐσύνετος ἡ φθέγξις καὶ πολὺ τὸ διάφορον ἔχουσα, καθάπερ ἡμῖν ἡ συνήθης· οὕτως καὶ ἐπὶ τῶν ζώων ἡ ξύνεσις μὲν ἐκείνοις κατὰ γένος ἰδίως προσπίπτει, ἡμῖν δὲ ὁ ψόφος μόνος ἐξάκουστος τῆς σημασίας ἐκλιπούσης. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς βιβλ. 1, κεφ. 21, ἔκδ. Potter, σελ. 404-405: Οἴεται δὲ (ὁ Πλάτων) καὶ ἀλόγων ζώων διαλέκτους εἶναι, ὧν τὰ ὁμογενῆ ἐπακούειν. Ἐλέφαντος γοῦν ἐμπεσόντος εἰς βόρβορον καὶ βοήσαντος, παρών τις ἄλλος καὶ τὸ συμβὰν θεωρήσας, ὑποστρέψας μετ' οὐ πολύ, ἄγει μεθ' ἑαυτοῦ ἀγέλην ἐλεφάντων, καὶ σώζει τὸν ἐμπεπτωκότα. Φασὶ δὲ καὶ ἐν τῇ Λιβύῃ σκορπίον, ἐὰν μὴ ἐφικνῆται παίειν τὸν ἄνθρωπον, ἀπιόντα μετὰ πλειόνων ἀναστρέφειν· ἐξαρτώμενον δὲ θάτερον θατέρου ἀλύσεως δίκην, οὕτω δὴ φθάνειν ἐπιχειροῦντα τῇ ἐπιβουλῇ· οὐ δήπου νεύματι ἀφανεῖ τῶν ἀλόγων ζώων κεχρημένων, οὐδὲ μὴν τῷ σχήματι μηνυόντων σφίσιν, ἀλλ' οἶμαι τῇ οἰκείᾳ διαλέκτῳ. — Τὰ αὐτὰ ὁμοφώνως πάντες καὶ οἱ καθ' ἡμᾶς σοφοὶ Darwin, Romanes, Schuberth, Oppel, Wundt κτλ. Ἰδ. *Romanes*, ἔνθ. ἀν. σελ. 241-243. *Schuberth*, ἔνθ. ἀν. σελ. 319. Oppel, ἔνθ. ἀν. σελ. 4. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 389 περὶ τὰ μέσα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πρὸς ἐπίθεσιν κατὰ τῶν ἐχθρῶν, εἴτε πρὸς ἀπαλλαγὴν ἀπὸ τούτων καὶ φυλακὴν καὶ σωτηρίαν ἑαυτῶν παντὸς εἴδους ἐπιχειρήσεις 1), ἃς διὰ κοινῆς συνεργασίας καὶ ἀμοιβαίας βοηθείας αἰσίως διεξάγουσι 2). Βοηθοῦσιν ἄλληλα κατὰ τὰς παντοίας ἀνιαρὰς καὶ

1) *Πλούταρχος*, Πότερα κτλ. 975 E: Ἡ θάλασσα μικρὰ κατιδεῖν καὶ γλίσχρα δίδωσι· τῶν δὲ πλείστων κατακαλύπτει γενέσεις καὶ τροφὰς ἐπιθέσεις τε καὶ φυλακάς ἀλλήλων, ἐν οἷς οὐκ ὀλίγα καὶ συνέσεως ἔργα καὶ μνήμης καὶ κοινωνίας ἀγνοούμενα βλάπτει τὸν λόγον. Τὰ αὐτὰ καὶ ὁ Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 202: «Die Vereinigungen der Zugvögel und der anderen Thiere, die sich zu grösseren Schwärmen zusammenfinden sind zu besonderen Zwecken entstanden, zu gemeinsamer Wanderung, zu gemeinsamen Raubzügen überhaupt zu genseitige Schutze.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 5, 56: Αἱ ἐν Σύροις ἔλαφοι γίνονται μὲν ἐν ὄρεσι μεγίστοις.. ὅταν δὲ βουληθῶσι περαιώσασθαι τὴν θάλατταν, ἐπὶ τὰς ἠόνας ἀφικνοῦνται ἡ ἀγέλη, καὶ ἀναμένουσι τοῦ πνεύματος τὴν φθίσιν, καὶ ἡνίκα ἂν αἴσθωνται πρᾶον αὐτὸ καὶ ἥσυχον καταπνέον, τηνικαῦτα ἐπιθαρροῦσι τῷ πελάγει· νέουσι δὲ κατὰ στοῖχον, καὶ ἀλλήλων ἔχονται, τὰ γένεια αἱ ἐπόμεναι τῶν προηγουμένων τῇ ὀσφύϊ ἐπερείδουσαι. — *αὐτόθ.* 8, 15: Ὅταν ὑπερδῆναι τάφρον οἱ ἐλέφαντες μὴ δύνωνται, εἷς ὁ μέγιστος ἑαυτὸν εἰς αὐτὴν ἐμβάλλει, καὶ πλάγιος ἵσταται καὶ γεφυροῖ τὸ κενόν, καὶ ἐπ' αὐτοῦ βαίνοντες εἰς τὸ ἀντιπέρας ἴασι καὶ ἀποδιδράσκουσι, πρότερον μέντοι καὶ ἐκεῖνον ἀνασώσαντες. — *αὐτόθ.* 3, 6: Λύκοι ποταμὸν διανέοντες, ὑπὲρ τοῦ μὴ πρὸς βίαν ἐκ τῆς τοῦ ῥεύματος ἐμβολῆς ἀνατρέπεσθαι.. τὰς οὐρὰς τὰς ἀλλήλων ἐνδακόντες.. ἀντιπίπτουσι τῷ ῥεύματι καὶ ἀλύπως διενήξαντο καὶ ἀσφαλῶς. — *αὐτόθ.* 6, 23: Οἷα δ' ἄρα σοφίσματα καὶ τοῖς σκορπίοις ἡ φύσις ἔοικε δοῦναι.. ὁποῖα πολαμῶνται. σκορπίος εἰ λάβοιτο ὁπόθεν ἑαυτὸν ἐξαρτήσει κατὰ τοῦ ὀρόφου, ἔχεται τούτου ταῖς χηλαῖς καὶ μάλα ἐγκρατῶς καὶ καθῆκε τὸ κέντρον. οὐκοῦν ὁ δεύτερος κάτεισιν ἐκ τῆς στέγης, καὶ διὰ τοῦ πρώτου καθέρπει, καὶ τοῦ κέντρου τοῦ ἐκείνου ἔχεται καὶ αὐτὸς ταῖς χηλαῖς, καὶ τό γε ἑαυτοῦ μετέωρον εἴασε κέντρον· καὶ ὁ τρίτος ἐκεῖθεν ἔχεται, καὶ ὁ τέταρτος ἐκ τοῦ τρίτου, καὶ ὁ πέμπτος κατὰ στοῖχον καὶ οἱ ἐπ' ἐκείνοις διὰ τῶν πρώτων καθέρποντες· εἶτα ὁ τελευταῖος ἔπαισε τὸν καθεύδοντα καὶ διὰ τῶν ἀνωτέρω ἀνέρπει, καὶ ὁ μετ' ἐκεῖνον καὶ ὁ κάτωθεν τρίτος καὶ οἱ λοιποί, ἕστε οἱ πάντες ἀλλήλων ἀπελύθησαν οἷα δήπου λύσαντες ἄλυσιν.— *αὐτόθ.* 8, 14: Λύκοι βοῦ εἰς τέλμα βαθὺ ἐμπεσόντι ἐάν πως περιτύχωσι, παράττουσι μὲν αὐτὸν ἔξωθεν καὶ φοβοῦσι, διανήξασθαι καὶ ἐπιδῆναι τῆς γῆς οὐκ ἐπιτρέποντες, ἀναγκάζουσι δὲ τῷ χρόνῳ στρεβλούμενον καὶ ἰλυσπώμενον ἀποπνιγῆναι. εἶτα εἷς αὐτῶν ὁ τελεώτατος ἐμπηδήσας τῷ ὕδατι καὶ προσνεύσας ἐλάβετο τῆς οὐρᾶς τοῦ βοὸς καὶ ἕλκει ἐς τὸ ἔξω, καὶ ἕτερος τῆς ἐκείνου λαβόμενος αὐτὸν ἕλκει, καὶ τὸν δεύτερον ὁ τρίτος, καὶ τοῦτον ὁ τέταρτος, καὶ δρᾶται τὸ εἰρημένον μέχρι τοῦ τελευταίου, ὅσπερ οὖν ἔξω τοῦ ὕδατος ἔστηκε. καὶ τὸν τρόπον τοῦτον ἐξαγαγόντες τὸν βοῦν ποιοῦνται δεῖπνον. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 612, α, 15: Ὁ ἰχνεύμων.. ὅταν ἴδῃ τὸν ὄφιν τὴν ἀσπίδα καλουμένην, οὗ πρότερον ἐπιτίθεται πρὶν συγκαλέσῃ βοηθοὺς ἄλλους. — *Αἰλιανός*, ἔνθ. ἀν. 8, 18: Ἐγγραύλιες.. μικρὰ ἰχθύδια καὶ πολύγονα φύσει, λευκότατα ἰδεῖν. ἐσθίουσί γε μὲν μάλιστα οἱ ἀγελαῖοι τῶν ἰχθύων αὐτά· δείσαντα οὖν συνθεῖ πρὸς ἄλληλα, καὶ ἐχόμενον τοῦ πλησίον ἕκαστον τῇ σφίγξει τὸ ῥᾳδίως ἐπιβουλεύσεσθαι διαπέφευγε. Ἴδ. καὶ *Αἰλιανὸν* 5, 11: Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. *Oppel* (ἔνθ. ἀν. σελ. 3 ἐν τέλει): «Die Thiere haben allerdings Vernunft

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χαλεπὰς τοῦ βίου αὐτῶν περιστάσεις, οἱ νεώτεροι τοὺς πρεσβυτέρους 1), οἱ πρεσβύτεροι τοὺς νεωτέρους 2), οἱ ὑγιεῖς τοὺς νοσοῦντας 3), οἱ ἐν ἀσφαλείᾳ τοὺς ἐν κινδύνῳ 4), οἱ ἡγεμόνες ὑπὲρ ὅλης τῆς ἀγέ-

und Uberlegung, sie beobachten und folgern, sie prüfen und beplanen» *Wundt* (ἔνθ. ἀν. τόμ. 2, σελ. 192 ἐν τέλει) : « Viele Thiere schaaren sich nur zur besonderen Zwecken zusammen, namentlich wenn sie auf Raub oder Nahrung ausgehen».

1) *Πλούταρχος*, Πότερα κτλ. 972 C: Κοινωνικὰ τὰ τῶν λεόντων· οἱ γὰρ νέοι τοὺς βραδεῖς καὶ γέροντας ἤδη συνεξάγουσιν ἐπὶ θήραν· ὅπου δ' ἂν ἀπαγορεύσωσιν, οἱ μὲν κάθηνται περιμένοντες, οἱ δὲ θηρεύουσι· κἂν λάβωσιν ὁτιοῦν ἀνακαλοῦνται .. οἱ δ' εὐθὺς αἰσθάνονται καὶ παραγενόμενοι κοινῇ τὴν ἄγραν ἀναλίσκουσιν. — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 11: Ἐὰν ᾖ λᾠον ταῖς μελίτταις μεταστῆναι, τηνικαῦτα καὶ ὁ ἄρχων ἀπαλλάττεται. καὶ ἐὰν μὲν ἔτι νέος ᾖ, ἡγεῖται, αἱ δὲ λοιπαὶ ἕπονται· ἐὰν δὲ πρεσβύτερος, φοράδην ἔρχεται, κομιζουσῶν αὐτῶν μελιττῶν ἄλλων. Ἴδ. καὶ τὴν ἐν σελ. 119 ὑποσελ. σημ. 1 καὶ τὴν ἐν σελ. 111 ὑποσελ. σημ. 1. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Wundt τόμ. 2. σελ. 201 : « Der Gemeinsinn der Ameisen ist sehr stark.. Junge und schwache werden bei Auswanderungen bisweilen von den kräftigeren getragen ».

2) *Ἀριστοτέλης*, περὶ ζώων ἱστορ. 631, α, 14 : Τοῖς μικροῖς δελφῖσιν ἀκολουθεῖ τις ἀεὶ τῶν μεγάλων φυλακῆς χάριν.— Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Oppel, ἔνθ. ἀν. σελ. 399 περὶ τῶν γεράνων « Dass die Jungen.. von enigen Alten geleitet, worangeschickt werden .. »

3) *Αἰλιανός*, περὶ ζώων 7, 15 : Γήρᾳ παρειμένον ἐλέφαντα ἢ νόσῳ κατειλημμένον οὐκ ἄν ποτε οἱ συναγελαζόμενοι καταλίποιεν, ἀλλὰ πιστῶς παραμένουσι, καὶ ἀναρρῶσαι σπεύδουσι τῇ τε ἄλλῃ καὶ ἐὰν διώκωνται, καὶ ὑπὲρ αὐτοῦ μάχονται, καὶ τιτρώσκονται παραμένοντες φυγεῖν δυνάμενοι. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 197 : « Wenn die Königin (der Honigbienen) lahm geworden beim Ausfliegen zu Boden fällt, so bleiben oft einige bei ihr und gehen mit ihr zu Grunde.

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 631, α, 11 : Περὶ Καρίαν ληφθέντος δελφῖνος καὶ τραύματα λαβόντος ἀθρόον ἐλθεῖν λέγεται πλῆθος δελφίνων εἰς τὸν λιμένα, μέχρι περ ὁ ἁλιεὺς ἀφῆκεν· τότε δὲ πάλιν ἅμα πάντες ἀπῆλθον. (τὸ αὐτὸ καὶ Αἰλιανός, ἔνθ. ἀν. 5, 6 καὶ 11, 12). — *Πλούταρχος*, Πότερα κτλ. 977 C: Ἄλλα ἐπιδείκνυται μετὰ τοῦ συνετοῦ τὸ κοινωνικὸν καὶ τὸ φιλάλληλον ὥσπερ ἀνθίαι καὶ σκάροι. σκάρου μὲν γὰρ ἄγκιστρον καταπιόντος, οἱ παρόντες σκάροι προσαλλόμενοι τὴν ὁρμιὰν ἀποτρώγουσιν· οὗτοι δὲ καὶ τοῖς εἰς κύρτον ἐμπεσοῦσι τὰς οὐρὰς παραδόντες ἔξωθεν ἕλκουσι δάκνοντας προθύμως καὶ συνεξάγουσιν. οἱ δὲ ἀνθίαι τῷ συμφύλῳ βοηθοῦσιν ἰταμώτερον· τὴν γὰρ ὁρμιὰν ἀναθέμενοι κατὰ τὴν ῥάχιν καὶ στήσαντες ὀρθὴν τὴν ἄκανθαν ἐπιχειροῦσι διαπρίειν τῇ τραχύτητι καὶ διακόπτειν. (τὸ αὐτὸ καὶ Αἰλιανὸς 1, 4). — *αὐτόθ.* 972 B: Τό γε μὴν κοινωνικὸν μετὰ τοῦ συνετοῦ τοὺς ἐλέφαντας ἀποδείκνυσθαί φησιν ὁ Ἰόβας· ὀρύγματα γὰρ αὐτοῖς οἱ θηρεύοντες ὑπεργασάμενοι λεκτοῖς φρυγάνοις καὶ φορητῷ κούφῳ κατερέφουσιν· ὅταν οὖν τις εἰσολισθήσῃ, πολλῶν ὁμοῦ σωρευομένων, οἱ λοιποὶ φοροῦντες ὕλην καὶ λίθους ἐμβάλλουσιν, ἀναπληροῦντες τὴν κοιλότητα τοῦ ὀρύγματος, ὥστε ῥᾳδίαν ἐκείνῳ γενέσθαι τὴν ἔκβασιν. (τὸ αὐτὸ καὶ Αἰλιανὸς 6, 61). — Περὶ τῆς ἀκριβείας τούτου ἐκφράζει ἐνδοιασμούς τινας ὁ Πλούταρχος λέγων (αὐτόθ. 977 C) : « Ἡ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λης 1). Κηδεύουσι τοὺς νεκροὺς αὐτῶν παρακολουθοῦντα τὴν ἐκφορὰν καὶ προσέχοντα μήτι ἄλλο ζῶον ἀσεβήσῃ πρὸς τοὺς ἀποιχομένους· ἔστιν ὅτε δὲ καὶ θάπτουσιν αὐτούς 2). Κατοικοῦσιν ἐν ταὐτῷ πολλὰ ὁμοῦ 3). Κατασκευάζουσι μυωνίας 4), μυρμηκιάς 5), ἀνθρήνια 6), τενθρήνια 7), σφηκιάς 8), κυψέλας 9). Οἰκοδομοῦσι κώμας καὶ πόλεις 10)

δὲ τῶν ἐλεφάντων ἱστορία, φίλε, τῶν εἰς ὀρύγματα φορούντων καὶ τὸν ὀλισθόντα διὰ χώματος ἀναβιβαζόντων ἔκτοπός ἐστι δεινῶς καὶ ἀλλοδαπή». – Καὶ ἐν τούτοις μετὰ δισχίλια ἔτη, ἐν ἔτει δηλ. 1840, ἐδημοσιεύθη ἐν τῇ σελ. 238 τοῦ ἀγγλικοῦ περιοδικοῦ «Athenaeum» τοιαύτη τις κοινωνικὴ πρᾶξις τῶν καθ' ἡμᾶς χρόνων ἐλεφάντων, περὶ ἧς ἴδ. ἐν Romanes «Die geistige Entwickelung im Thiereich», σελ. 432, σημ. 2.

1) Ἀρριανός, Ἐπικτήτου διατριβαὶ I, 2, 30 : Ὁ ταῦρος λέοντος ἐπελθόντος μόνος αἰσθάνεται τῆς αὐτοῦ παρασκευῆς καὶ προδέδληκεν ἑαυτὸν ὑπὲρ τῆς ἀγέλης πάσης.

2) Ἀριστοτέλης, περὶ τὰ ζῶα ἱστορ. 631, α, 15 : Ἥδη δ' ὤπται δελφίνων μεγάλων ἀγέλη ἅμα καὶ μικρῶν· τούτων δὲ ἀπολειπόμενοί τινες δύο οὐ πολὺ ἐφάνησαν μικρὸν τεθνηκότα ὅτ' εἰς βυθὸν φέροιτο, ὑπονέοντες καὶ μετεωρίζοντες τῷ νότῳ οἷον κατελεοῦντες, ὥστε μὴ καταβρωθῆναι ὑπὸ τῶν ἄλλων θηρίων. — Αἰλιανός, ἔνθ. ἀν. 12, 6 : Ἦσαν δὲ ἄρα δελφῖνες καὶ νεκρῶν μνήμονες καὶ τῶν συννόμων ἀπελθόντων τοῦ βίου οὐδαμῶς προδόται. τὸν γοῦν ἑαυτῶν τεθνεῶτα ὑποδύντες εἶτα μέντοι κομίζουσι φοράδην ἐς τὴν γῆν τοῖς ἀνθρώποις πιστεύοντες ὅθεν, καὶ Ἀριστοτέλης μαρτυρεῖ τοῦτο· ἔπεται δὲ πλῆθος ἕτερον οἱονεὶ τιμῶντες ἢ καὶ νὴ Δία ὑπερμαχοῦντες, μή ποτε ἄλλο κῆτος ἐπιδράμῃ καὶ τὸν νεκρὸν ἁρπάσαν εἶτα καταδαίσηται.— αὐτόθ. 2, 1 : Μελλουσῶν δὲ τῶν γεράνων αἴρεσθαι καὶ τοῦ πρόσω ἔχεσθαι, ὁ παλαίτατος γέρανος περιελθὼν τὴν πᾶσαν ἀγέλην ἐς τρίς, εἶτα μέντοι πεσὼν ἀφίησι τὴν ψυχήν. ἐνταῦθα οὖν οἱ λοιποὶ θάπτουσι τὸν νεκρόν. Πρβλ. καὶ Πλούταρχ. Πότερα κτλ. 967 B. E. Αἰλιαν. ἔνθ. ἀνωτ. 4, 9. 6, 43. 50.

3) Αἰλιανός, ἔνθ. ἀν. 1, 23 : Οἰκία τῷ σαργῷ τῷ ἰχθύϊ πέτραι τε καὶ σήραγγες.. οἰκοῦσι δ' ἐν ταὐτῷ πολλοί. — Ἀριστοτέλης, περὶ τὰ ζῶα ἱστορ. 488. α, 20 : Καὶ τὰ μὲν οἰκητικά, τὰ δὲ ἄοικα· οἰκητικὰ οἷον ἀσπάλαξ, μῦς, μύρμηξ, μέλιττα.

4) Αἰλιανός, ἔνθ. ἀν. 12, 10.

5) Ἀριστοτέλης, περὶ τὰ ζῶα ἱστορ. 534, 6, 23. — Πλούταρχος, Πότερα κτλ. 967 E. 968 A. 974 B. Τῶν ἑπτὰ σοφῶν συμπόσιον 155 C. Περὶ φυγῆς 601 C. πρβλ. καὶ Αἰλιανόν, ἔνθ. ἀν. 6, 43. 16, 15.

6) Ἀριστοφάνης, Σφῆκες 1080 καὶ Σχολιαστὴν αὐτόθ. 1107. πρβλ. καὶ Πλούταρχον, Αἴτια φυσικὰ 916 E.

7) Ἀριστοτέλης, περὶ τὰ ζῶα ἱστορ. 629, 6, 1. Πρβλ. καὶ Πλούταρχον, Συμποσιακὰ προβλήμ. 721 F.

8) Ἀριστοτέλης, περὶ τὰ ζῶα ἱστορ. 628, α, 19, Ἀριστοφάνης, Σφῆκες 224. Σοφοκλῆς, ἀπόσπ. 856. Πλούταρχος, περὶ πολυφιλίας 96 C καὶ περὶ ἀοργησίας 461 A.

9) Ἀριστοτέλης περὶ τὰ ζῶα ἱστορ. 627, 6, 2. Πλούταρχος, περὶ φυγῆς 601 C. πρβλ. καὶ Αἰλιανὸν ἔνθ. ἀν. 1, 59.

10) Αἰλιανός, ἐνθ. ἀν. 16,15: Οἱ Ἰνδοὶ μύρμηκες οἰκίσκους τινὰς συμφορητοὺς ἐργάζονται καὶ τούτους γε ἐν χωρίοις μετεώροις καὶ ὑψηλοῖς. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Wundt τόμ. 2, σελ. 201 ἐν ἀρχῇ : «Die Termiten oder weissen Ameisen, die besonders in Afrika und Südasien vorkommen, oft mehrere

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ διάγουσι τὸν βίον αὐτῶν εὐτάκτως καὶ κοσμίως ἐν πολιτείαις συντεταγμέναις καὶ σφόδρα εὐνομουμέναις 1).

Μοναρχία, δημοκρατία καὶ βασιλεία σφόδρα πρὸς τὴν δημοκρατίαν ἀποκλίνουσα εἶνε τὰ παρὰ τοῖς ἀγελαίοις καλουμένοις ζώοις, πολιτικοῖς τε καὶ μή 2), ἐπικρατοῦντα πολιτεύματα. Καὶ ἡ μὲν μοναρχία ἀναφαίνεται πως καὶ παρὰ τοῖς μὴ πολιτικοῖς τῶν ἀγελαίων 3), ἡ δὲ δημοκρατία καὶ ἡ σφόδρα πρὸς τὴν δημοκρατίαν ἀποκλίνουσα βασιλεία παρὰ τοῖς πολιτικοῖς 4).

Παρὰ τοῖς ἀλόγοις τούτοις ζώοις Διονύσιοι καὶ Κλέαρχοι καὶ Ἀπολλόδωροι καὶ Νάβιδες καὶ Νέρωνες καὶ Καλιγοῦλαι καὶ Σουλτάνοι καὶ ὅπως ἄλλως καλοῦνται οἱ στυγεροὶ τῶν λογικῶν ὄντων τύραννοι οὐδέποτε ἀναφαίνονται 5). Ἐν ταῖς πολιτείαις τῶν ἀλόγων τούτων ζώων ὁ νόμος εἶνε πάντων κύριος καὶ ἡγεμὼν ἀρχόντων τε καὶ ἀρχομένων, ἡ δὲ συντήρησις καὶ προκοπὴ τοῦ κοινοῦ εἶνε ἡ πρυτανεύουσα ἀρχή, καθ' ἣν μεθαρμόζεται πᾶσα ἀτομικὴ σκέψις, πᾶσα ἀτομικὴ βούλησις, πᾶσα ἀτομικὴ ἐνέργεια 6). Ἐνταῦθα οὐδεὶς ἀρ-

Fuss hohe Bauten errichten. Καὶ περὶ πάντων τῶν ἀνωτέρω ἀλλαχοῦ ὁ αὐτός, τόμ. 2, σελ. 193.

1) Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Wundt τόμ. 2, σελ. 193: «Der Staat ist organisch gegliedert». κτλ.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 487, 6, 3: Εἰσὶ δὲ καὶ αἱ τοιαῦται διαφοραὶ κατὰ τοὺς βίους καὶ τὰς πράξεις. τὰ μὲν γὰρ αὐτῶν ἐστιν ἀγελαῖα, τὰ δὲ μοναδικά, καὶ πεζὰ καὶ πτηνὰ καὶ πλωτά, τὰ δ' ἐπαμφοτερίζει. καὶ τῶν ἀγελαίων.. τὰ μὲν πολιτικά, τὰ δὲ σποραδικά ἐστιν.. πολιτικά.. οὐ πάντα τὰ ἀγελαῖα.

3) *Πολύβιος*, 6, 5, 7 καὶ 8: Ἐπὶ τῶν συναγελαζομένων ζώων.. τοὺς ἰσχυροτάτους ὁρῶμεν ἡγουμένους, λέγω δὲ ταύρους, κάπρους, ἀλεκτρυόνας, τὰ τούτοις παραπλήσια. — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 32: Οἱ δὲ στρόμβοι καὶ βασιλέα ἔχουσι, καὶ μάλα γε εὐπειθῶς ἄρχονται, καὶ ὁ μὲν βασιλεὺς οὗτος μεγέθει μὲν ἐστι μέγιστος, κάλλιστος δὲ κάλλει.. μετακινουμένῳ ἕπονται καὶ οἱ λοιποί.

4) *Αριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 488, α, 7: Πολιτικὰ δ' ἔστιν ὧν ἓν τι καὶ κοινὸν γίνεται πάντων τὸ ἔργον.. ἔστι δὲ τοιοῦτον ἄνθρωπος, μέλιττα, σφήξ, μύρμηξ, γέρανος. καὶ τούτων τὰ μὲν ὑφ' ἡγεμόνα ἐστὶ τὰ δ' ἄναρχα, οἷον γέρανος μὲν καὶ τὸ τῶν μελιττῶν γένος ὑφ' ἡγεμόνα, μύρμηκες δὲ καὶ μυρία ἄλλα ἄναρχα.

5) *Αἰλιανός*, ἔνθ. ἀν. 5, 15: Βασιλεύονται δ' ἄρα καὶ σφῆκες, ἀλλ' οὐ τυραννοῦνται ὡς ἄνθρωποι.. τίς οὖν οὐκ ἂν μισήσειε Διονυσίους τοὺς ἐν Σικελίᾳ καὶ Κλέαρχον τὸν ἐν Ἡρακλείᾳ καὶ Ἀπολλόδωρον τὸν Κασσανδρέων λευστῆρα καὶ τῶν Λακεδαιμονίων λυμεῶνα τὸν Νάβιν;

6) *Πλούταρχος*, Πότερα κτλ. 981 Β: Ἐγὼ μὲν γὰρ οὐδ' ἐν μελίτταις ὁρῶ τοσαύ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γός, οὐδεὶς τρεφόμενος ἐκ τῶν κόπων τῶν ἄλλων, οὐδεὶς κλέπτης, οὐδεὶς ἅρπαξ, εἶνε ἀνεκτός. Ἡ πρέπει διὰ τῆς ἀτομικῆς αὐτοῦ ἐργασίας ἕκαστος τῶν πολιτῶν νὰ συντελῇ πως εἰς τὴν συντήρησιν καὶ προκοπὴν τοῦ κοινοῦ, ἢ πρέπει νὰ ἐκλείψῃ 1). Ἐν ταῖς πολιτείαις τῶν καλουμένων τούτων ἀλόγων ζώων οἱ πολῖται εἶνε ἐργατικώτατοι 2) Ἅμα ὁπωσδήποτε συνέλθωσιν ἐπὶ τὸ αὐτό, ἄνευ οὐδεμιᾶς ἀναβολῆς πάραυτα ἐπιδίδονται οἱ πρὸς τοῦτο τεταγμένοι ἀπὸ κοινοῦ πάντες εἰς τὴν οἰκοδομὴν τῆς κοινῆς κατοικίας αὐτῶν 3), κατανεμό-

την ἀλλήλων ἐπιμέλειαν οὐδ' ἐν μύρμηξι· τὸ γὰρ κοινὸν αὔξουσι πᾶσαι καὶ πάντες ἔργον, ἑτέρῳ δὲ καθ' ἕτερον ἑτέρου στοχασμὸς οὐδεὶς οὐδὲ φροντίς ἐστιν. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. *Wundt*, ἔνθ. ἀν. τόμ. 2, σελ. 194 ἐν ἀρχῇ: « Was ein despotisches Gesetz, dass nur die Zwecke des Staatsganzen kennt, in der menschlichen Gesellschaft zu erreichen pflegt, das ist eigendlich auch hier erreicht: die gänzliche Aufhebung der indiwiduellen Freiheit und die Vernichtung des Familienlebens ». — Καὶ ὁ *Romanes* ἐνθ. ἀν. σελ. 305: « Dass die Interessen des Indiwiduums denen der Art nachstehen müssen.. dasselbe gild.. z. B. bei Ameisentruppen und Termiten, die sich zum Nutzen der Gemeinschaft, d. h. der Art, aufopfern ».

1) Ἀριστοτέλης, περὶ τὰ ζῶα ἱστορ. 627, α, 19: Ἐξελαύνουσι δὲ καὶ τὰς ἀργὰς αἱ μέλιτται καὶ τὰς μὴ φειδομένας. — *αὐτόθ.* 624, 6, 20: Εἰσὶ δὲ γένη τῶν μελιττῶν πλείω.. δύο μὲν ἡγεμόνων.. χρηστῆς μελίττης.. ἕτερος ὁ φὼρ καλούμενος, μέλας πλατυγάστωρ· ἔτι δ' ὁ κηφὴν οὗτος μέγιστος πάντως ἄκεντρος δὲ καὶ νωθρός.— *αὐτόθ.* 624, α, 21: Λέγουσι τοὺς κηφῆνας.. μελιττουργεῖν οὐθέν, ἀλλὰ τρέφεσθαι τῷ τῶν μελιττῶν καὶ αὐτοὺς καὶ τοὺς νεοττούς. διατρίβουσι δὲ οἱ κηφῆνες τὰ μὲν πολλὰ ἔνδον, ἐὰν δὲ ἐκπετασθῶσι, προσφέρονται ῥύδην ἄνω πρὸς τὸν οὐρανόν, ἐπιδινοῦντες ἑαυτούς.. ὅταν δὲ τοῦτο δράσωσι, πάλιν εἰσελθόντες εὐωχοῦνται. — *αὐτόθ.* 626, 6, 6: Ὅταν δὲ ὑπολίπῃ τὸ μέλι, τοὺς κηφῆνας ἐκβάλλουσι.. καὶ τοὺς κηφῆνας δὲ ἀποκτείνουσιν, ὅταν μηκέτι χωρῇ αὐταῖς ἐργαζομένας. εἰσὶ δ' ἐν μυχῷ τοῦ σμήνους. — *αὐτόθ.* 625, α, 22: Διαφθείρουσι δὲ καὶ τὰ τῶν κηφήνων κηρία, ἐὰν ὑποφαίνῃ ἀπορία μέλιτος καὶ μὴ εὐμελιτῇ τὰ σμήνη. — *αὐτόθ.* 625, α, 14: Τοῦ δὲ φωρὸς καὶ κηφῆνος γενομένων οὐδέν ἐστιν ἔργον, τὰ δὲ τῶν ἄλλων βλάπτουσιν. ἁλισκόμενοι δὲ θνήσκουσιν ὑπὸ τῶν χρηστῶν μελιττῶν. — Ἴδ. *αὐτόθ.* καὶ 626, α, 34 καὶ *Αἰλιανόν* 1, 9 καὶ *Ἀρριανόν* Ἐπικτήτου διατριβαὶ 3, 22, 99. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 197: « Sobald im Herbst das Futter seltener wird, wersammeln sich die Arbeiterinnen, treiben die Drohnen zuerst auf dem Boden des Stocks und dann zum Stock hinaus wo sie.. zu Grunde gehen. — Τὰ αὐτὰ καὶ ὁ *Romanes*, ἔνθ. ἀν. σελ. 186 ἐν τέλει.

2) Ἀριστοτέλης, περὶ τὰ ζῶα ἱστοριῶν 622, 6, 19: Τῶν δ' ἐντόμων ἐργατικώτατον ζώων ἐστίν, σχεδὸν δὲ καὶ πρὸς τἆλλα συγκρίνεσθαι πάντα, τό τε μυρμήκων γένος καὶ τὸ τῶν μελιττῶν, ἔτι δ' ἀνθρῆναι καὶ σφῆκες καὶ πάνθ' ὡς εἰπεῖν τὰ συγγενῆ τούτους. — Ἴδ. καὶ *Πλούταρχον*, Πότερα κτλ. 967 D.

3) Ἀριστοτέλης, περὶ τὰ ζῶα ἱστ. 623, 6, 26: Ἐπειδὰν παραδοθῇ αὐταῖς καθαρὸν τὸ σμῆνος, οἰκοδομοῦσι τὰ κηρία.. πλάττουσι δὲ κηρία πρῶτον ἐν οἷς αὐταὶ γίνονται,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μένοι πάσας τὰς πρὸς τοῦτο ἀναγκαίας ἐργασίας ἀναλόγως τῆς κοινωνικῆς αὐτῶν θέσεως, τῆς ἡλικίας, τῆς τεχνικῆς ἐμπειρίας καὶ τῶν φυσικῶν αὐτῶν δυνάμεων 1). Παρέχουσιν εὐγενῶς παντὸς εἴδους εὐ-

εἶτ' ἐν οἷς οἱ καλούμενοι βασιλεῖς καὶ τὰ κηφήνια. — *αὐτόθ.* 624, 6, 30: Αἱ μὲν οὖν χρησταὶ μέλιτται ἐργάζονται τά τε κηρία καὶ τὸ ἐπιπολῆς κάλυμμα πᾶν λεῖον. Τὰ αὐτὰ καὶ ὁ *Αἰλιανὸς* 1, 59.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 625, 6, 17: Εἰσὶ δ' αὐταῖς (ταῖς μελίτταις) τεταγμέναι ἐφ' ἕκαστον τῶν ἔργων, οἷον αἱ μὲν ἀνθοφοροῦσιν, αἱ δ' ὑδροφοροῦσιν, αἱ δὲ λειαίνουσι καὶ κατορθοῦσι τὰ κηρία — *αὐτόθ.* 627, α, 20: Διῄρηνται δὲ τὰ ἔργα.. καὶ αἱ μὲν κηρία ἐργάζονται, αἱ δὲ τὸ μέλι, αἱ δ' ἐριθάκην· καὶ αἱ μὲν πλάττουσι κηρία, αἱ δὲ ὕδωρ φέρουσιν.. αἱ δ' ἐπ' ἔργον ἔρχονται — *αὐτόθ.* 626, 6, 8. 1: Τῶν δὲ μελιττῶν αἱ μὲν πρεσβύτεραι τὰ εἴσω ἐργάζονται.. αἱ δὲ νέαι ἐξωθεν φέρουσι.. τὸ δὲ γένος τὸ τῶν μελιττῶν, ὃ εἴρηται ὅτι πονηρόν τε καὶ τραχέα τὰ κηρία ἐργάζεται, εἰσί τινες τῶν μελιττουργῶν οἳ φασι τὰς νέας μάλιστα τοῦτο ποιεῖν δι' ἀνεπιστημοσύνην· νέαι δ' εἰσὶν αἱ ἐπέτειοι. — *Αἰλιανός*, ἔνθ. ἀν. 1, 11: Αἱ πρεσβύτεραι μέλισσαι ἐμπειρότεραί εἰσι καὶ τεχνικώτεραι παιδεύσαντος αὐτὰς τὴν ἐπὶ τῷ μέλιτι σοφίαν τοῦ χρόνου — *αὐτόθ.* 1, 10: Εἰσὶ δέ τινες καὶ ἐν ταῖς μελίτταις ἀργαὶ μέλιτται· οὐ μὴν κηφηνώδεις τὸν τρόπον.. ἀλλὰ τρέφονται ἐκ τῶν ἀνθέων καὶ αὗται πετόμεναι καὶ σύννομοι ταῖς ἄλλαις οὖσαι· εἰ δὲ καὶ εἰσιν ἄτεχνοι περὶ τὴν ἐργασίαν καὶ τὴν κομιδὴν τὴν τοῦ μέλιτος, ἀλλὰ γοῦν οὔκ εἰσιν ἄπρακτοι πάντῃ. Αἱ μὲν γὰρ αὐτῶν ὕδωρ.. κομίζουσι.. ἕτεραι δὲ αὐτῶν.. τὰς ἀποθνησκούσας τῶν μελιττῶν ἔξω φέρουσι.. ἄλλαι δὲ νύκτωρ φρουροῦσιν (τὰ αὐτὰ καὶ ἐν 5, 11. Ἰδ. αὐτόθ. καὶ 6, 43). Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοὶ Huber, Wilson, Wundt, Romanes. Ἰδ. Romanes, ἔνθ. ἀν. σελ. 179: «*Huber* sah einst eine Biene ihre Zelle in falscher Richtnng bauen, und andere Bienen sie deshalb wieder zerstören.. zeigen dadurch in der That einen Mangel an Klugheit. καὶ ὁ *Wilson* παρὰ τῷ ἰδίῳ σελ. 228: Die älteren Vögel auch die besten Nester verfertigen. Καὶ ὁ Wundt, ἔνθ. ἀνωτ. τόμ. 2, σελ. 193 ἐν τέλει: «Die Thierstaaten sind ausgezeichnet durch den gemeinsamen Bau, den alle Staatsangehörigen zusammen bewohnen. Hirzu kommt aber bei ihnen noch die Theilung der Arbeit, die verschiedene Verwendung der Individuen, je nach ihren physischen Eigenschaften». Καὶ παρακατιών, σελ. 197 περὶ τὸ τέλος: «Den Gesellschaften der Wespen, Hornisse, Hummeln gegenüber zeichnet sich der Bienenstaat auch durch eine strengere Arbeitstheilung» κτλ. Καὶ ἔτι περαιτέρω, σελ.201 ἐν ἀρχῇ: «Die Theilung der Arbeit erstreckt sich in den Ameisen-Staaten auch noch auf die Arbeiterinnen selbst.. noch weiter geht diese Arbeitstheilung bei den Termiten oder weissen Ameisen» κτλ. κτλ. ὅλως τὰ αὐτὰ τοῖς τοῦ Ἀριστοτέλους καὶ τοῦ Αἰλιανοῦ μέχρι καὶ τῆς παρατηρήσεως αὐτῶν ὅτι αἱ πρεσβύτεραι τῶν μελισσῶν εἶνε ἐμπειρότεραι καὶ τεχνικώτεραι «*παιδεύσαντος αὐτὰς τὴν ἐπὶ τῷ μέλιτι σοφίαν τοῦ χρόνου*» ἀποτυπουμένην (Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 200) οὕτως!: «War aber einmal die günstige Form gefunden, so konnte diese fortan beibehalten werden.. die jungen Individuen brauchen nur dem Beispiele älterer zu folgen, welches sie vor sich haben. Der Bienenstaat kehrt also nie auf jene Anfangsstufe zurück, auf der sich seine Organisation volkommen

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κολίας εἰς τοὺς συμπολίτας αὐτῶν καὶ συμπράττουσι προθύμως μετὰ τῶν ἄλλων πρὸς ταχυτέραν καὶ εὐκολωτέραν ἐπιτέλεσιν τῶν κοινῶν ἔργων 1). Ὑποβάλλονται εὐπειθῶς εἰς τὰς γενικὰς περὶ τάξεως καὶ καθαριότητος ἀστυνομικὰς καὶ ὑγιεινὰς διατάξεις τῆς πολιτείας 2). Ἀποδίδουσι τὰς προσηκούσας τιμὰς τοῖς ἀποιχομένοις 3). Ἀπομακρύνουσιν ἐκ τῆς πολιτείας αὐτῶν πάντα ἔρπηλυν ἐπιβλαβῶς ἐπιδρῶντα ἐπ' αὐτῆς 4). Ἀπειλουμένης τῆς ἰδιοκτησίας καὶ κινδυνευούσης τῆς

neu wiedererzeugen musste. Er steht wie der Staat eines Kulturvolkes auf allen den Generationen, die vor ihm gelebt haben.

1) *Πλούταρχος*, Πότερα κτλ. 967 D καὶ E: Τὰς δὲ τῶν μυρμήκων οἰκονομίας καὶ παρασκευὰς ἐκφράσαι μὲν ἀκριβῶς ἀμήχανον . . τῶν δὲ πᾶσιν ἐμφανῶν ἥ τε περὶ τὰς ἀπαντήσεις ἐστὶν εὐγνωμοσύνη, τῶν μηδὲν φερόντων τοῖς φέρουσιν ἐξισταμένων ὁδοῦ καὶ παρελθεῖν διδόντων· αἵ τε τῶν δυσφόρων καὶ δυσπαρακομίστων διαβρώσεις καὶ διαιρέσεις, ὅπως εὐδάστακτα πλείοσι γένηται. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἰδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 201: «Der Gemeisinn der Ameisen ist sehr stark. Man beobachtet häufig, wie die einzelnen Arbeiter sich in ihrer Geschäfte unterstützen».

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 627, α, 24: Ὄρθριαι σιωπῶσι, ἕως ἂν μία ἐγείρει βομβήσασα δὶς ἢ τρίς· τότε δ' ἐπ' ἔργον ἀθρόαι πέτονται, καὶ ἐλθοῦσαι πάλιν θορυβοῦσι τὸ πρῶτον, κατὰ μικρὸν δ' ἧττον, ἕως ἂν μία περιπετομένη βομβήσῃ, ὥσπερ σημαίνουσα καθεύδειν. εἶτα ἐξαπίνης σιωπῶσι. — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 11: Αἱ μέλιτται δὲ ὑπὸ συνθήματι εἰς ὕπνον τρέπονται. ὅταν δὲ δοκῇ καιρὸς εἶναι καθεύδειν, ὁ βασιλεὺς μιᾷ προστάττει ὑποσημήνας καταδαρθάνειν. καὶ ἡ μὲν πεισθεῖσα τοῦτο ἐκήρυξεν, αἱ δὲ εἰς κοῖτον τρέπονται ἐντεῦθεν, τέως βομβοῦσαι. — *Ἀριστοτέλης*, ἔνθ. ἀν. 626, α, 24: Ἡ μέλισσα καθαριώτατον ζῷον· διὸ καὶ τὸ περίττωμα πολλάκις ἀφιᾶσιν ἀποπετόμεναι, διὰ τὸ δυσώδες εἶναι.— *αὐτόθ.* 627, α, 10: Ἀφοδεύουσι δὲ αἱ μέλιτται πᾶσαι ἢ ἀποπετόμεναι . . ἢ εἰς ἓν κηρίον — *αὐτόθ.* 626, α, 23: Τὰς δὲ ἀποθνησκούσας τῶν μελιττῶν ἐκκομίζουσιν ἔξω — *αὐτόθ.* 625, α, 27 καὶ ἑξ.: Πολεμοῦσι δὲ σφόδρα αἱ μικραὶ τῷ γένει τῷ μακρῷ καὶ πειρῶνται ἐκβάλλειν ἐκ τῶν σμηνῶν . . ὅσας δὲ κτείνουσιν αἱ χρηστὰι μέλιτται, πειρῶνται μὲν ἔξω τοῦ σμήνους τοῦτο πράττειν· ἐὰν δὲ ἔσω τις ἀποθάνῃ, ἐξάγουσιν ὁμοίως.

3) *Πλούταρχος*, Πότερα κτλ. 967 E: Ὁ μὲν οὖν Κλεάνθης ἔλεγε . . τοιαύτῃ θεωρίᾳ παρατυχεῖν· μύρμηκας ἐλθεῖν ἐπὶ μυρμηκιὰν ἑτέραν μύρμηκα νεκρὸν φέροντας· ἀνιόντας οὖν ἐκ τῆς μυρμηκιᾶς ἑνίους οἷον ἐντυγχάνειν αὐτοῖς καὶ πάλιν κατέρχεσθαι· καὶ τοῦτο δὶς ἢ τρὶς γενέσθαι· τέλος δὲ τοὺς μὲν κάτωθεν ἀνενεγκεῖν ὥσπερ λύτρα τοῦ νεκροῦ σκώληκα, τοὺς δ' ἐκεῖνον ἀραμένους ἀποδόντας δὲ τὸν νεκρὸν οἴχεσθαι. (τὸ αὐτὸ καὶ Αἰλιανός 6, 50) — *αὐτόθ.* 968 B: Λέγουσι τὴν μυρμηκιὰν . . εἰς τρεῖς κοιλότητας ἀποτελευτῶσαν, ὧν τὴν μὲν ἐνδιαίτημα κοινὸν αὐτοῖς εἶναι, τὴν δὲ τῶν ἐδωδίμων ταμεῖον, εἰς δὲ τὴν τρίτην ἀποτίθεσθαι τοὺς θνήσκοντας. — *Αἰλιανός*, ἔνθ. ἀν. 6, 43: Σοφὸν δὲ καὶ ἐκεῖνο προσακήκοα, ὅτι ἄρα τοὺς τεθνεῶτας μύρμηκας οἱ προσήκοντες ἐν ταῖς τῶν πυρῶν κηδεύουσι θυλακίσιν, ὡς πατέρας ἢ πᾶν τὸ φίλιον ἐν ταῖς σοροῖς οἱ ἄνθρωποι. (Πρβλ. καὶ ἀνωτέρω σελ. 54, σημ. 2. σελ. 62, σημ. 1. σελ. 126, σημ. 2).

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 625, 6, 32: Τὰ δὲ γινόμενα θηρία ἐν τοῖς σμή-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πατρίδος ρίπτονται ἀκατάσχετοι πάντες εἰς τὸν ἱερὸν ἀγῶνα πρὸ οὐδενὸς ἀποτρεπόμενοι 1).

Τὰ δὲ πολιτεύματα αὐτῶν εἶνε, ὡς ἀνωτέρω ἐλέχθη, ἡ δημοκρατία καὶ ἡ βασιλεία, σφόδρα ὅμως πρὸς τὴν δημοκρατίαν ἀποκλίνουσα. Τὸ πολίτευμα τῶν μυρμήκων εἶνε δημοκρατικόν 2). Οἱ προεστῶτες αὐτῶν ἐκ τοῦ δήμου προερχόμενοι εἶνε οἱ ἱκανώτατοι πάντων τῶν λοιπῶν, αὐτοὶ τὴν ἡγεμονίαν ἐν πᾶσιν ἔχοντες, αὐτοὶ προσωπικῶς τὰς δυσχερεστάτας τῶν ἐργασιῶν ἐπιτελοῦντες. Ὁ δῆμος ἕπεται αὐτοῖς ἐν ἄκρᾳ εὐπειθείᾳ συνετώτατα ἐπιτελῶν ἕκαστος τὸ αὐτῷ ὡρισμένον ἔργον, ὅπως ἑκάστοτε τὸ κοινὸν συμφέρον ἀπαιτεῖ καὶ αἱ περιστάσεις ὑπαγορεύουσιν 3).

νεσι καὶ λυμαινόμενα τὰ κηρία αἱ μὲν χρησταὶ μέλιτται ἐκκαθαίρουσιν, αἱ δ' ἕτεραι διὰ κακίαν περιορῶσιν ἀπολλύμενα τὰ ἔργα. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 201: «Wenn man fremde Individuen .. in den Stock setzt, so werden sie zurückgewiesen oder getödtet».

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 625, α, 23: Ἐὰν ὑποφαίνῃ ἀπορία μέλιτος καὶ μὴ εὐμελιτῇ τὰ σμήνη· καὶ τοῖς ἐξαιροῦσι περὶ τοῦ μέλιτος τότε μάχονται μάλιστα. — *αὐτόθ.* 626, α, 13: Οὐδὲν δὲ φεύγουσι τῶν ζώων .. ἡ δὲ μάχη αὐτῶν ἐστι καὶ πρὸς αὐτὰς καὶ πρὸς τοὺς σφῆκας· καὶ ἔξω μὲν οὔτε ἀλλήλας ἀδικοῦσιν οὔτε τῶν ἄλλων οὐδέν, τὰ δὲ πρὸς τῷ σμήνει ἀποκτείνουσιν, ὧν ἂν κρατήσωσι .. κτείνουσι δὲ βάλλουσαι τὰ μεγάλα τῶν ζώων, καὶ ἵππος ἤδη ἀπέθανεν ὑπὸ μελιττῶν .. (τὸ αὐτὸ καὶ Αἰλιανός 5, 11) — *αὐτόθ.* 626, 6, 12: Ἤδη δὲ νοσήσαντός τινος σμήνους ἦλθόν τινες ἐπ' ἀλλότριον, καὶ μαχόμεναι νικῶσαι ἐξέφερον τὸ μέλι· ἐπεὶ δὲ ἀπέκτεινεν ὁ μελιττουργός, οὕτως ἐπεξῆσαν αἱ ἕτεραι καὶ ἠμύνοντο .. (τὸ αὐτὸ καὶ Αἰλιανός 5, 11) Ἰδ. καὶ ἀνωτέρω σελ. 104 καὶ σημ. 1. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 201: «Dass nicht selten blutige Kriege zwischen verschiedenen Kolonien vorkommen, ist längst bekannt. Solche Kriege scheinen gewöhnlich um den Besitz eines Terrains oder selbst eines schon fertigen Baus zu gehen» κτλ Ἰδ. αὐτόθι καὶ σελ. 198.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 488, α, 10: Καὶ τούτων τὰ μὲν ὑφ' ἡγεμόνα ἐστὶ τὰ δ' ἄναρχα .. μύρμηκες καὶ μυρία ἄλλα ἄναρχα.

3) *Αἰλιανός*, ἔνθ. ἀν. 6, 43: Οἱ δὲ μύρμηκες προϊόντες ὥσπερ οὖν ἐπισιτίσασθαι, τοῖς μεγίστοις ἕπονται· οἱ δὲ ἄγουσι στρατηγῶν δίκην· καὶ ἐς τὰ λήια ἐλθόντες οἱ μὲν ἔτι νεαροὶ τὴν καλάμην ὑφεστᾶσιν, οἱ δὲ ἡγεμόνες ἀνέρπουσι, καὶ τοὺς καλουμένους οὐραχοὺς τῶν καρπίμων διατραγόντες τῷ δήμῳ τῷ κάτω ρίπτουσιν· οἳ δὲ περιελθόντες τοὺς μὲν ἀθέρας ἀποκόπτουσιν, ἐκλέπουσι δὲ τὰς τὸν πυρὸν στεγούσας τε καὶ περιαμπεχούσας θυλακίδας. — *Πλούταρχος*, Πότερα κτλ. 968 Α: Τοὺς ἀποκειμένους καρποὺς, ὅταν εὑρῶτα συνάγοντας αἴσθωνται καὶ φοβηθῶσι φθορὰν καὶ σῆψιν (ἀναφέρουσιν). ὑπερβάλλει δὲ πᾶσαν ἐπίνοιαν συνέσεως ἡ τοῦ πυροῦ τῆς βλαστήσεως προκατάληψις .. ἐξεσθίουσι τὴν ἀρχήν, ἀφ' ἧς τὸν βλαστὸν ὁ πυρὸς ἀφίησιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οἱ σφῆκες καὶ αἱ ἀνθρῆναι βασιλεύονται ἀλλὰ δὲν τυραννοῦνται, ὅπως οἱ ἄνθρωποι 1). Οἱ βασιλεῖς αὐτῶν μεγαλοσωμότεροι καὶ μεγαθυμότεροι τῶν λοιπῶν 2) φαίνονται ὅτι δὲν ἔχουσι κληρονομικὸν τὸ δικαίωμα τοῦτο. Δύνανται ἔστιν ὅτε καὶ ἐκ τοῦ λαοῦ νὰ προέλθωσιν, ἀφοῦ προηγηθῇ ἡ πρὸς τοῦτο προσήκουσα τοῖς βασιλεῦσιν ἑτερόρρυθμος τροφὴ καὶ παιδεία 3).

Τὸ σέβας, ὅπερ ἀπονέμουσιν οἱ ὑπήκοοι τοῖς βασιλεῦσιν αὐτῶν 4), εἶνε σφόδρα δεδικαιολογημένον· διότι οἱ βασιλεῖς εἶνε οἱ παρέχοντες αὐτοῖς καὶ οἴκησιν καὶ ὕπαρξιν, αὐτοὶ οἰκοδομοῦντες τὰς σφηκιάς, αὐτοὶ διαιωνίζοντες τὸ γένος, αὐτοὶ ἀείποτε ὑπὲρ τοῦ κοινοῦ ἐργαζόμενοι, αὐτοὶ ἐν πάσῃ πραότητι τὸ σμῆνος διοικοῦντες 5).

1) *Αἰλιανός*, ἔνθ. ἀν. 5, 15: Βασιλεύονται δ' ἄρα καὶ σφῆκες, ἀλλ' οὐ τυραννοῦνται ὡς ἄνθρωποι. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 629, α, 2. 14: Αἱ ἀνθρῆναι ἔχουσιν ἡγεμόνας ὥσπερ αἱ μέλιτται καὶ οἱ σφῆκες.. οἱ δὲ ἡγεμόνες πλείους ἑνὸς οὐ γίνονται ἐν τοῖς σμήνεσιν.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 628, α, 1: Ἔστι τῶν ἡμέρων σφηκῶν δύο γένη, οἱ μὲν ἡγεμόνες οὓς καλοῦσι μήτρας, οἱ δὲ ἐργάται. εἰσὶ δὲ μείζους οἱ ἡγεμόνες πολὺ καὶ πραότεροι. — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 15: Βασιλεύονται καὶ σφῆκες ἀλλ' οὐ τυραννοῦνται.. οἱ δὲ ἄρχοντές εἰσι διπλάσιοι μὲν τὸ μέγεθος, πρᾶοι δέ. — *Ἀριστοτέλης*, ἔνθ. ἀν. 629, α, 3: Οἱ ἡγεμόνες τῶν ἀνθρηνῶν μείζονές εἰσι τῷ μεγέθει κατὰ λόγον πρὸς τὰς ἀνθρήνας ἢ ὁ τῶν σφηκῶν πρὸς τοὺς σφῆκας καὶ ὁ τῶν μελιττῶν πρὸς τὰς μελίττας.

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 629, α, 16: Οἱ δὲ ἡγεμόνες πλείους ἑνὸς οὐ γίνονται ἐν τοῖς σμήνεσιν.. ὅταν δὲ πλανηθῶσί τινες τῶν ἀνθρηνῶν ἀπὸ τοῦ σμήνους, συστραφεῖσαι πρός τινα ὕλην ποιοῦσι κηρία.. καὶ ἐν τούτῳ ἐργάζονται ἡγεμόνα ἕνα. οὗτος δ' ἐπὰν ἐξέλθῃ καὶ αὐξήσῃ, ἀπάγει λαβὼν καὶ κατοικίζει μεθ' αὑτοῦ εἰς σμῆνος. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 197 (περὶ τῶν μελισσῶν): «Wenn schlechtes Wetter kommt und das Schwärmen hindert, so werfen sie die königliche Brut aus dem Stock hinaus; kommt unversehens Wärme wieder, so erziehen sie rasch einige Arbeiterlarven zu Königinnen».

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 628, α, 21: Ἐπειδὰν δὲ γένωνται οἱ ἐργάται σφῆκες ἐν τοῖς κηρίοις, οὐκέτι οἱ ἡγεμόνες ἐργάζονται, ἀλλ' οἱ ἐργάται αὐτοῖς τὴν τροφὴν εἰσφέρουσιν· φανερὸν δ' ἐστὶ τοῦτο τῷ μηκέτι τοὺς ἡγεμόνας ἐκπέτεσθαι τῶν ἐργατῶν, ἀλλ' ἔνδον μένοντας ἡσυχάζειν. — *αὐτόθ.* 628, 6, 29: Γίνονται δ' οἱ σφῆκες ὑπὸ γῆν καὶ τὰ κηρία πλάττουσιν ἐκ φορυτοῦ καὶ γῆς.— *αὐτόθ.* 629, α, 6: Διατρίβει δ' ὁ ἡγεμὼν τῶν ἀνθρηνῶν ἔσω καὶ οὗτος, ὥσπερ ὁ τῶν σφηκῶν ἡγεμών. ποιοῦσι δὲ τὸ σμῆνος ὑπὸ γῆν αἱ ἀνθρῆναι, ἐκφέρουσαι τὴν γῆν ὥσπερ οἱ μύρμηκες.

5) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 628, α, 11: Οἱ ἡγεμόνες ὅταν λάβωσι τόπον εὔσκοπον ἐπιόντος τοῦ θέρους, πλάττονται τὰ κηρία καὶ συνίστανται οὓς καλοῦσι σφηκωνεῖς τοὺς μικρούς.. ἐν οἷς σφῆκες γίνονται καὶ οὐ μῆτραι. τούτων δ' αὐξηθέντων πάλιν μετὰ τούτους ἄλλους μείζους συνίστανται, καὶ πάλιν τούτων αὐξηθέντων ἑτέρους,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Αἱ δὲ μέλισσαι βασιλεύονται μέν, ὡς φαίνεται 1), πράγματι δ' ὅμως δημοκρατοῦνται. Ἐν τῇ πολιτείᾳ αὐτῶν ἡ ἐξουσία κεῖται εἰς τὸν δῆμον, εἰς τὰς ἐργάτιδας μελίσσας. Αὗται ἔχουσαι πρὸ ὀφθαλμῶν τὴν σωτηρίαν καὶ προκοπὴν τοῦ κοινοῦ, ὁσάκις δέῃση, φονεύουσι τοὺς κηφῆνας καὶ τὰς ἀργὰς καὶ ἀσώτους μελίσσας 2), ἐπιβάλλουσι χεῖρα ἐπὶ τῶν βασιλέων καὶ τῆς οἰκογενείας αὐτοῦ, ἐξολοθρεύουσι τὰς σχαδόνας αὐτῶν, κατακρημνίζουσι τὰ ἀνάκτορα αὐτῶν, φονεύουσιν αὐτούς 3), καὶ ἀποφασίζουσι καὶ ἐκτελοῦσι τοὺς μετοικισμοὺς αὐτῶν 4).

ὥστε τοῦ μετοπώρου τελευτῶντος πλεῖστα καὶ μέγιστα γίνεσθαι σφηκία, ἐν οἷς ὁ ἡγεμὼν ἡ καλουμένη μήτρα, οὐκέτι σφῆκας γεννᾷ ἀλλὰ μήτρας. — *αὐτόθ.* 628, α, 33 : Αἱ μῆτραι κάθηνται ἐν τοῖς σφηκίοις ἀεὶ συμπλάττουσαι καὶ διοικοῦσαι τὰ ἔνδον. — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 15 : Ἄκεντροι οἱ βασιλεῖς τῶν σφηκῶν εἰσί. καὶ οἱ μὲν ὑπήκοοι τὰ ἔργα πλάττειν αὐτοῖς νόμον ἔχουσιν, οἱ δὲ ἄρχοντες πρᾶοι καὶ οἷοι μήτε ἐκόντες λυπεῖν ἔχειν μήτε ἄκοντες. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἰδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 194 περὶ τὰ μέσα.

1) Ἰδ. ἀν. σελ. 127, σημ. 4.

2) Ἰδ. ἀν. σελ. 128, σημ. 1.

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 625, α, 16 : Κτείνουσι δ' αὗται σφόδρα καὶ τῶν ἡγεμόνων τοὺς πολλοὺς καὶ μᾶλλον τοὺς πονηρούς· ἵνα μὴ πολλοὶ ὄντες διασπῶσι τὸν ἐσμόν. κτείνουσι δὲ μάλιστα, ὅταν μὴ πολύγονον ᾖ τὸ σμῆνος μηδὲ ἀφέσεις μέλλωσι γίγνεσθαι· ἐν γὰρ τούτοις τοῖς καιροῖς καὶ τὰ κηρία διαφθείρουσι τὰ τῶν βασιλέων, ἐὰν ᾖ παρεσκευασμένα, ὡς ἐξαγωγέων ὄντων. — *αὐτόθ.* 625, 6, 13 : Ἐν ταῖς ἀφέσεσιν .. ἐὰν τύχωσιν ὀλίγαι πολλαῖς ἐγγὺς καθεζόμεναι, μετανίστανται αἱ ὀλίγαι πρὸς τὰς πολλάς, καὶ τὸν βασιλέα ὃν ἀπέλιπον, ἐὰν συνακολουθήσῃ διαφθείρουσιν. (Ἰδ. αὐτόθ. καὶ 629, α, 14 καὶ 626, α, 28).— Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί." Ἰδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 197. « Die Arbeiterinnen sind eigentlich die Herrscherinnen in Bienenstaat». *αὐτόθ.*196 κἑξ.:«Ein einziger Biennenstaat enthählt immer nur eine einzige Königin. Kommt es vor dass zwei zugleich auskriechen.. die Arbeiterinnen..nehmen, wenn sich die Zeit zum Schwärmen eignet, die eine Königin mit fort zur Gründung eines neuen Staates; ist abar die Zeit zum Schwärmen ungünstig, so tödten manchmal die Arbeiterinnen selbst die eine der beiden Nebenbuhlerinnen . . Wenn schlehtes Wetter kommt und das Schwärmen hindert, so werfen sie die königliche Brut aus dem Stock hinaus..Über haupt sind die Arbeiterinnen sorgsam darauf bedacht, dass nie mehr als *eine* Königin in dem Stock aufkomme.

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 625, 6, 8 : Ὅταν ἄφεσις μέλλῃ γίγνεσθαι, φωνὴ μονῶτις καὶ ἴδιος γίνεται ἐπί τινας ἡμέρας .. ὅταν δ' ἀθροισθῶσιν, ἀποπέτονται καὶ χωρίζονται καθ' ἕκαστον τῶν βασιλέων. — *αὐτόθ.* 624, α, 26 : Οἱ βασιλεῖς οὐ πέτονται ἔξω, ἐὰν μὴ μετὰ τοῦ ὅλου ἐσμοῦ.— *αὐτόθ.* 625, 6, 6 : Οἱ βασιλεῖς αὐτοὶ μὲν οὐχ ὁρῶνται ἔξω ἄλλως ἢ μετ' ἀφέσεως. — *Αἰλιανός*, ἐνθ. ἀν. 5, 11 : Ἐὰν δὲ ᾖ λῷον ταῖς μελίτταις μεταστῆναι, τηνικαῦτα καὶ ὁ ἄρχων ἀπαλλάττεται. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί." Ἰδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 196 : Sobald im Fruhjahr die

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ βασιλεὺς εἶνε φύσει πρᾶος καὶ ἥμερος 1). Ἡ ἐξουσία αὐτοῦ συνίσταται εἰς τὸ νὰ προΐσταται τοῦ σμήνους, νὰ σώζῃ τὴν τάξιν καὶ νὰ ἀποσοβῇ τὸν ἐκ τῆς ἀναρχίας ὄλεθρον 2). Τούτου δ' ἕνεκα, πρὸς δὲ καὶ διότι ἐξ αὐτοῦ προκύπτει ἡ γένεσις τῶν μελισσῶν, εἶνε σεβαστοὶ 3) καὶ τυγχάνουσι τιμῶν μεγάλων. Οἰκοῦσιν ἐν ἀνακτόροις εὐρυχώροις καὶ εὐαέροις καὶ σεμνοῖς 4), εἶνε ἀπηλλαγμένοι πά-

Brut der Königinnen der Reife nahe ist, werden die Bienen des Stocks unruhig und bald setzt sich bei günstigen Wetter ein Theil derselben in Bewegung um auszuschwärmen und sich eine neue Wohnung zu suchen . . Mit dem ersten Schwarm geht stets die alte Königin, sie verlässt den Stock κτλ. καὶ παρακατιών σελ. 197: Aber die Königin führt weder den Schwarm an noch veranlasst sie denselben zum Ausflug, sondern sie wird mitgenommen und lässt mit sich geschehen. Καὶ ἄλλως. *Αἰλιανός*, ἔνθ. ἀν. 5, 13: Ὅταν δὲ ἐπιγονὴ ᾖ καὶ εὐθενῇ ταῖς μελίτταις τὸ σμῆνος, ἐκπέμπουσιν ὥσπερ οὖν αἱ μέγισταί τε καὶ πολυανδρούμεναι τῶν πόλεων. Τὰ αὐτὰ καὶ ὁ Wundt, ἔνθ. ἀν. 2, 196: Bald folgen diesem ersten weitere Schwärme nach, und so kann ein einziger Stock mehrere Kolonien innerhalb eines Sommers gründen.

1) *Αἰλιανός*, ἔνθ. ἀν. 5, 10: Τὸν βασιλέα αὐτῶν αἱ μέλιτται πρᾶον ὄντα καὶ ἥμερον καὶ ὁμοῦ τε καὶ ἄκεντρον κτλ. Ἴδε *αὐτόθι* καὶ 1, 60 καὶ *Ἀριστοτέλ.* περὶ τὰ ζῶα ἱστ. 629, α, 24.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 5, 11: Ἕως μὲν οὖν περίεστιν ὁ βασιλεύς, εὐθενεῖται τὸ σμῆνος καὶ ἀταξία πᾶσα ἠφανίσθη, καὶ οἱ μὲν κηφῆνες ἀγαπητῶς ἐν τοῖς ἑαυτῶν κυττάροις ἡσυχάζουσιν, αἱ δὲ πρεσβύτεραι διαιτῶνται ἰδίᾳ, καὶ αἱ νέαι ἰδίᾳ, καὶ καθ' ἑαυτὸν ὁ βασιλεύς, καὶ αἱ σχαδόνες ἐφ' ἑαυτῶν εἰσι, καὶ ἡ τροφὴ καὶ αἱ ἄφοδοι χωρίς· ἐπειδὰν δὲ ὁ βασιλεὺς ἀπόληται, ἀταξίας τε καὶ ἀναρχίας μεστὰ πάντα· οἵ τε γὰρ κηφῆνες τοῖς τῶν μελιττῶν κυττάροις ἐντίκτουσι, τά τε λοιπὰ ἐν ἀλλήλοις φυρόμενα εὐθυνεῖσθαι τῷ σμήνει τὸ λοιπὸν οὐκ ἐπιτρέπει· διαφθείρονται δὲ τελευτῶσαι ἐρημίᾳ ἄρχοντος. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 624, α, 30: Λέγουσιν . . ἐὰν ἀπόλυται ὁ βασιλεύς, ἀπόλλυσθαι τὸν ἀφεσμόν.

3) *Ἀριστοτέλης*, περὶ ζώων γενέσεως 760, 6, 15: Ὁμολογούμενον δ' ἐστὶ καὶ τὸ ἐπακολουθεῖν τοῖς βασιλεῦσι τῷ τὴν γένεσιν ἐκ τούτων εἶναι τὴν τῶν μελιττῶν (εἰ γὰρ μηθὲν τοιοῦτον ὑπῆρχεν, οὐκ εἶχε λόγον τὰ συμβαίνοντα περὶ τὴν ἡγεμονίαν αὐτῶν). — Περὶ τῆς γενέσεως τῶν μελισσῶν, τῶν ἀνθρηνῶν, τῶν σφηκῶν καὶ τῶν τούτοις συγγενῶν ζώων εἶνε λίαν διδακτικὴ ἡ ἀνάγνωσις τῶν τοῦ Ἀριστοτέλους ἔνθ. ἀν. 759, α, 7-761, α, 11 ἐν ἀντιπαραβολῇ πρὸς τὰ τοῦ Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 194-196: Ἐξ αὐτῆς ἐναργέστατα δύναταί τις νὰ κατίδῃ πόσον ἡ γνῶσις τῶν ἐν τοῖς Ἑλληνικοῖς συγγράμμασιν εἶνε πολύτιμος τοῖς νεωτέροις.

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 622, 6, 26-623, α, 2: Ἐπειδὰν γὰρ παραδοθῇ αὐταῖς καθαρὸν τὸ σμῆνος, οἰκοδομοῦσι τὰ κηρία . . πλάττουσι δὲ τὰ μὲν τῶν βασιλέων πρὸς τοῖς αὐτῶν (μικρὰ δ' ἐστὶ ταῦτα) τὰ δὲ κηφήνια πρὸς αὐτά. ἐλάττω δ' ἐστὶ ταῦτα τῷ μεγέθει τῶν μελιττῶν. — *Αἰλιανός*, ἔνθ. ἀν. 1, 59: Διαιροῦσι δ' αὐτὰς ἐς τρία καὶ οὖν καὶ τὰς οἰκήσεις τὰς ἑαυτῶν εἰς τοσαῦτα . . πρώτους ἐργάζονται τοὺς θαλάμους τοὺς τῶν βασιλέων, καὶ εὐρυχωρίαν ἔχουσιν οὗτοι καὶ εἰσὶν ἀνώτεροι· καὶ ἕρκος δὲ περιβάλλουσι τούτοις, οἱονεὶ τεῖχος εἶναι καὶ περίβολον, ἀποσεμνύνουσαι καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σης προσωπικῆς ἐργασίας 1). Περιστοιχίζονται ὑπὸ πλήθους πολιτῶν, φέρονται ἐπὶ τῶν ὤμων, ὅταν δὲν δύνανται νὰ πετάσωσιν, ἀποπλανηθέντας δὲ ἀναζητοῦσιν οἱ πολῖται καὶ ἐπανάγουσιν αὐτοὺς πάλιν εἰς τὰ βασίλεια αὐτῶν 2).

Γενικῶς δ' εἰπεῖν εἰς τὰς πολιτείας τῶν πολιτικῶν ζώων, τῶν ἀλόγων λεγομένων, μάλιστα πάντων ταῦτα διακρίνονται· ὅτι ὁ λαὸς εἶνε ἐργατικώτατος, εὐπειθὴς εἰς τοὺς νόμους, σέβεται τοὺς ἄρχοντας αὐτοῦ καὶ ἀγαπᾷ, καὶ ἐν πάσῃ περιστάσει βοηθεῖ τοὺς συμπολίτας αὐτοῦ μετὰ ἄκρας προθυμίας καὶ μετὰ μεγίστης εὐγενείας· ὅτι οἱ ἡγεμόνες εἶνε ὑπέρτεροι τῶν ὁμοφύλων αὐτῶν καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὸ ἦθος καὶ κατὰ τὰς πρὸς τὸ κοινὸν ὑπηρεσίας, πάντοτε ὑπὲρ τῶν ὑπηκόων αὐτῶν καὶ πάντοτε ὑπὲρ τῆς σωτηρίας καὶ προκοπῆς τοῦ ὅλου φροντίζοντες καὶ ἐργαζόμενοι· ὅτι ἡ σωτηρία τοῦ κοινοῦ καὶ ἡ προκοπὴ αὐτοῦ εἶνε ἡ ὑπερτάτη πολιτικὴ ἀρχὴ καὶ ὁ τελικὸς σκοπὸς τῶν πολιτειῶν τούτων, καθ' ὃν πᾶσαι αἱ ἀτομικαὶ ὀρέξεις καὶ πᾶσαι αἱ ἀτομικαὶ ἐνέργειαι μεθαρμόζονται· καὶ ὅτι τὸ πρὸς τοὺς ἡγεμόνας ἀποδιδόμενον σέβας παύει εὐθὺς ἅμα καταδειχθῇ ἡ ὕπαρξις αὐτῶν ἀσυμβίβαστος πρὸς τὸ κοινὸν ἀγαθόν.

ἐκ τούτου τὴν οἴκησιν τὴν βασίλειον. Ἀνάλογα τούτοις καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Wnndt, ἔνθ. ἀν. τόμ. 2, σελ. 196.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 624, α, 26: Οἱ βασιλεῖς οὐ πέτονται ἔξω.. οὔτ' ἐπὶ βοσκὴν οὔτ' ἄλλως. — Περὶ ζώων γενέσεως 760, 6, 16: Ὁμολογούμενόν ἐστι.. τῷ τὴν γένεσιν ἐκ τούτων (τῶν βασιλέων) εἶναι τῶν μελιττῶν . τὸ μηθὲν ἐᾶν αὐτοὺς ἐργαζομένους ὡς γονεῖς. — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 11: Αὐτὸς ὁ βασιλεύς.. τὰ δ' ἄλλα ἡσυχάζει καὶ τοῦ αὐτουργεῖν ἀφεῖται.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 625, 6, 7: Ἐν ταῖς ἀφέσεσιν αἱ λοιπαὶ περὶ τοῦτον (τὸν βασιλέα) συνεσπειραμέναι φαίνονται. — *αὐτόθ.* 624, α, 27: Φασὶ δὲ καὶ ἐὰν ἀποπλανηθῇ ὁ ἀφεσμός, ἀνιχνευούσας μεταθεῖν ἕως ἂν εὕρωσι τὸν ἡγεμόνα τῇ ὀσμῇ. λέγεται δὲ καὶ φέρεσθαι αὐτὸν ὑπὸ τοῦ ἐσμοῦ, ὅταν πέτεσθαι μὴ δύνηται. — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 10: Τὸν βασιλέα αὐτῶν αἱ μέλιτται.. ὅταν αὐτὰς ἀπολίπῃ, μεταθέουσί τε καὶ διώκουσι φυγάδα τῆς ἀρχῆς ὄντα· ῥινηλατοῦσι δὲ αὐτὸν ἀπορρήτως καὶ ἐκ τῆς ὀσμῆς τῆς περὶ αὐτὸν αἱροῦσι, καὶ εἰς τὴν βασιλείαν ἐπανάγουσιν ἑκοῦσαί τε καὶ βουλόμεναι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ

Ἡ ἠθικὴ καὶ ἡ παιδαγωγικὴ τῶν ζώων.

Ὁ Μωσαϊκὸς νόμος παρὰ τοῖς ζώοις.— Χριστιανικαὶ ἀρεταὶ παρὰ τοῖς ζώοις. Ἀγάπη, βοήθεια τοῖς κινδυνεύουσιν, οἶκτος, ἔλεος, εὐσπλαγχνία, εὐγνωμοσύνη. — Ἀρεταὶ οἰκονομικαὶ καὶ πολιτικαὶ παρὰ τοῖς ζώοις· φιλεργία, οἰκονομία, ἀποθησαυρισμός, φιλοπατρία, φιλελευθερία.— Αἱ περὶ τροφῆς καὶ παιδείας ἀρχαὶ παρὰ τοῖς ζώοις ἁπλούστεραι καὶ φυσικώτεραι τῶν παρὰ τοῖς ἀνθρώποις.— Τὰ ζῶα ἐπιδεκτικὰ μαθήσεως· τεκμήριον ἡ ἐπιτηδειότης τοῦ μετασχηματίζεσθαι κατὰ τὰς ποικίλας ἐπ' αὐτῶν ἐπιδράσεις.— Τὰ ζῶα ἐφίενται παιδεύσεως· τεκμήριον ἡ σύμφυτος αὐτῶν περιέργεια, καὶ ἀπομίμησις καὶ προσοχή, πρὸς δὲ καὶ ἡ ἐκμάθησις τῆς ἑκάστῳ οἰκείας γλώσσης.— Τὰ ζῶα ἔχουσιν ἀνάγκην διδασκαλίας· τεκμήριον τὸ ἐνδεὲς τῆς φύσεως πρὸς τὴν ἀπρόσκοπτον καὶ εὐμαρῆ διεξαγωγὴν τοῦ ἑκάστῳ λαχόντος βίου. — Ἡ ἐν τοῖς μαθήμασιν ἐπίδοσις ποικίλλει παρὰ τοῖς ζώοις, ὅπως καὶ παρὰ τοῖς ἀνθρώποις. — Τροφὴ καὶ παιδεία τῶν ζώων. Τὰ παιδεύματα καὶ οἱ τρόποι οἱ παιδευτικοί. Ἡ παρὰ τῶν γονέων καὶ ἐξ ἀλλήλων καὶ τῶν ἰδίων παθημάτων καὶ τῶν παθημάτων τῶν ὁμοφύλων καὶ τῆς ἰδίας πείρας παιδεία. Ἡ ἐκ τῶν ἀνθρώπων διδασκαλία. — Ἡ ἐπίδρασις τῆς παιδείας ἐπὶ τοῦ ἤθους τῶν ζώων. Αἱ διδακτικαὶ μέθοδοι. — Φιλομάθεια καὶ φιλοτιμία ἐν τοῖς ζώοις.

Ὅπως ἡ πολιτεία τῶν ζώων εἶνε ὁμοία τῇ πολιτείᾳ τῶν ἀνθρώπων, οὕτω καὶ ἡ ἠθική. Καὶ αὕτη εἶνε ἐντελῶς ὁμοία τῇ ἠθικῇ τῶν ἀνθρώπων 1).

1) *Αἰλιανός*, ἐν τῷ Προοιμίῳ: Ἄνθρωπον μὲν εἶναι σοφὸν καὶ δίκαιον καὶ τῶν οἰκείων παίδων προμηθέστατον, καὶ τῶν γειναμένων ποιεῖσθαι τὴν προσήκουσαν φροντίδα . . παράδοξον ἴσως οὐδέν· καὶ γὰρ λόγου μετείληχεν ἄνθρωπος τοῦ πάντων τιμιωτάτου, καὶ λογισμοῦ ἠξίωται, ὅσπερ οὖν ἐστι πολυαρκέστατός τε καὶ πολυωφελέστατος· ἀλλὰ καὶ θεοὺς αἰδεῖσθαι οἶδε καὶ σέβειν. τὸ δὲ καὶ τοῖς ἀλόγοις μετεῖναί τινος ἀρετῆς κατὰ φύσιν, καὶ πολλὰ τῶν ἀνθρωπίνων πλεονεκτημάτων καὶ θαυμαστὰ ἔχειν συγκεκληρωμένα, τοῦτο ἤδη μέγα. — *Πλούταρχος*, περὶ παίδων ἀγωγῆς 2 F: Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; καὶ γὰρ τὸ ἦθος ἔθος ἐστὶ πολυχρόνιον, καὶ τὰς ἠθικὰς ἀρετὰς ἐθικὰς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τὰ καλούμενα ἄλογα ζῶα τηροῦσι πολλὰς τῶν δέκα ἐντολῶν τῆς Δεκαλόγου, καὶ ἰδίως τὴν ε΄, τὴν ς΄, τὴν ζ΄, τὴν η΄ καὶ τὴν ι΄. Τιμῶσι δηλ. τοὺς γονεῖς καὶ τοὺς πρεσβυτέρους 1). Τιμωροῦσι τοὺς φονεῖς 2), τοὺς μοιχούς 3), τοὺς κλέπτας 4), τοὺς ἐπιθυμοῦντας τὴν

ἄν τις λέγῃ, οὐκ ἄν τι πλημμελεῖν δόξειεν. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 3, 4, ἔκδ. Potter, σελ. 526: Πόθεν οὖν κρείττους εἰσί.. οἱ ταῦτα πράσσοντες;.. ὅμοιοι γάρ, οἶμαι, τὰς φύσεις οἱ καὶ τὰς πράξεις ὅμοιοι. Ὧν δὲ ὑπερφέρειν κατὰ τὴν εὐγένειαν ἀξιοῦσι, τούτων καὶ τοῖς ἤθεσιν ὑπερέχειν ὀφείλουσιν — Ἐπὶ τῶν σκέψεων τούτων βασίζεται ἡ ἀξιόλογος ἐπιστημονικὴ ἀπόδειξις τοῦ Wundt, ὅτι καὶ παρὰ τοῖς ζώοις ὑπάρχει ἠθική, ὅτι καὶ αὐτὰ ἔχουσιν ἠθικὴν συνείδησιν καὶ ἠθικὰ συναισθήματα, ὅπως καὶ οἱ ἄνθρωποι, ἀφοῦ καὶ ὁ βίος καὶ αἱ πράξεις καὶ τὰ ἤθιμα αὐτῶν, ἅτινα παρὰ τοῖς ἀνθρώποις λέγονται ἠθικά, εἶνε τὰ αὐτὰ ἢ ἀνάλογα πρὸς τὰ ἤθιμα τὸν βίον καὶ τὰς πράξεις τῶν ζώων (ἴδ. τόμ. 2, σελ. 185-203).

1) Ἔξοδος 20, 12: *Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου.* — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 11: Τίς τῆς τῶν πελαργῶν δικαιοσύνης πρὸς τοὺς τεκόντας ἀνήκοος; — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 615, 6, 23: Περὶ μὲν οὖν τῶν πελαργῶν ὅτι ἀντεκτρέφονται, θρυλεῖται παρὰ πολλοῖς· φασὶ δέ τινες καὶ τοὺς μέροπας τοῦτο ποιεῖν καὶ ἀντεκρέφεσθαι ὑπὸ τῶν ἐκγόνων οὐ μόνον γηράσκοντας, ἀλλὰ καὶ εὐθύς, ὅταν οἷοί τ' ὦσιν· τὸν δὲ πατέρα καὶ τὴν μητέρα μένειν ἔνδον. — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 15: Ἐλέφαντες.. τῶν μὲν κινδύνων καὶ πόνων οἱ νέοι κατάρχονται, ποτοῦ δὲ ἄρα καὶ τροφῆς ἀφίστανται τοῖς πρεσβυτέροις αἰδῶ νέμοντες καὶ τῶν Λυκούργου νόμων δέοντα: οὐδὲ ἕν. Ἴδε ἀνωτ. καὶ σελ. 118, σημ. 1 καὶ σελ. 125, σημ. 1.

2) Ἔξοδος, 20, 13: *Οὐ φονεύσεις.* — *Αἰλιανός*, ἔνθ. ἀν. 4, 45: Νεανίας θηρατικός.. εἶχε συντρόφους τε καὶ συσσίτους ἑαυτοῖς γεγενημένους κύνα καὶ ἄρκτον καὶ λέοντα. καὶ ταῦτα μὲν χρόνου πρὸς ἄλληλα εἰρήνην ἄγειν καὶ φίλα νοεῖν σφίσι λέγει Εὔδημος· μιᾶς δὲ τυχεῖν ἡμέρας τὸν κύνα προσπαίζοντα τὴν ἄρκτον καὶ ὑπαικάλλοντα καὶ ἐρεσχελοῦντα, τὴν δὲ οὐκ εἰωθότως ἐκθηριωθῆναι καὶ ἐμπεσεῖν τῷ κυνί, καὶ λαφύξαι τοῖς ὄνυξι τοῦ δειλαίου τὴν γαστέρα καὶ διασπάσασθαι αὐτόν· ἀγανακτῆσαι δὲ τῷ συμβάντι ὁ αὐτός φησι τὸν λέοντα.. καὶ ἐς δικαίαν προελθεῖν ὀργήν, καὶ ἐπιθεῖναι τῇ ἄρκτῳ τὴν δίκην, καὶ τὰ αὐτὰ δρᾶσαι αὐτήν, ὅπερ οὖν εἰργάσατο τὸν κύνα ἐκείνη.

3) Ἔξοδος, 20, 14: *Οὐ μοιχεύσεις.* — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 44: Σωφρονέσται ὀρνίθων αἱ φάτται ἄδονται. ὁ γοῦν ἄρρην καὶ ὁ θῆλυς συνδυασθέντες καὶ οἱονεὶ συμπνεύσαντες ἐς γάμον ἀλλήλων ἔχονται καὶ σωφρονοῦσιν, καὶ οὐκ ἂν ὀθνείου λέχους οὐδέτερος ἅψαιτο τῶν ὀρνίθων τῶνδε. ἐὰν δὲ ἐποφθαλμιάσωσιν ἑτέροις, περιέρχονται αὐτοὺς οἱ λοιποί, καὶ τὸν μὲν ἄρρενα οἱ ὁμογενεῖς διασπῶσιν, αἱ θήλειαι δὲ τὸν θῆλυν. οὗτος ἄρα ὁ τῆς σωφροσύνης νόμος καὶ ἐς τὰς τρυγόνας ἀφικνεῖται καὶ ἄτρεπτος μένει. Ἴδ. καὶ ἀν. σελ. 107 σημ. 5. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 191: «Selbst Ehebruch kommt unter den Vögeln vor, und es scheint, das dem Gefühl des Vogels der Ehebruch als ein schweres Vergehen widerstrebt». Ἴδ. αὐτόθι σελ. 193.

4) Ἔξοδος, 20, 15: *Οὐ κλέψεις.* — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 625, α, 34: Οἱ δὲ φῶρες καλούμενοι κακουργοῦσι μὲν καὶ τὰ παρ' αὐτοῖς κηρία, εἰσέρχονται δέ, ἐὰν λάθωσι, καὶ εἰς τὰ ἀλλότρια· ἐὰν δὲ ληφθῶσι θνήσκουσιν. Ἴδε ἀνωτ. σελ. 128 καὶ σημ. 1.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γυναῖκα τοῦ πλησίον καὶ τὴν οἰκίαν καὶ τὸν παῖδα καὶ ὅσα τοῦ πλησίον ἐστίν 1). Μισούμενα ἀντιμισοῦσι, κακοποιούμενα ἀντικακοποιοῦσιν 2).

---

1) *Ἔξοδος*, 20, 17: *Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου· οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ . . οὔτε ὅσα τοῦ πλησίον σου ἐστί.* — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 572, 6, 9: Οἱ δ' ἄρρενες ἵπποι διαγινώσκουσι τὰς θηλείας τὰς συννόμους ταῖς ὀσμαῖς . . ὅταν δὲ προσίῃ τις ἄρρην, συστρέψας εἰς ταὐτὸ καὶ περιδραμὼν κύκλῳ, προσελθὼν μάχεται· κἂν τις κινῆται, δάκνει καὶ κωλύει. — *αὐτόθ.* 619, α, 23: Τύπτουσι δὲ ταῖς πτέρυξι καὶ τοῖς ὄνυξιν ἀμύττουσιν οἱ ἀετοί, ἂν τινα λάβωσι σκευωρούμενον περὶ τὰς νεοττιάς. — *αὐτόθ.* 610, 6, 20: Ἡ ἔλαφος . . τὰ τέκνα ἄγει ἐπὶ τοὺς σταθμούς . . ἔστι δὲ τοῦτο πέτρα ἀπορρώξ, μίαν ἔχουσα εἴσοδον, οὗ δὴ καὶ ἀμύνεσθαι ἤδη φασὶν ὑπομένουσαν. — *αὐτόθ.* 613, α, 8: Ἔστι δὲ μάχιμον τὸ ζῶον — ἡ περιστερὰ — καὶ ἐνοχλοῦσιν ἀλλήλαις, καὶ εἰς τὰς νεοττιὰς παραδύονται τὰς ἀλλήλων, ὀλιγάκις μέντοι· καὶ γὰρ ἂν ἄποθεν ἧττον ᾖ, ἀλλὰ παρά γε τὴν νεοττιὰν μάχονται ἐσχάτως. — *Αἰλιανός*, 5, 11: Μέλισσαι καὶ ἀνδρείας εὖ ἤκουσι καὶ ἄτρεπτοί εἰσιν· οὐδὲ ἓν γοῦν ζῶον ἀποδιδράσκουσιν, οὐδὲ μὴν κάκη εἴκουσι, χωροῦσι δὲ ὁμόσε. καὶ πρὸς μὲν τοὺς μὴ ἐνοχλοῦντας . . μηδὲ τῷ σμήνει προσιόντας κακούργως καὶ σὺν ἐπιδουλῇ εἰρηναῖα αὐταῖς καὶ ἔνσπονδά ἐστι, πόλεμος δὲ ἀκήρυκτος τὸ ἀδόμενον τοῦτο ἐπὶ τοὺς λυποῦντας ἐξάπτεται καὶ ὅστις ἥκει κεραΐσων τὸ μέλι αὐταῖς, ἐς τοὺς ἐχθροὺς ἠρίθμηται οὗτος. — *Ὅμηρος*, Ἰλιὰς Μ 167: Οἱ δ', ὥς τε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι | οἰκία ποιήσωνται ὁδῷ ἔπι παιπαλοέσσῃ, | οὐδ' ἀπολείπουσιν κοῖλον δόμον, ἀλλὰ μένοντες | ἄνδρας θηρητῆρας ἀμύνονται περὶ τέκνων, | ὡς οἵδε κτλ. — *αὐτόθ.* Ἰλιὰς Χ 92: Ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένῃσιν, | βεβρωκὼς κακὰ φάρμακ'· ἔδυ δέ τέ μιν χόλος αἰνός, | σμερδαλέον δὲ δέδορκεν ἑλισσόμενος περὶ χειῇ· | ὡς Ἕκτωρ κτλ. — Ἰδ. καὶ ἀν. σελ. 43 καὶ σημ. 6. 67 καὶ σ. 2. 107 καὶ σημ. 4. 116 καὶ σημ. 4 καὶ 5. 117 καὶ σημ. 1 καὶ 2. 120 καὶ σημ. 3 καὶ 4 καὶ 131, σημ. 1.

2) *Ἔξοδος* 21, 23: *Δώσει ψυχὴν ἀντὶ ψυχῆς, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος, χεῖρα ἀντὶ χειρός, πόδα ἀντὶ ποδός, κατάκαυμα ἀντὶ κατακαύματος, τραῦμα ἀντὶ τραύματος, μώλωπα ἀντὶ μώλωπος.* — *Λευιτικόν*, 24, 19: *Καὶ ἐάν τις δῷ μῶμον τῷ πλησίον αὐτοῦ, ὡς ἐποίησεν αὐτῷ, ὡσαύτως ἀντιποιηθήσεται αὐτῷ· σύντριμμα ἀντὶ συντρίμματος, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος.* — *Αἰλιανός*, ἔνθ. ἀν. 6, 45: Πέπυσμαι δὲ καὶ πελαργὸν νυκτερίδα μισεῖν, καὶ ἐκείνην ἀντιμισεῖν ὡς πολέμιον, πελεκᾶνα δὲ μὴ νοεῖν φίλα ὄρτυγι . . καὶ ἀμοιδὴν τοῦ μίσους ἀκούω εἶναι. — *Ἀριστοτέλης*, π. τὰ ζ. ἱστ. 630, 6, 31: Οἱ δὲ κάμηλοι οὐκ ἀναβαίνουσιν ἐπὶ τὰς μητέρας, ἀλλὰ κἂν βιάζηταί τις, οὐ θέλουσιν. ἤδη γάρ ποτε ἐπεὶ οὐκ ἦν ὀχεῖον, ὁ ἐπιμελητὴς περικαλύψας τὴν μητέρα ἐφῆκε τὸν πῶλον· ὡς δὲ ὀχεύσαντος ἀπέπεσε, τότε μὲν ἀπετέλεσε τὴν συνουσίαν, μικρὸν δὲ ὕστερον δακὼν τὸν καμηλίτην ἀπέκτεινεν. (τὸ αὐτὸ καὶ ὁ Αἰλιανὸς 3, 47). — *Αἰλιανός*, ἔ. ἀ. 6, 52: Σοφὸν ἐλέφαντος ἔργον . . ὁ τῆς τούτου κομιδῆς ἐγχειρισθεὶς τὴν φροντίδα τῶν μὲν κριθῶν ὑφῄρει, λίθους δὲ ὑποπάττων ἐκείνῳ ἄβρωτον τὸ πλεῖστον εἰργάζετο . . οὐκοῦν ὁ ἐλέφας ἀθάρην ἰδὼν ἔψοντα τὸν ἐπίδουλον οἱ, τῆς ἄμμου τῆς ἐν ποσὶ τῇ προδοσκίδι χύδην ἀναλαβὼν ἐνέβαλεν εἰς τὴν χύτραν καὶ ἠμύνατο ἀνθ' ὧν ἔπαθεν. (τὸ αὐτὸ καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πλὴν τούτων τὰ ζῶα ἔχουσι καὶ πολλὰς χριστιανικὰς ἀρετάς 1). Ἀγαπῶσι τὰ ὁμόφυλα 2), ἀγαπῶσι τὰ ἑτερόφυλα 3), ἀγαπῶσι τὰ συντρεφόμενα, καὶ ἀποσπασθέντα ἀπ' αὐτῶν ἢ ὁπωσδήποτε ἐκλιπόντα ποθοῦσιν αὐτὰ, ἀδιάφορον ἂν ταῦτα εἶνε ἑτερόφυλα 4) ἢ καὶ φύσει

ὁ Πλούταρχος, Πότερα κτλ. 968 D.E).— *αὐτόθ.* 4, 35: Ὁ βοῦς ὁ πρᾶος τοῦ πλήττοντος καὶ κολάζοντος οὐκ ἄν ποτε λήθην λάβοι, ἀλλ' ἀπομνησθεὶς τιμωρεῖται καὶ διαστήματος ἐγγενομένου . . ὅταν ἀφεθῇ, πολλάκις μὲν τῷ σκέλει παίσας συνέτριψε μέλος τι τοῦ βουκόλου, πολλάκις δὲ καὶ θυμωθεὶς ἐς κέρας εἶτα ἐμπεσὼν ἀπέκτεινεν αὐτόν. Ἴδ. *αὐτόθ* 4, 8 καὶ 7, 23. — *Πλούταρχον*, Πότερα 966 B. 988 E. — *Δευτερονόμ.* 19, 21. Ἴδ. καὶ ἀν. σελ. 65 καὶ ὑποσελ. σημ. 5 καὶ σελ. 66, σημ. 1. 3.

1) *Ματθαῖος*, 22, 39: *Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.* — *Ματθαῖος* 5, 44: *Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν.*

2) *Σιράχ*, 13, 15: Πᾶν ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ καὶ πᾶς ἄνθρωπος τὸν πλησίον αὐτοῦ. — *Αἰλιανός*, ἔνθ. ἀν. 12, 2: Κατὰ τὴν πάλαι Βαμβύκην (καλεῖται δὲ νῦν Ἱεράπολις, Σελεύκου ὀνομάσαντος τοῦτο αὐτὴν) ἰχθύες εἰσὶν ἱεροὶ καὶ κατ' ἔλας νήχονται καὶ ἔχουσιν ἡγεμόνας . . φυλάττουσι δὲ καὶ τὴν πρὸς ἀλλήλους φιλίαν μάλιστα ἰχθύων, καὶ ἔστιν ἀεὶ ἔνσπονδα αὐτοῖς. — *Κλήμης* ὁ *Ἀλεξανδρεύς*, Στρωματ. βιβλ. 2, κεφ. 16: Φυσικὴ ἡ πρὸς τὰ τέκνα φιλοστοργία τοῖς ζώοις, ἥ τε ἐκ συνηθείας τοῖς ὁμογνώμοσι φιλία. Ἴδ. καὶ ἀνωτ. σελ. 42 σημ. 6 καὶ σελ. 89 σημ. 1 καὶ 2, σελ. 122, σημ. 1 καὶ 2.— Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Wundt, ἔ. ἀ. τόμ. 2, σ. 191.

3) *Αἰλιανός*, ἔνθ. ἀν. 5, 48: Ἐμοὶ δὲ αἴσχιστον δοκεῖ, ὦ ἄνθρωποι, φιλίαν μὲν τοῖς ζώοις πρὸς ἄλληλα εἶναι, μὴ μόνοις τοῖς συννόμοις αὐτῶν μηδὲ μὴν τοῖς ὁμογενέσιν, ἤδη δὲ καὶ τοῖς μηδὲν προσήκουσι σφίσι κατὰ τὸ κοινὸν γένος. ταῖς γοῦν αἰξὶν αἱ οἷς φίλιαι, περιστερᾷ δὲ πρὸς τρυγόνα φιλία, φίλα δὲ ἀλλήλαις νοοῦσι φάτται τε καὶ πέρδικες, ἀλκυόνα δὲ καὶ κηρύλον ποθοῦντε ἀλλήλω πάλαι ἴσμεν, κορώνην τε ἐρωδιῷ φίλα νοεῖν καὶ λάρον τῷ καλουμένῳ κολοιῷ καὶ ἰκτίνῳ ἅρπην. — *αὐτόθ.* 1, 23: Οἱ σαργοὶ φιλοῦσι τὰς αἴγας ἰσχυρῶς. — *αὐτόθ.* 9, 7: Ὃ γοῦν φθεὶρ οὕτω λεγόμενος παρατρώγει τῶν τοῦ δελφῖνος θηραμάτων· ὁ δὲ ἥδεται αὐτῷ καὶ ἑκὼν μεταδίδωσιν . . φιλία δ' ἐμοὶ δοκεῖν καὶ συντροφία τῷ φθειρὶ πρὸς τὸν δελφῖνά ἐστι. Ἴδε καὶ *Ἀριστοτέλην*, ἀπόσπ. 354, ἔκδ. Rose. *Ἀθήναιον*, Δειπνοσοφ. 9, 390 ε καὶ τὴν πολλῆς προσοχῆς ἀξίαν παρατήρησιν περὶ τούτου τοῦ *Πλουτάρχου* ἐν Πότερα κτλ. 981 F. *Ἡρόδοτον* 2, 68. *Ἀριστοτέλην*, περὶ τὰ ζῶα ἱστορ. 612, α, 12. *Πλούταρχον*, Πότερα κτλ. 980 A - 981 C. *Αἰλιανόν*, ἔνθ. ἀν. 2, 28. 3, 11. 50. 8, 25.— Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Wundt, ἔνθ. ἀν. τ. 2, σ. 191: Am auffallendsten aber sind solche Freundschaften die zwischen Thieren ganz verschiedener Art geschlossen worden.— Τὰς αὐτὰς παρατηρήσεις περὶ τοῦ αὐτοῦ φαινομένου τῶν καθ' ἡμᾶς σοφῶν *Cuvier*, *Romanes*, *Thompson*, *Reugger*, *Colonel*, *Montagu*, *Yarell* ἴδ. παρὰ Romanes, ἔνθ. ἀν. σελ. 197-200. πρὸς δὲ καὶ αὐτόθ. τὴν σελ. 262.

4) *Πλούταρχος*, Περὶ παίδων ἀγωγῆς 3 D: Καὶ γὰρ τὰ θηρία τῶν συντρεφομένων ἀποσπώμενα ταῦτα ποθοῦντα φαίνεται.— *Αἰλιανός*, ἔνθ. ἀν. 5, 28: Πορφυρίων . . φιλοίκειον αὐτὸν εἶναί φασιν καὶ τὴν συντροφίαν τῶν συννόμων ἀγαπᾶν· ἐν οἰκίᾳ γοῦν τρέφεσθαι πορφυρίωνα καὶ ἀλεκτρυόνα ἤκουσα, καὶ σιτεῖσθαι μὲν τὰ αὐτὰ βαδίζειν δὲ τὰς ἴσας βαδίσεις καὶ κοινῇ κονίεσθαι. οὐκοῦν ἐκ τούτων φιλίαν τινὰ θαυμαστὴν αὐτοῖς ἐγγενέσθαι καί ποτε ἑορτῆς ἐπιστάσης ὁ δεσπότης ἀμφοῖν τὸν ἀλεκτρυόνα καταθύσας εἱστιάθη σὺν τοῖς οἰκείοις· ὁ δὲ πορφυρίων τὸν σύννομον οὐκ ἔχων καὶ τὴν ἐρημίαν μὴ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔχθιστα ἀκόμη 1). Ἀγαπῶσι τὰ ἑτερόφυλα τὰ γενόμενά ποτε σύννομα αὐτοῖς, καὶ φείδονται καὶ εὐνοοῦσιν αὐτά, καὶ ἐν τῇ ἐσχάτῃ αὐτῶν θηριωδίᾳ ἀκόμη 2). Ἀγαπῶσι τοὺς ἀνθρώπους 3). Σπεύδουφέρων ἑαυτὸν ἀτροφίᾳ διέφθειρεν. (Ἴδε ἀν. καὶ σελ. 60, σ. 6). Τὰ αὐτὰ καὶ ὁ Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ. 191: «Ja ein Pudel schloss einst mit einer Gans eine lebhafte Freundschaft, schützte sie und schmeichelte ihr unermüdlich κτλ. Τὰ αὐτὰ καὶ ὁ *Cuvier* παρὰ Romanes, σελ. 198: «Cuvier erzählt einen Fall, wo ein Dachshund so grossen Gefallen an der Geselsschaft eines Löwen fand, dass als der Löwe starb, der Hund sich abhärmte und ebenfalls starb».

1) *Αἰλιανός*, ἔνθ. ἀν. 4, 45: Νεανίας θηρατικός.. εἶχε συντρόφους τε καὶ συσσίτους ἑαυτοῖς γεγενημένους κύνα καὶ ἄρκτον καὶ λέοντα· καὶ ταῦτα πρὸς ἄλληλα εἰρήνην ἄγειν καὶ φίλα νοεῖν σφίσι λέγει Εὔδημος.. μιᾶς δὲ τυχεῖν ἡμέρας.. τὴν ἄρκτον ἐκθηριωθῆναι καὶ ἐμπεσεῖν τῷ κυνί.. καὶ διασπάσασθαι αὐτόν. ἀγανακτήσας δὲ τῷ συμβάντι ὁ αὐτός φησι τὸν λέοντα καὶ οἱονεὶ μισῆσαι τὸ ἄσπονδον τῆς ἄρκτου καὶ ἄφιλον καὶ τὸν κύνα οἷα ἑταῖρον ποθῆσαι καὶ εἰς δικαίαν προελθεῖν ὀργήν, καὶ ἐπιθεῖναι τῇ ἄρκτῳ τὴν δίκην. (Ἰδ. καὶ ἀν. σελ. 137, σημ. 2. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἰδ. Wundt, ἔνθ. ἀν. τόμ. 1, σελ. 191: «Selbst zwischen Hund und Katze, diesen sonst so feindseligen Thieren, werden diese Freundschaften beobachtet» κτλ.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 6, 2: Τὰ ἄλογα καὶ τῶν συνήθων σφίσι γενομένων ἀπέχεσθαι φιλεῖ καὶ φείδεσθαι πολλάκις. ἀκούω γοῦν τὸν λόγον ἐκεῖνον. πάρδαλιν ἐκ νηπίου θερατὴς ἀνὴρ ἡμερώσας εἶχεν.. οὐκοῦν ἔριφον αὐτῇ φέρων ζῶντα ἐδίδου.. ἡ δὲ ἐγκρατῶς ἔσχε, δεομένη ἀπόσιτος εἶναι διὰ πλησμονήν. ἔδρασε δὲ καὶ τῇ δευτέρᾳ τοῦτο· ἐδεῖτο γὰρ ὡς φαρμάκου τοῦ λιμοῦ. τῆς δὲ τρίτης ἐπιστάσης ἡμέρας ἐκείνη μὲν καὶ συνήθως ἐπεδείκνυτο τοῦτο τῷ φθέγματι, οὐ μὴν τοῦ ἐρίφου γενομένου δύο ἡμερῶν ἑαυτῇ φίλου ἔτι προσήψατο, ἀλλ' ἐκεῖνον μὲν εἴασεν, ἄλλον δὲ ἔλαβεν. ἄνθρωποι δὲ καὶ ἀδελφοὺς προὔδοσαν καὶ τοὺς γειναμένους καὶ φίλους ἀρχαίους, καὶ πολλοὶ πολλάκις. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἰδ. Romanes, ἔνθ. ἀν. σελ. 248-249: «Noch interessanter war das Benehmen dieser halberwachsenen Frettchen einem Huhn gegenüber. Sie waren einige Wochen vorher von ihrer Pflegemutter, der Henne, entfernt worden, behielten aber ohne Zweifel noch eine Erinnerung an sie. Als sie sich nun eines Tages einer andern Henne gegenüber sahen, trieb sie ihr ererbter Instinkt zum Angriff, während ihre individuellen Ideenverbindungen sie von Angriff abhielten κτλ. ἴδ. αὐτόθ. καὶ σελ. 382.

3) *Αἰλιανός*, ἔνθ. ἀν. 12, 21: Ἴδιον δὲ τῶν ζώων καὶ ἡ φιλανθρωπία. — *Ἀριστοτέλης*, περὶ ζώων ἱστορ. 630, α, 9: Φιλάνθρωποι δ' εἰσὶ καὶ οἱ θῶες καὶ οὔτε ἀδικοῦσι τοὺς ἀνθρώπους οὔτε φοβοῦνται σφόδρα (τὸ αὐτὸ καὶ Αἰλιανὸς 1, 7). — *αὐτόθ.* 617, 6, 26: Ἀσκαλώπας τὸ μέγεθος ὅσον ἀλεκτορίς.. τρέχει δὲ πολὺ καὶ φιλάνθρωπόν ἐστιν ἐπιεικῶς. — *Αἰλιανός*, ἔνθ. ἀν. 1, 52: Χελιδών ἐστι φιλάνθρωπος καὶ χαίρει τῷδε τῷ ζώῳ ὁμορώφιος οὖσα — *αὐτόθ.* 2, 42: Ἱέρακές εἰσιν ἡμερώτατοι ὀρνίθων καὶ φιλανθρωπότατοι. — *Ξενοφῶν*, Κυνηγετικὸς 6, 25: Τῶν κυνῶν πολλαὶ φιλάνθρωποι (τὸ αὐτὸ καὶ *Ἀρριανός*, Κυνηγ. 5, 2 καὶ 7, 3). — *αὐτόθ.* περὶ ἱππικῆς 2, 3: Πῶλος φιλάνθρωπος.. τούτων γενομένων οὐ μόνον φιλεῖσθαι ἀλλὰ καὶ ποθεῖσθαι ὑπὸ πώλων ἀνθρώπους. — *Αἰλιανός*, ἔνθ. ἀν. 11, 12: Οἱ δελφῖνές εἰσι φιλάνθρωποι. — *Πλούταρχος* Πότερα κτλ. 984 C: Τοῦ δελφῖνος τὸ φιλάνθρωπον θεοφιλές· μόνος γὰρ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στιν εἰς βοήθειαν τῶν φίλων αὐτῶν ἐν κινδύνῳ διατελούντων 1). Οἰκτείρουσι τοὺς ἁμαρτάνοντας καὶ συγχωροῦσι τὰ παραπτώματα αὐτῶν 2). Οἰκτείρουσι καὶ ἐλεοῦσι τοὺς πάσχοντας καὶ κατὰ πάντα τρόπον προθυμοποιοῦνται νὰ βοηθήσωσιν αὐτούς 3). Τρέφουσι τοὺς ἐκ τοῦ γήρατος ἐξαδυνατήσαντας πρεσβυτέρους καὶ κατὰ πάντα τρόπον περιποιοῦνται καὶ βοηθοῦσιν αὐτούς 4). Νοσηλεύουσι τοὺς νοσοῦν-

ἄνθρωπον ἀσπάζεται καθ' ὃ ἄνθρωπος.. μηδενὸς γὰρ εἰς μηδὲν ἀνθρώπου δεόμενος πᾶσιν εὐμενής τε καὶ φίλος ἐστι καὶ βεβοήθηκε πολλοῖς. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 631, α, 9 : Τῶν δὲ θαλασσίων πλεῖστα λέγεται σημεῖα περὶ τοὺς δελφῖνας πραότητος καὶ ἡμερότητος καὶ δὴ καὶ πρὸς παῖδας ἔρωτες καὶ ἐπιθυμίαι καὶ περὶ Τάραντα καὶ Καρίαν καὶ ἄλλους τόπους. (τὰ αὐτὰ καὶ Αἰλιανὸς 2, 6 καὶ 6, 15). — *Πλούταρχος*, Πότερα κτλ. 972 D - F : Ἔρωτες δὲ πολλῶν οἱ μὲν ἄγριοι καὶ περιμανεῖς γεγόνασιν, οἱ δ' ἔχοντες οὐκ ἀπάνθρωπον ὡραϊσμὸν οὐδ' ἀναφρόδιτον ὁμιλίαν· οἷος ἦν ὁ τοῦ ἐλέφαντος ἐν Ἀλεξανδρείᾳ τοῦ ἀντερῶντος Ἀριστοφάνει τῷ γραμματικῷ.. ὁ δὲ δράκων ὁ τῆς Αἰτωλίδος ἐρασθεὶς ἐφοίτα νύκτωρ παρ' αὐτήν.. τὸν δ' ἐν Αἰγίῳ παιδεραστοῦντα χῆνα καὶ τὸν ἐπιθυμήσαντα Γλαύκης τῆς κιθαρῳδοῦ κριόν· περιδόητοι γάρ εἰσι κτλ. — *Αἰλιανός*, ἔ. ἀ. 63: Δράκων νήπιος νηπίῳ παιδί, τὸ γένος Ἀρκάδι, κἀκεῖνος ἐπιχώριος γίνεται σύντροφος.. καὶ ἀλλήλους ἐφίλουν. — *αὐτόθ.* 12, 37: Οἰνοχόου βασιλικοῦ (καὶ ἦν ὁ βασιλεὺς Νικομήδης ὁ Βιθυνῶν) ἀλεκτρυὼν ἠράσθη Κένταυρος ὄνομα, καὶ λέγει Φίλων τοῦτο. ἠράσθη δὲ ἄρα καὶ κολοιὸς ὡραίου παιδός. καὶ μελίττας δέ τινας ἐρωτικὰς εἶναι πέπεισμαι, εἰ καὶ πλείους σωφρονοῦσι. (Ἰδ. *αὐτόθ.* καὶ 1, 6. 3, 46. 6, 17. 8, 11. *Πλούταρχον Πότερα* κτλ. 984 C — 985 C.) — *αὐτόθ.* 7, 41: Λυκίδῃ τῷ περιπατητικῷ κτῆμα ἦν χηνός τι χρῆμα θαυμάσιον. ἐφίλει γοῦν τὸν τροφέα ἰσχυρῶς.

1) *Αἰλιανός*, ἔνθ. ἀν. 2, 51. Ὁ κόραξ οὐκ ἂν ἐς τόλμαν ἀθυμότερον εἴποις τῶν ἀετῶν.. μάχεται δὲ καὶ ὄρνιθι ἰσχυρῷ, τῷ καλουμένῳ ἀσκάλωνι· καὶ ὅταν θεάσηται ἀλώπεκι μαχόμενον, τιμωρεῖται· πρὸς γὰρ ἐκείνην ἔχει τινὰ φιλίαν.

2) *Ματθαῖος* 6, 14: *Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὁ οὐράνιος.* — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 44 : Αἱ φάτται ἐὰν μοιχευθῶσι, περιέρχονται αὐτοὺς οἱ λοιποὶ καὶ τὴν μὲν ἄρρενα οἱ ὁμογενεῖς διασπῶσιν, αἱ θήλειαι δὲ τὸν θῆλυν. Οὗτος ἄρα ὁ τῆς σωφροσύνης νόμος καὶ εἰς τὰς τρυγόνας ἀφικνεῖται καὶ ἄτρεπτος μένει πλὴν τοῦ μὴ θανατοῦσθαι ἑκάτερον τὸν ὄρνιν· ἐπεὶ τὸν μὲν ἄρρενα ἀναιροῦσι, τὸν δὲ θῆλυν ᾠκτειραν καὶ εἴασαν ἀπαθῆ καὶ περίεισι χῆρος. Ἰδ. καὶ ἀνωτ. σελ. 107, σημ. 5 καὶ σελ. 137 σημ. 3.

3) *Παῦλος*, πρὸς Ἑβραίους 13, 2 : *Μιμνήσκεσθε τῶν δεσμίων καὶ τῶν κακουχουμένων.* — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 6 : Φιλοίκειον ὁ δελφὶς ζῶον πεπίστευται. καὶ τὸ μαρτύριον, Αἴνος ἐστι πόλις Θρῃσσα. ἔτυχεν οὖν ἁλῶναι δελφῖνα καὶ τρωθῆναι μέν, οὐ μὴν ἐς θάνατον, ἀλλ' ὡς ἔτι βιώσιμα εἶναι τῷ ἑαλωκότι. οὐκοῦν ἐρρύη μὲν αἷμα, ᾔσθοντο δὲ οἱ ἀθήρατοι, καὶ ἀφίκοντο ἐς τὸν λιμένα ἀγέλη, καὶ κατεσκίρτων, καὶ ἦσάν τι δρασείοντες οὐκ ἀγαθόν. οἱ τοίνυν Αἴνιοι ἔδεισαν καὶ ἀφῆκαν τὸν ἑαλωκότα. καὶ ἐκεῖνοι κομισάμενοι ὡς ἕνα τῶν κηδεστῶν ᾤχοντο ἀπιόντες. σπανίως δὲ ἄνθρωπος ἢ οἰκείῳ δυστυχήσαντι ἢ οἰκείᾳ κοινωνὸς σπουδῆς καὶ φροντίδος. — Πλείονα περὶ τούτων ἀνωτ. ἐν σελ. 62 καὶ 125-126 μετὰ τῶν ὑποσελ. σημ.

4) *Παῦλος*, πρὸς Ἐφεσίους 4, 32 : *Γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς.* — *Ματθαῖος*, 25, 35 : « *Ἐπείνασα.. καὶ ἐδώκατέ μοι*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τας καὶ ἐγχειρίζουσι τοὺς τετρωμένους ἐν πάσῃ εὐμενείᾳ καὶ προθυμίᾳ 1). Εὐσπλαγχνίζονται τὰ ἐγκαταλελειμμένα ὀρφανά, ὁμόφυλά τε καὶ ἑτερόφυλα, καὶ ἐν πάσῃ στοργῇ περιθάλπουσιν αὐτὰ ὡς ἴδια αὐτῶν τέκνα 2).

Ἔπειτα τῶν καλουμένων ἀλόγων ζώων ἡ πρὸς τοὺς εὐεργέτας εὔνοια καὶ εὐγνωμοσύνη εἶναί τι ὑψηλὸν καὶ σεβασμοῦ ἄξιον τῇ ἀληθείᾳ! Παρὰ τοῖς καλουμένοις ἀλόγοις ζώοις ἐπιβουλὴ πρὸς τοὺς εὐνοοῦντας εἶνέ τι ἄγνωστον 3). Παρ' αὐτοῖς σύμφυτος οὖσα ἡ πρὸς τοὺς εὐεργέτας εὐγνωμοσύνη 4) ἐξυψοῦται οὐχὶ σπανίως εἰς ὕψος ἀνέφικτον

φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με». — *Αἰλιανός*, ἔνθ.ἀν. 6, 61: Ἐπαΐουσι τὸ τῶν ἐλεφάντων γένος, ὦ Λυκοῦργοί τε καὶ Σόλωνες καὶ Ζάλευκοι καὶ Χαρῶνδαι, ὥνπερ οὖν ἡμεῖς νομοθετεῖτε οὐδὲ τὴν ἀρχήν, καὶ ὅμως δρῶσι τοιαῦτα, καὶ τροφῆς ἀφίστανται τοῖς πρεσβυτέροις οἱ νέοι, καὶ γήρᾳ παρειμένους θεραπεύουσιν αὐτούς, καὶ κινδύνων ῥύονται, καὶ ἐς ὀρύγματα ἐμπεσόντας οἱ δὲ ἀνάγουσι. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. *Wundt*, ἔνθ. ἀν. τόμ. 1, σελ, 193: « Mäuse und Ratten besitzen einen starken Gemeinsinn. *Alle blind gewordene Indiwiduen werden in den innersten Theilen der Höhlen und Gänge, die sie gegraben, verborgen und dort von den anderer mit Nahrung versorgt*». Ἴδε καὶ ἀνωτ. σελ. 125, σημ. 1 καὶ σελ. 136 σημ. 1.

1) *Πέτρος* Α, 3, 8: *Τὸ δὲ τέλος πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες.* — *Ματθαῖος*, 25, 36: *Ἠσθένησα . . καὶ ἐπεσκέψασθέ με.* — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 15: Γήρᾳ δὲ παρειμένον ἐλέφαντα ἢ νόσῳ κατειλημμένον οὐκ ἄν ποτε οἱ συναγελαζόμενοι καταλίποιεν, ἀλλὰ πιστῶς παραμένουσι, καὶ ἀναρρῶσαι σπεύδουσι τῇ τε ἄλλῃ καὶ ἂν διώκωνται, καὶ ὑπὲρ αὐτοῦ μάχονται, καὶ τιτρώσκονται παραμένοντες φυγεῖν δυνάμενοι. — *Πλούταρχος*, Πότερα κτλ. 974 D: Οὐ μὴν ἀλλὰ καὶ χειρουργίᾳ χρῆσθαι τοὺς ἐλέφαντας ἱστοροῦσι· καὶ γὰρ ξυστὰ καὶ λόγχας καὶ τοξεύματα, παριστάμενοι τοῖς τετρωμένοις, ἄνευ σπαραγμοῦ ῥᾳδίως καὶ ἀβλαβῶς ἐξέλκουσιν. Ἴδ. ἀνωτ. καὶ σελ. 125, σημ. 3. σελ. 94, σημ. 1.

2) *Ἰάκωβος*, Ἐπιστολὴ καθολικὴ 1, 27: *Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ θεῷ καὶ πατρὶ αὕτη ἐστιν, ἐπισκέπτεσθαι ὀρφανοὺς . . ἐν τῇ θλίψει αὐτῶν.* — *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστορ. 611, α, 9: Τῶν δ' ἵππων αἱ σύννομοι, ὅταν ἡ ἑτέρα ἀπόληται, ἐκτρέφουσι τὰ πωλία ἀλλήλων. — *αὐτόθ.* 619, 6, 23: Ἡ δὲ καλουμένη φήνη ἐστὶν εὔτεκνος καὶ εὐδίοτος καὶ δειπνοφόρος καὶ ἥπιος, καὶ τὰ τέκνα ἐκτρέφει καὶ τὰ αὑτῆς καὶ τὰ τοῦ ἀετοῦ· καὶ γὰρ ταῦθ', ὅταν ἐκβάλῃ ἐκεῖνος, ἀναλαβοῦσα τρέφει.— *Αἰλιανός*, ἔνθ. ἀν. 6, 48: Τρέφονται δὲ καὶ ὀρφανοὶ μητέρων οἱ πῶλοι γάλακτι ξένῳ, ὥσπερ οὖν καὶ οἱ ἄνθρωποι. — Ἴδ. καὶ ἀνωτ. σελ. 62 καὶ σημ. 2. σελ. 113, σημ. 3. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί: Ἴδ. ἐν πολλῇ ἐκτάσει ταῦτα πάντα παρὰ Romanes, ἔνθ. ἀν. σελ. 231 - 237.

3) *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 13: Μία δὲ αὐτοῖς κακία οὐχ ὑπάρχει, ἐπιβουλὴ τῷ εὐνοοῦντι, ἀλλὰ πᾶσα εὔνοια παντὶ οὖσα τυγχάνει.

4) *Αἰλιανός*, ἔνθ. ἀν. 10, 48: Ἴδιον τῶν ζώων ἐκτίνειν χάριτας τοῖς εὐεργέταις. — *Πλούταρχος*, Πότερα κτλ. 966 Β: Δι' ὧν οἱ φιλόσοφοι δεικνύουσι τοῦ μετέχειν λόγου τὰ ζῶα προθέσεις εἰσὶ . . καὶ χάριτες εὖ παθόντων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῖς ἀνθρώποις 1).

Τὰ ὠφελοῦντά πως αὐτά, οἱαδήποτε καὶ ἂν ὦσιν ταῦτα, ἔστω καὶ τὰ πάνσμικρα ζωάρια, οὐ μόνον ἀφίνουσιν ὅλως ἀλώβητα καὶ τὰ θηριωδέστατα καὶ παμμέγιστα θηρία ἀκόμη, ἀλλὰ καὶ θερμῶς εὐγνωμονοῦντα μετ' ἄκρας φιλοφροσύνης περιέπουσιν αὐτά 2). Διάκεινται εὐ-

1) *Αἰλιανός*, ἔνθ. ἀν. 4, 44: Τὰ ζῶα εὖ παθόντα ἀπομνησθῆναι τῆς εὐεργεσίας ἐστὶν ἀγαθὰ . . ἄνθρωπος δὲ καὶ λόγου μετειληχὸς ζῶον καὶ φρονήσεως ἀξιωθὲν καὶ αἰδεῖσθαι λαχόν καὶ ἐρύθημα πιστευθὲν φίλου γίνετσι βαρὺς πολέμιος, καὶ ὅσα ἀπόρρητα ἐπιστεύθη, ταῦτα δι' αἰτίαν βραχυτάτην καὶ τὴν παρατυχοῦσαν ἐς ἐπιβουλὴν ἐξέπτυσε τὴν τοῦ πεπιστευκότος. — *αὐτόθ.* 7, 10: Ἀνθρώπων πιστότερος καὶ εὐνούστερος ἐξελήλεγκται κύων. — *αὐτόθ.* 7, 46: Μιθριδάτης ὁ Ποντικὸς τὴν ἑαυτοῦ φρουρὰν καθεύδων ἐπίστευεν ἧττον καὶ τοῖς ὅπλοις καὶ τοῖς δορυφόροις, καὶ διὰ τοῦτο ἡμερωθέντας εἶχε φύλακας ταῦρον καὶ ἵππον καὶ ἔλαφον. Ἰδ. ἀνωτ. σελ. 88, σημ. 3. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ὁ *Darwin* λέγει: «*Ein Hund ist das einzige Ding auf Erden, was dich mehr liebt als sich selbst*». Ἰδ. Romanes, ἔνθ. ἀν. σελ. 262.

2) *Πλούταρχος*, Πότερα κτλ. 980 F: Ὁ δὲ καλούμενος ἡγεμὼν μεγέθει μέν ἐστι καὶ σχήματι κωβιῶδες ἰχθύδιον . . καὶ ἀεὶ σύνεστιν ἑνὶ τῶν μεγάλων κητῶν καὶ προνήχεται, τὸν δρόμον ἐπευθύνων, ὅπως οὐκ ἐνσχεθήσεται βράχεσιν οὐδ' ἐς τέναγος ἤ τινα πορθμὸν ἐκπεσεῖται δυσέξοδον· ἕπεται γὰρ αὐτῷ τὸ κῆτος, ὥσπερ οἴακι ναῦς, παραγόμενον εὐπειθῶς. καὶ τῶν μὲν ἄλλων, ὅ τι ἂν παραλάβῃ τῷ χάσματι ζῶον ἢ σκάφος ἢ λίθον εὐθὺς διέφθαρται καὶ ἀπόλωλε πᾶν ἐμβεβυθισμένον· ἐκεῖνο δὲ γινῶσκον ἀναλαμβάνει τῷ στόματι καθάπερ ἄγκυραν ἐντός· ἐγκαθεύδει γὰρ αὐτῷ. — *Ἡρόδοτος*, 2, 68: Ἅτε δὴ ὢν ἐν ὕδατι δίαιταν (ὁ κροκόδειλος) ποιεύμενον, τὸ στόμα ἔνδοθεν φορέει πᾶν μεστὸν βδελλέων. τὰ μὲν δὴ ἄλλα ὄρνεα καὶ θηρία φεύγει μιν, ὁ δὲ τροχίλος εἰρηναῖόν οἱ ἐστι ἅτε ὠφελεομένῳ πρὸς αὐτοῦ· ἐπεὰν γὰρ ἐς τὴν γῆν ἐκβῇ ἐκ τοῦ ὕδατος ὁ κροκόδειλος καὶ ἔπειτεν χάνῃ (ἔωθε γὰρ τοῦτο ὡς ἐπίπαν ποιέειν πρὸς τὸν ζέφυρον), ἐνθαῦτα ὁ τροχίλος ἐσδύνων ἐς τὸ στόμα αὐτοῦ καταπίνει τὰς βδέλλας· ὁ δὲ ὠφελεύμενος ἥδεται καὶ οὐδὲν σίνεται τὸν τροχίλον. — Τὸ αὐτὸ καὶ ὁ *Ἀριστοτέλης*, (π. τὰ ζ. ἱστ. κτλ. 612, α, 12) προσεπιλέγων: Ἀλλ' ὅταν ἐξελθεῖν βούληται (ὁ τροχίλος ἐκ τοῦ στόματος τοῦ κροκοδείλου), κινεῖ τὸν αὐχένα (ὁ κροκόδειλος), ἵνα μὴ συνδάκῃ. — Τὸ αὐτὸ καὶ ὁ *Πλούταρχος*, (Πότερα κτλ. 980 D) προτάσσων τὴν παρατήρησιν: Καὶ τί ἄν τις ἐν τούτοις τὴν κοινωνίαν θαυμάσειεν, ὅπου τὸ πάντων ἀμικτότατον καὶ τὸ θηριωδέστατον ὧν τρέφουσι ποταμοὶ καὶ λίμναι καὶ θάλασσαι ζῶον, ὁ κροκόδειλος, θαυμαστὸν ἑαυτὸν ἐπιδείκνυνται πρὸς κοινωνίαν καὶ χάριν ἐν τοῖς πρὸς τὸν τροχίλον συμβολαίοις; — Τὸ αὐτὸ καὶ ὁ *Αἰλιανός*, ἔνθ. ἀν. 3, 11 μετὰ τῆς παρατηρήσεως: Ἤδη μέντοι καὶ τῶν ζώων τὰ ἀγριώτατα πρὸς τὸ ὀνῆσαι δυνάμενα εἰρηναῖα καὶ ἔνσπονδά ἐστι, τῆς συμφοροῦς κακίας ἐς τὴν χρείαν παραλυθέντα. Ἔτι ὁ αὐτός 8, 25: Ἀνωτέρω εἶπον ἦν οἱ τροχίλοι κατατίθενται ἐς τοὺς κροκοδείλους εὐεργεσίαν . . ὁ μὲν τροχίλος ὄρνις ἐστὶ τῶν ἑλείων εἶς . . τρέφει δὲ αὐτόν καὶ ὁ κροκόδειλος. καὶ ἐκεῖνος αὐτὸν ἀμείβεται καθεύδοντος προμηθῶς ἔχων καὶ ὑπεραγρυπνῶν αὐτοῦ. — Ὁ Stein ἐν τῇ ἐκδόσει αὐτοῦ τοῦ Ἡροδότου (ὑποσελ. σημ. 2, 68, 19) λέγει ὅτι δὲν ὑπάρχουσι βδέλλαι εἰς τὸν Νεῖλον. Ἀλλὰ περὶ τούτων οὔτε ὁ Ἀριστοτέλης οὔτε ὁ Πλούταρχος ἀναφέρουσί τι. Λέγουσιν ἁπλῶς ὁ μὲν Ἀριστοτέλης (ἔνθ. ἀν. 612, α, 20) «Τῶν κροκοδείλων χασκόντων οἱ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νοϊκῶς καὶ προσφιλῶς πρὸς τοὺς τροφεῖς καὶ τοὺς δεσπότας αὐτῶν 1). Ἔχουσιν ἀπόλυτον ἐμπιστοσύνην πρὸς αὐτούς 2). Προθυμοποιοῦνται κατὰ πάντα τρόπον νὰ φανῶσιν αὐτοῖς εὐάρεστα 3). Αἰκάλλουσι καὶ σαίνουσι καὶ προσπαίζουσι καὶ ὑποκατακλίνονται καὶ κυλινδοῦνται καὶ θεραπεύουσι καὶ φιλοφρονοῦνται καὶ ἀντιφθέγγονται πρὸς τὸ φθέγμα αὐτῶν καὶ τιμῶσιν αὐτούς 4). Χαίρουσιν ἐπὶ τῇ ἐμφανίσει αὐτῶν καὶ

τροχίλοι καθαίρουσιν εἰσπετόμενοι τοὺς ὀδόντας», ὁ δὲ Πλούταρχος (ἔνθ. ἀν. 980 Ε) «Ὁ τροχίλος.. φρουρεῖ τὸν κροκόδειλον . . τοῖς ἐκείνου λειψάνοις παρατρεφόμενος . . ὁ δὲ (κροκόδειλος) οὕτως ἐξημεροῦται πρὸς αὐτόν, ὥστε τοῦ στόματος διαχανὼν ἐντὸς παρίησι, καὶ χαίρει τὰ λεπτὰ τῶν ἐνισχομένων τοῖς ὀδοῦσι σαρκῶν ἐκλέγοντος ἀτρέμα τῷ ῥάμφει καὶ διασκαλεύοντος». Ἰδ. καὶ ἀνωτ. τὰς σελίδας 188 καὶ σημ. 3. 139 καὶ σημ. 2.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 488, 6, 21: Τὰ δὲ θυμικὰ καὶ φιλητικὰ καὶ θωπευτικά, οἷον κύων. — *Πλούταρχος*, Πότερα κτλ. 984 C: Τῶν χερσαίων τὰ ἡμερώτατα περίεπει τοὺς τρέφοντας . . καὶ τοὺς συνήθεις ὁ κύων ὁ ἵππος ὁ ἐλέφας. — *Ἀρριανός*, Κυνηγετ. 7, 1: Εἰ δὲ ἔστιν ἃς εὕροις πρὸς μὲν τοὺς ἀγνῶτας χαλεπάς, (κύνας) τῷ δὲ ἀνατρέφοντι προσφιλεῖς, τοῦτο ἀγαθὸν μᾶλλον ἢ κακόν. — *Αἰλιανός*, ἔνθ. ἀν. 7, 10: Κυνῶν ἐς τοὺς τρέφοντας αὐτοὺς ἄμαχον εὔνοιαν ὁμολογεῖ καὶ ἐκεῖνο δήπου κτλ. — *αὐτόθ.* 6, 44: Ἵππος εἰ τυγχάνοι κηδεμονίας, ἀμείβεται τὸν εὐεργέτην εὐνοίᾳ τε καὶ φιλίᾳ . . ἐρᾷ τοῦ δεσπότου ὡριμύτατα. — *Πλούταρχος*, Πότερα κτλ. 976 B: Οἱ δὲ κροκόδειλοι τῶν ἱερέων οὐ μόνον γνωρίζουσι τὴν φωνὴν καλούντων καὶ τὴν ψαῦσιν ὑπομένουσιν, ἀλλὰ καὶ διαχανόντες παρέχουσι τοὺς ὀδόντας ἐκκαθαίρειν ταῖς χερσὶν καὶ περιμμάτει ὀθονίοις. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἰδ. Romanes, ἔνθ. ἀν. σελ. 159-161 καὶ σελ. 163 ἐν ἀρχῇ.

2) *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 13: Καὶ τοσοῦτον τῷ εὐνοοῦντι θαρρεῖ, ὡς ἔπεσθαι ᾗ ἂν ἄγῃ τις, κἂν ἐπὶ σφαγὴν καὶ προῦπτον κίνδυνον· κἂν γὰρ μὴ δι' αὐτά, δι' ἑαυτὸν δέ τις τρέφῃ, εὐνοεῖ τῷ κεκτημένῳ. ἄνθρωποι δὲ ἐπ' οὐδένα οὕτως συνίστανται ὡς ἐπὶ τὸν τρέφοντα, καὶ οὐδένα οὕτως ἀποθνήσκειν εὔχονται ὡς τοῦτον.

3) *Ἀρριανός*, Κυνηγετικὸς 17, 2: Κύων χαρίζεσθαι τῷ δεσπότῃ ἐθέλουσα κτλ. — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 39: Λέων ἡμερωθείς γε μὴν ἐξέτι νεαρὸς πραότατός ἐστι καὶ ἐντυχεῖν ἡδύς, καὶ ἔστι φιλοπαίστης, καὶ πᾶν ὅ τι οὖν ὑπομένει πραόνως τῷ τροφεῖ χαριζόμενος. Ἄννων γοῦν λέοντα εἶχε σκευαγωγόν, καὶ Βερενίκη λέων πρᾶος συνῆν, τῶν κομμωτῶν διαφέρων οὐδὲ ἕν. ἐφαίδρυνε γοῦν τῇ γλώττῃ τὸ πρόσωπον αὐτῆς, καὶ τὰς ῥυτίδας ἐλέαινε, καὶ ἦν ὁμοτράπεζος, πράως τε καὶ εὐτάκτως ἐσθίων καὶ ἀνθρωπικῶς. καὶ Ὀνόμαρχος δὲ ὁ Κατάνης τύραννος καὶ ὁ Κλεομένους υἱὸς συσσίτους εἶχον λέοντας.

4) *Πλούταρχος*, Πότερα κτλ. 974 A: Ἐξαναστὰς ὁ κύων ἐβάδιζε πρὸς ὃν ἔδει· καὶ προσήκαλλε χαίρων καὶ φιλοφρονούμενος. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 10 ἐν τέλ.: Παρατηρήσας δ' ἄν τις κατίδοι καὶ σὺν τάξει ἰόντα πάντα τὰ ζῶα καὶ διαπαντῶντα μετὰ τοῦ σαίνειν τὸν τρέφοντα. — *Ἀρριανός*, Κυνηγετ. 18, 2: Ἡ δὲ κύων εἰ μὴ τύχοι ἀπηγορευκυῖα πρόσεισιν ἐπιμειδιῶσα καὶ φιλοφρονουμένη. ἀγαθὸν δὲ ἐπὶ τούτῳ καὶ καλινδεῖσθαι τὴν κύνα. — *αὐτόθ.* 7, 6: Πεπαιδευμέναι δὲ ὅσαι φθεγξαμένου τοῦ κυναγωγοῦ ὑποκατακλίνονται, μὴ ὑπὸ δέους, ἀλλὰ φιλοφρονούμεναι τὸν τροφέα καὶ τιμῶσαι, καθάπερ οἱ προσκυνοῦντες μέγαν βασιλέα. — *Πορφύριος*, περὶ ἀποχ. 3, 4: Ἡμεῖς γοῦν κατὰ Καρχηδόνα, πέρδικος ἐπιπτάντος ἡμέρου, τρέφοντες τοῦτον, τοῦ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κατὰ πάντα τρόπον ἐκδηλοῦσι τὴν ἐνδόμυχον αὐτῶν χαράν 1). Ποθοῦσιν αὐτοὺς καὶ χαίρουσι παραμένοντα πλησίον αὐτῶν, παρακαθήμενα πλησίον αὐτῶν, παρακολουθοῦντα πανταχοῦ καὶ πάντοτε αὐτούς, συγκαθεύδοντα μετ' αὐτῶν 2). Ὑπηρετοῦσιν εὐχαρίστως καὶ εὐπειθῶς τοὺς δεσπότας αὐτῶν 3). Ἀδυνατοῦντα εἴτε ἐκ γήρατος, εἴτε ἐξ ὑπερκοπώσεως νὰ ὑπηρετήσωσιν αὐτοὺς ἐξορμῶσι μετ' ἄκρας καλοκἀγαθίας πρὸς τοῦτο τὰ σύντροφα αὐτοῖς 4). Ὑπακούουσιν εἰς

χρόνου προϊόντος καὶ τῆς συνηθείας εἰς πολλὴν ἡμερότητα αὐτόν μεταβαλλούσης, οὐ μόνον σαίνοντος καὶ θεραπεύοντος ἠσθόμεθα καὶ προσπαίζοντος, ἀλλ' ἤδη καὶ ἀντιφθεγγομένου πρὸς τὸ ἡμέτερον φθέγμα κτλ.

1) *Αἰλιανός*, ἔνθ. ἀν. 6, 44: Ἵππος εἰ τυγχάνει κηδεμονίας, ἀμείβεται τὸν εὐεργέτην εὐνοίᾳ τε καὶ φιλίᾳ.. Σωκλῆς Ἀθηναῖος μὲν ἦν.. οὗτος οὖν ἐπρίατο ἵππον.. οἷον σοφώτερον ἢ κατὰ τοὺς ἄλλους ἵππους. οὐκοῦν ἐρᾷ τοῦ δεσπότου δριμύτατα, καὶ προσιόντος ἐφριμάττετο καὶ ἐπικροτοῦντος ἐφρυάττετο.. καὶ παρεστῶτος κατὰ πρόσωπον ὃ δὲ ὑγρὸν ἑώρα. — *Ἀρριανός*, Κυνηγετικὸς 5, 1, 4: Ἐπεί τοι ἐγὼ ἀνέθρεψα κύνα χαροπὴν, οἵαν χαροπωτάτην.. εἰ καὶ δι' ὀλίγου χρόνου ἴδοι, ἐπιπηδᾷ ἀτρέμα, ὥσπερ ἀσπαζομένη, καὶ τῷ ἀσπασμῷ ἐπιφθέγγεται, οἷα φιλοφρονουμένη.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 7, 41: Λακίδῃ τῷ περιπατητικῷ κτῆμα ἦν γηνός τι χρῆμα θαυμάσιον· ἐφίλει γοῦν τὸν τροφέα ἰσχυρῶς καὶ βαδίζοντι μὲν συνεδάδιζε, καθημένου δὲ ἀνεπαύετο, οὐκ ἀπελείπετο δὲ αὐτοῦ ἔμβραχυ. — *Ἀρριανός*, Κυνηγετ. 5, 1: Ἐπεί τοι ἀνέθρεψα ἐγὼ κύνα χαροπὴν οἵαν χαροπωτάτην.. καὶ τὰ ἄλλα δὲ πραοτάτη ἐστί.. καὶ φιλανθρωποτάτη, καὶ οὔπω πρόσθεν ἄλλη κύων ὡς αὐτή.. ἐμὲ ἐπόθησεν.. ἐπειδὴ γὰρ τοῦ δρόμου ἀπεπαύσατο, οὐκέτι.. ἀπαλλάσσεται. ἀλλ' ὡς μὲν ἐγὼ ἔνδον εἶην, ἅμα ἐμοὶ ἐνδιατρίβει, καὶ προϊόντα ποι παραπέμπει, καὶ ἐπὶ γυμνάσιον ἰόντι ἑφομαρτεῖ, καὶ γυμναζομένῳ παρακάθηται, καὶ ἐπανιόντος πρόεισιν, θαμινὰ ἐπιστρεφομένη, ὡς καταμανθάνειν μή πη ἄρα ἐξετράπην τῆς ὁδοῦ· ἰδοῦσα δὲ καὶ ἐπιμειδιάσασα αὖθις αὖ πρόεισιν.. καὶ δειπνοῦντι συνοῦσα ἅπτεται ἄλλοτε ἄλλῳ τοῖν ποδοῖν, ὑπομιμνήσκουσα ὅτι κἂν αὐτῇ ἄρα μεταδοτέον εἴη τῶν σιτίων. — *Πλούταρχος*, Θεμιστοκλῆς, κεφ. 10, σελ. 117: Ἦν δέ τις καὶ ἀπὸ τῶν ἡμέρων καὶ συντρόφων ζώων ἐπικλῶσα γλυκυθυμία, μετ' ὠργῆς καὶ πόθου συμπαραθεόντων ἐμβαίνουσι τοῖς ἑαυτῶν τροφεῦσι. ἐν οἷς ἱστορεῖται κύων Ξανθίππου τοῦ Περικλέους πατρὸς οὐκ ἀνασχόμενος τὴν ἀπ' αὐτοῦ μόνωσιν ἐναλλέσθαι τῇ θαλάττῃ καὶ τῇ τριήρει παρανηχόμενος ἐκπεσεῖν εἰς τὴν Σαλαμῖνα καὶ λιποθυμήσας ἀποθανεῖν εὐθύς. (Περὶ τοῦ αὐτοῦ ὁ αὐτὸς Πλούταρχος ἐν βίῳ Μάρκου Κάτωνος, κεφ. 5, σελ. 339. *Ἀριστοτέλης*, ἀποσπ. 360 καὶ 361. *Αἰλιανός*, ἔνθ. ἀν. 12, 35). — *Πλούταρχος*, Πότερα κτλ. 976 Β: Ἔναγχος δὲ Φιλῖνος ὁ βέλτιστος ἦκων πεπλανημένος ἐν Αἰγύπτῳ παρ' ἡμᾶς διηγεῖτο γραῦν ἰδεῖν ἐν Ἀνταίου πόλει κροκοδείλῳ συγκαθεύδουσαν ἐπὶ σκίμποδος εὖ μάλα κοσμίως παρεκτεταμένῳ.

3) *Ἀρριανός*, Ἀλεξάνδρου ἀνάβασις 5, 19, 5: Πολλὰ πρόσθεν ξυγκαμών τε καὶ συγκινδυνεύσας Ἀλεξάνδρῳ, ἀναβαινόμενός τε πρὸς μόνου Ἀλεξάνδρου ὁ Βουκεφάλας οὗτος, ὅτι τοὺς ἄλλους πάντας ἀπηξίου ἀμβάτας. — *Αἰλιανός*, ἔνθ. ἀν. 6, 44: Σωκλῆς Ἀθηναῖος ἦν.. οὗτος οὖν ἐπρίατο ἵππον.. σοφώτερον ἢ κατὰ τοὺς ἄλλους ἵππους.. ἐρᾷ τοῦ δεσπότου δριμύτατα.. καὶ ἀναβαίνοντος ἑαυτὸν παρεῖχεν εὐπειθῆ.

4) *Πλούταρχος*, βίος Μάρκου Κάτωνος, κεφ. 5, σελ. 339: Ὁ τῶν Ἀθηναίων δῆμος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτούς 1). Φυλάττουσι τὰς δοθείσας αὐτοῖς ἐντολὰς καὶ προθύμως καὶ εὐσυνειδήτως ἐκπληροῦσιν αὐτάς 2). Φρουροῦσιν ἀγρύπνως καὶ πιστῶς τοὺς δεσπότας αὐτῶν 3). Φρουροῦσι πᾶν ὅ,τι ὑπ' αὐτῶν ἐμπιστευθῇ αὐτοῖς 4) καὶ καταδιώκουσιν ἀνενδότως καὶ γενναίως καὶ ἔστιν ὅτε καὶ διασπῶσι πικρότατα τοὺς ἐπιχειροῦντας νὰ λωποδυτήσωσιν αὐτά 5).

οἰκοδομῶν τὸν Ἑκατόμπεδον, ὅσας κατενόησεν ἡμιόνους μάλιστα τοῖς πόνοις ἐγκαρτερούσας, ἀπέλυσεν ἐλευθέρας νέμεσθαι καὶ ἀφέτους, ὧν μίαν φασὶ καταβαίνουσαν ἀφ' ἑαυτῆς πρὸς τὰ ἔργα τοῖς ἀνάγουσι τὰς ἁμάξας ὑποζυγίοις εἰς ἀκρόπολιν συμπαρατρέχειν καὶ προηγεῖσθαι καθάπερ ἐγκελευομένην καὶ συνεξερμῶσαν. Τὸ αὐτὸ καὶ ἐν Πότερα τῶν ζώων κτλ. 970 A. B. καὶ ὁ *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 577, 6, 30.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστ. 610, α, 27: Ὁ ἐλεφαντιστὴς ἐπιπηδήσας κατευθύνει τῷ δρεπάνῳ τὸν ἐλέφαντα. ταχέως δὲ μετὰ ταῦτα τιθασσεύεταί τε καὶ πειθαρχεῖ. (τὰ αὐτὰ καὶ ὁ Αἰλιανός, 2, 11). Προσέτι ἴδ. καὶ *Αἰλιανόν*, ἔνθ. ἀν. 6, 44 καὶ ἀν. σελ. 89, σημ. 3.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 11, 14: Ἐλέφας καὶ μνήμην ἀγαθὸν ἐστι τὸ ζῶον τοῦτο, καὶ ἐντολὰς φυλάξαι οἶδε, καὶ μὴ ψεύσασθαι τὴν τῶν παρακαταθεμένων προσδοκίαν τε καὶ ἐλπίδα. ὅτε γοῦν Ἀντίοχος ἐπολιόρκει Μεγαρέας, ἑνὶ τῶν ἐλεφάντων τῶν πολεμικῶν συνεστρέφετο καὶ θῆλυς ὄνομα Νίκαια· ταύτῃ τοίνυν ἡ τοῦ τρέφοντος αὐτὸν γυνὴ παιδίον, ὃ ἔτυχε τεκοῦσα πρὸ ἡμερῶν τριάκοντα, παρακατέθετο φωνῇ τῇ Ἰνδῶν, ἧς ἀκούουσιν ἐλέφαντες. ὃ δὲ καὶ ἐφίλει τὸ παιδίον καὶ ἐφύλαττε καὶ κειμένου πλησίον ἥδετο, καὶ κνυζωμένου παρέβλεπε, καὶ καθεύδοντὸς τῇ προδοσκίδι τὰς μυίας ἀπεσόβει καλάμου κλαδὶ τοῦ παραβαλλομένου εἰς τροφὴν . . πολλάκις δὲ καὶ ἀνακλαύσαντος αὐτοῦ εἶτα τὴν σκάφην ᾗ ἐνέκειτο διέσεισε, παραμυθούμενος τῷ σεισμῷ τὸ βρέφος, οἷα δήπου φιλοῦσι καὶ αἱ τροφοὶ καὶ αἱ τίτθαι δρᾶν.

3) *Πλούταρχος*, περὶ Ἴσιδος καὶ Ὀσίριδος 355 B: Οὐ γὰρ τὸν κύνα κυρίως Ἑρμῆν λέγουσιν, ἀλλὰ τοῦ ζώου τὸ φυλακτικὸν καὶ τὸ ἄγρυπνον καὶ τὸ φιλόσοφον, γνώσει καὶ ἀγνοίᾳ τε τὸ φίλον καὶ τὸ ἐχθρὸν ὁρίζοντος . . τῷ λογιωτάτῳ τῶν θεῶν συνοικειοῦσιν. — *Αἰλιανός*, 13, 22: Τέτταρες καὶ εἴκοσι τῷ βασιλεῖ τῶν Ἰνδῶν φρουροὶ παραμένουσιν ἐλέφαντες ἐκ διαδοχῆς . . οὗτοι δ' ἄρα ἄγρυπνοι καὶ ὕπνου μὴ ἡττώμενοι πιστότατοι τῶν ἐκεῖθι φυλάκων . . εἰσίν. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Romanes, ἔνθ. ἀν. σελ. 298.

4) *Πλούταρχος*, περὶ τῆς Ῥωμαίων τύχης 325 C: Χῆνες ἱεροὶ περὶ τὸν νεὼν τῆς Ἥρας ἐτρέφοντο θεραπεύοντες τὴν θεόν . . εὐθὺς ᾔσθοντο τῶν πολεμίων ὑπερφανέντων τῆς στεφάνης καὶ καταβοῶντες ἰταμῶς προσεφέροντο . . καὶ κλαγγῆς διατόρου καὶ τραχείας ἐνεπεπλήκεσαν τὸν τόπον· ὑφ' ἧς ἀναστάντες οἱ Ῥωμαῖοι καὶ συμφρονήσαντες τὸ γενόμενον ἐώσαντο καὶ κατεκρήμνισαν τοὺς πολεμίους. — *Αἰλιανός*, ἔνθ. ἀν. 12, 33: Φυλάττειν δ' ἄρα κύνες χηνῶν ἀχρειότεροι, καὶ τοῦτο κατεφώρασαν Ῥωμαῖοι κτλ. — Τὰ αὐτὰ τοῖς τῶν ἀνωτέρω τοῦ Πλουτάρχου καὶ ὁ Romanes, σελ. 256: « Unzählige Beispiele beweisen die sorgfältige Wachsamkeit des Hundes über das ihnen anwertraute Eigenthum ».

5) *Πλούταρχος*, Πότερα κτλ. 969 E: Παραρρυεὶς ἄνθρωπος εἰς τὸν νεὼν τοῦ Ἀσκληπιοῦ (ἐν Ἀθήναις) τὰ εὔογκα τῶν ἀργυρῶν καὶ χρυσῶν ἔλαβεν ἀναθημάτων καὶ λεληθέναι νομίζων ὑπεξῆλθεν· ὁ δὲ φρουρὸς κύων, ὄνομα Κάππαρος, ἐπεὶ μηδεὶς ὑλακτοῦντι τῶν ζακόρων ὑπήκουσεν αὐτῷ, φεύγοντα τὸν ἱερόσυλον ἐπεδίωκε· καὶ πρῶ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἀναγνωρίζουσι τοὺς κακοποιήσαντας τοὺς δεσπότας αὐτῶν καὶ ἀγανακτοῦντα καὶ βοῶντα ἐπιφέρονται κατ' αὐτῶν καὶ ἔστιν ὅτε καὶ φονεύουσιν αὐτούς 1). Παθόντας πως τοὺς δεσπότας προσπαθοῦσι κατὰ πάντα τρόπον νὰ ἀνακουφίσωσι καὶ διευκολύνωσιν 2). Νοσοῦντας δὲν ἐγκαταλείπουσιν, ἀλλὰ περίλυπα καὶ κατηφῆ παρὰ τὴν κλίνην αὐτῶν παραμένοντα μετὰ συμπαθείας παρακολουθοῦσι τὰς ποικίλας μεταβολὰς τῆς καταστάσεως αὐτῶν 3). Τιτρωσκομένους κατὰ τὰς

τον μὲν βαλλόμενος λίθοις οὐκ ἀπέστη· γενομένης δ' ἡμέρας, ἐγγὺς οὐ προσιὼν ἀλλ' ἀπ' ὀφθαλμοῦ παραφυλάττων εἵπετο καὶ τροφὴν παραβάλλοντος οὐκ ἐλάμβανεν· ἀναπαυομένῳ δὲ παρενυκτέρευε καὶ βαδίζοντος πάλιν ἀναστὰς ἐπηκολούθει, τοὺς δ' ἀπαντῶντας ὁδοιπόρους ἔσαινεν, ἐκείνῳ δ' ἐφυλάκτει καὶ προσέκειτο (τὸ αὐτὸ καὶ ὁ Αἰλιανὸς 7, 13). — *Αἰλιανός*, 11, 20: Κύνες . . τούς γε πειρωμένους λωποδυτεῖν διασπῶσι πικρότατα. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί." Ἰδ. Romanes, σελ. 256: « Die Idee für die Vertheidigung des Eigenthums seines Herrn beim Hunde geradezu instinktiv geworden ist ».

1) *Πλούταρχος*, Πότερα κτλ. 969 D: Πύρρος ὁ βασιλεὺς ὁδεύων ἐνέτυχε κυνὶ φρουροῦντι σῶμα πεφονευμένου . . τὸν μὲν νεκρὸν ἐκέλευσε θάψαι, τὸν δὲ κύνα μεθ' ἑαυτοῦ κομίζειν ἐπιμελομένους, ὀλίγαις δ' ὕστερον ἡμέραις ἐξέτασις ἦν τῶν στρατιωτῶν καὶ πάροδος καθημένου τοῦ βασιλέως καὶ παρῆν ὁ κύων ἡσυχίαν ἔχων· ἐπεὶ δὲ τοὺς φονέας τοῦ δεσπότου παριόντας εἶδεν, ἐξέδραμεν μετὰ φωνῆς καὶ θυμοῦ ἐπ' αὐτοὺς καὶ καθυλάκτει πολλάκις μεταστρεφόμενος εἰς τὸν Πύρρον, ὥστε μὴ μόνον ἐκείνῳ δι' ὑποψίας ἀλλὰ καὶ πᾶσι τοῖς παροῦσι τοὺς ἀνθρώπους γενέσθαι· διὸ συλληφθέντες εὐθὺς καὶ ἀνακρινόμενοι . . ὁμολογήσαντες τὸν φόνον ἐκολάσθησαν. ταῦτα δὲ καὶ τὸν Ἡσιόδου κύνα τοῦ σοφοῦ δρᾶσαι λέγουσι, τοὺς Γανύκτορος ἐξελέγξαντα τοῦ Ναυπακτίου παῖδας, ὑφ' ὧν ὁ Ἡσίοδος ἀπέθανεν. — *αὐτόθ.* 984 D: Ἡσιόδου δὲ κατὰ καιρὸν αὐτὸς ἡμᾶς, ὦ φίλε, ἀνέμνησας, ἀτὰρ « οὐ τέλος ἴκεο μύθων ». ἔδει δὲ τὸν κύνα διηγησάμενον μὴ παραλιπεῖν τοὺς δελφῖνας· τυφλὸν γὰρ ἦν τὸ μήνυμα τοῦ κυνός, ὑλακτοῦντος καὶ μετὰ βοῆς ἐπιφερομένου τοῖς φονεῦσιν, εἰ μὴ κτλ. (περὶ τοῦ αὐτοῦ ἴδ. καὶ Πολυδεύκους Ὀνομαστικὸν 5, 5 καὶ τὴν ὑπ' ἀριθ. 9 ὑποσελίδ. σημείωσιν ἐν τῇ σελίδ. XX τῶν προλεγομένων τῆς τοῦ Flach ἐκδόσεως τοῦ Ἡσιόδου καὶ Αἰλιανὸν 7, 10). — *Αἰλιανός*, ἔνθ. ἀν. 6, 44: Τὸν Ἀντιόχου ἵππον τὸν τιμωρήσαντα τῷ δεσπότῃ καὶ ἀποκτείναντα τὸν Γαλάτην (ὄνομα δὲ τῷ Γαλάτῃ Κενταυράτης ἦν) ἐῶ. Σωκλῆς δὲ κτλ.

2) *Πλούταρχος*, Πότερα κτλ. 970 D: Πώρου τοῦ βασιλέως ὁ ἐλέφας ἐν τῇ πρὸς Ἀλέξανδρον μάχῃ κατατετρωμένου . . καὶ κακῶς ἤδη διακείμενος αὐτός, οὐ πρότερον ἐνέδωκεν ἢ τοῦ βασιλέως ἐξαίμου γενομένου καὶ περιρρέοντος αἰσθόμενος καὶ φοβηθεὶς μὴ πέσῃ πράως ὑφῆκε, παρέχων ἐκείνῳ τὴν ἀπόκλισιν ἄλυπον. (τὸ αὐτὸ καὶ ὁ Αἰλιανὸς 7, 37).

3) *Ἀρριανός*, Κυνηγετικὸς 5, 14: Ἀνέθρεψα ἐγὼ κύνα χαροπὴν οἵαν χαροπωτάτην . . οὔπω πρόσθεν ἄλλη κύων οὔτε ἐμὲ ἐπόθησεν οὔτε τὸν ἑταῖρον τὸν ἐμὸν καὶ σύνθηρον Μέγιλλον . . ὁπότερος δὲ ἡμῶν κάμνοι τὸ σῶμα, ἐκείνου αὖ οὐκ ἀπαλάσσεται. — *Αἰλιανός*, ἔνθ. ἀν. 6, 29: Φύλαρχος μέμνηται παῖδα ἰσχυρῶς φιλόρνιθα ἀετοῦ νεοττὸν λαβεῖν ὄρνιν καὶ τρέφειν τροφῇ ποικίλῃ καὶ κηδεμονίαν αὐτῷ προσφέρειν πᾶσαν . . προϊὼν δὲ ὁ χρόνος ἐς φιλίαν αὐτοὺς ἐξῆψεν ἀλλήλων ἰσχυράν. συνηνέχθη δὲ καμεῖν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μάχας περιποιοῦνται καὶ κατὰ πάντα τρόπον βοηθοῦσιν αὐτούς 1). Ἀτυχοῦντάς πως ἀνασώζουσιν ἐκ τῶν πολεμίων εἰς μέρος ἀσφαλὲς μετάγοντες αὐτούς 2). Περιπεσόντας ἀπροσδοκήτως εἰς μέγα τι καὶ ἀσύνηθες ἀτύχημα δὲν ἐγκαταλείπουσιν ἀβοηθήτους, ἀλλὰ κατὰ πάντα τρόπον προσπαθοῦσι νὰ ἐξαγάγωσιν αὐτοὺς ἐκ τῆς δεινῆς αὐτῶν θέσεως 3). Κινδυνεύοντας βοηθοῦσι μετὰ προθυμίας καὶ αὐταπαρνήσεως, ῥίπτονται ἀκατάσχετοι κατὰ τῶν ἐπιβούλων ἐχθρῶν αὐτῶν, μάχονται ἐκθύμως ὑπὲρ αὐτῶν, σώζουσιν αὐτούς 4). Φονευθέντας ἐκφέρουσιν ἐκ τοῦ πεδίου τῆς μάχης ὁσάκις ἐγχωρεῖ, ἄλλως δὲν ἐγκαταλείπουσι τοὺς τροφεῖς καὶ δεσπότας αὐτῶν ἐρήμους, βορὰν τῶν ὀρνέων, ὅπως οἱ ἄνθρωποι, ἀλλὰ παρὰ τὰ πτώματα αὐτῶν πα-

τὸ σῶμα τὸν παῖδα. καὶ τὸν ἀετὸν παραμένειν καὶ νοσηλεύειν τὸν τροφέα, καὶ καθεύδοντος μὲν ἡσυχάζειν, ἐγρηγορότος δὲ παρεστάναι, ἀσιτοῦντος δὲ τροφὴν μὴ προσίεσθαι.

1) *Πλούταρχος*, Πότερα κτλ. 970 D: Πώρου δὲ τοῦ βασιλέως ὁ ἐλέφας, ἐν τῇ πρὸς Ἀλέξανδρον μάχῃ κατατετρωμένου, πολλὰ τῶν ἀκοντισμάτων ἀτρέμα καὶ φειδόμενος ἐξῄρει τῇ προβοσκίδι (τὸ αὐτὸ καὶ ὁ Αἰλιανός 7, 37).

2) *Αἰλιανός*, ἔνθ. ἀν. 7, 41: Πύρρῳ τῷ Ἠπειρώτῃ ἦν ἐλέφας, ὅσπερ οὖν τὸν ἑαυτοῦ πωλευτὴν οὕτως ἠγάπησεν ὥστε ἀποθανόντος ἐν Ἄργει τοῦ Πύρρου, ἐκπεσόντος δὲ τοῦ ἐλαύνοντος, οὐ πρότερον ὑπέμεινεν ἀτρεμῆσαι καὶ ἡσυχάσαι πρὶν ἢ ἀνασώσασθαι αὐτὸν ἐκ τῶν πολεμίων καὶ ἐς τὸ φίλιον μεταγαγεῖν Ἰδ. αὐτόθ. καὶ 3, 46.

3) *Αἰλιανός*, ἔνθ. ἀν. 1, 8: Νικίας τις τῶν συγκυνηγετούντων ἀπροόπτως παραφερόμενος εἰς ἀνθρακευτῶν κάμινον κατηνέχθη, οἱ δὲ κύνες οἱ σὺν αὐτῷ τοῦτο ἰδόντες οὐκ ἀπέστησαν, ἀλλὰ τὰ μὲν πρῶτα κνυζώμενοι περὶ τὴν κάμινον καὶ ὠρυόμενοι διέτριβον, τὰ δὲ τελευταῖα μονονουχὶ τοὺς παριόντας ἠρέμα καὶ πεφεισμένως κατὰ τῶν ἱματίων δάκνοντες εἶτα εἵλκον ἐπὶ τὸ πάθος, οἷον ἐπικούρους τῷ δεσπότῃ παρακαλοῦντες τοὺς ἀνθρώπους οἱ κύνες κτλ.

4) *Αἰλιανός*, ἔνθ. ἀν. 6, 62: Γέλων ὁ Συρακούσιος καθεύδων βαθύτατα ἐδόκει διόβλητος γεγονέναι.. ἐδόα δέ.. καὶ μάλα γε ὀξείᾳ καὶ διατόρῳ τῇ φωνῇ. κύων οὖν ὑπ' αὐτῷ τραφεὶς ἀκούσας φίλου καὶ συντρόφου φθέγματος.. ὡς εἶχεν ὁρμῆς ἀναθορὼν ἐπὶ τὴν στρωμνὴν καὶ περιδὰς τὸν τροφέα, ὑλάκτει σφοδρότατα, οἷα δὴ ἀμυνούμενος τὸν ἐπιόντα. — *αὐτόθ.* 3, 46: Ἐλέφαντος πωλίῳ περιτυγχάνει λευκῷ πωλευτὴς Ἰνδός, καὶ παραλαβὼν ἔτρεφεν ἔτι νεαρόν, καὶ κατὰ μικρὰ ἀπέφηνε χειροήθη, καὶ ἐπωχεῖτο αὐτῷ, καὶ ἦρα τοῦ κτήματος καὶ ἀντηρᾶτο, ἀνθ' ὧν ἔθρεψε τὴν ἀμοιβὴν κομιζόμενος ἐκεῖνος. ὁ τοίνυν βασιλεὺς τῶν Ἰνδῶν πυθόμενος ᾔτει λαβεῖν τὸν ἐλέφαντα.. ὁ βασιλεὺς πέμπει κατ' αὐτοῦ τοὺς ἀφαιρησομένους.. ἐπεὶ δὲ ἦκον ἐπειρῶντο βίαν προσφέρειν. οὐκοῦν καὶ ὁ ἄνθρωπος ἔβαλλεν αὐτοὺς ἄνωθεν, καὶ τὸ θηρίον ὡς ἀδικούμενον συνημύνετο.. ἐπεὶ δὲ βληθεὶς ὁ Ἰνδὸς κατώλισθε, περιβαίνει μὲν τὸν τροφέα ὁ ἐλέφας.. καὶ τῶν ἐπιόντων πολλοὺς ἀπέκτεινε, τοὺς δὲ ἄλλους ἐτρέψατο.. περιβαλὼν δὲ τῷ τροφεῖ τὴν προβοσκίδα, αἴρει τε αὐτὸν καὶ ἐπὶ τὰ ὦλια κομίζει, καὶ παρέμεινεν ὡς φίλῳ φίλος πιστὸς καὶ τὴν εὔνοιαν ἐπεδείκνυτο. ὦ ἄνθρωποι πονηροὶ καὶ περὶ τράπεζαν μὲν καὶ ταγήνου ψόφον ἀεί, ἐπ' ἄριστά τε χορεύοντες, ἐν δὲ τοῖς κινδύνοις προδόται, καὶ μάτην καὶ ἐς οὐδὲν τὸ τῆς φιλίας ὄνομα χαίνοντες. Ἰδ. αὐτόθ. καὶ 6, 63 καὶ *Ἀρριανὸν* ἐν Ἰνδικῇ 14, 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ραμένοντα φιλοπόνως καὶ καρτερικώτατα φυλάττουσιν καὶ μέχρι θανάτου προμάχονται αὐτῶν 1). Κηδευομένους τοὺς τροφεῖς καὶ δεσπότας ἐν βαθυτάτῳ πένθει παρακολουθοῦσι μέχρι τῆς τελευταίας αὐτῶν κατοικίας, μεθ' ὃ βαρυθυμοῦντα ἐπὶ τῇ ἀπωλείᾳ ἐξάγουσιν ἑαυτὰ ἐκ τοῦ βίου 2).

Πλὴν δὲ τῶν ἰουδαϊκῶν τούτων καὶ χριστιανικῶν καὶ κοινωνικῶν ἀρετῶν εὕρηνται παρὰ τοῖς ζώοις καὶ ἄλλαι τινὲς ἀρεταὶ οἰκονομικῆς καὶ πολιτικῆς φύσεως. Τὰ ζῶα ἐργάζονται, οἰκονομοῦσι, συλλέγουσιν,

1) *Ἀρριανός*, Ἰνδικὴ 14, 4: Θυμόσοφον γὰρ εἴ περ τι ἄλλο θηρίον ἐλέφας, καί τινες ἤδη αὐτῶν τοὺς ἀμδάτας σφῶν ἐν πολέμῳ ἀποθανόντας ἄραντες αὐτοὶ ἐξήνεγκαν εἰς ταφήν. — *Πλούταρχος*, Πότερα κτλ. 970 C: Ἡ μηδὲ Λυσιμάχῳ τε γεγονέναι πρὸς τὸν κύνα τὸν Ὑρκανὸν δίκαιον, ὃς νεκρῷ μόνος παρέμεινεν αὐτῷ κτλ. — *Αἰλιανός*, ἔ.ἀ. 7, 10: Ὁ Ἠπειρώτης Πύρρος ὠδοιπόρει, εἶτα μέντοι περιτυγχάνει πεφονευμένῳ, καὶ κυνὶ παρεστῶτι καὶ μέντοι καὶ φρουροῦντι τὸν δεσπότην, ἵνα μὴ πρὸς τῷ φόνῳ καὶ τῷ νεκρῷ λυμήνηταί τις. Ἔτυχε δὲ ἄρα τρίτην ἔχων ὁ κύων ἀπόσιτος τὴν ἡμέραν ἐπὶ τῇ φιλοπόνῳ καὶ καρτερικωτάτῃ φρουρᾷ κτλ. (τὸ αὐτὸ καὶ ὁ *Πλούταρχος*, Πότερα κτλ. 969 C). — *Πλούταρχος*, αὐτόθ: Κάλδου τοῦ Ῥωμαίου σφαγέντος ἐν τοῖς ἐμφυλίοις πολέμοις οὐδεὶς ἐδυνήθη τὴν κεφαλὴν ἀποτεμεῖν πρότερον, πρὶν ἢ τὸν κύνα τὸν φυλάττοντα καὶ προμαχόμενον αὐτοῦ κατακεντῆσαι περιστάντας (τὸ αὐτὸ καὶ ὁ *Αἰλιανὸς* 7, 10). — *Ἀρριανός*, Ἰνδικὴ 14, 4: Τινὲς τῶν ἐλεφάντων τοὺς ἀμδάτας σφῶν ἐν πολέμῳ .. ὑπερήσπισαν κειμένους, οἳ δὲ καὶ πεσόντων ὑπερήσπισαν.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 6, 29: Φύλαρχος μέμνηται παῖδα ἰσχυρῶς φιλόρνιθα ἀετοῦ νεοττὸν λαδεῖν δῶρον καὶ τρέφειν τροφῇ ποικίλῃ καὶ κηδεμονίαν αὐτῷ προσφέρειν πᾶσαν.. προϊὼν δὲ ὁ χρόνος ἐς φιλίαν αὐτοὺς ἐξῆψεν ἰσχυράν.. συνηνέχθη δὲ καὶ καμεῖν τὸ σῶμα τὸν παῖδα.. ἐπεὶ δὲ καὶ τὸν βίον ὁ παῖς κατέστρεψεν, ἠκολούθησε καὶ ὁ ἀετὸς μέχρι τοῦ μνήματος· καομένου δὲ ἑαυτὸν εἰς τὴν πυρὰν ἐνέδαλεν (τὸ αὐτὸ καὶ 2, 40). — *Πλούταρχος*, Πότερα κτλ. 970 C. Ἡ μηδὲ Λυσιμάχῳ τι γεγονέναι φήσῃ πρὸς τὸν κύνα τὸν Ὑρκανὸν δίκαιον, ὃς νεκρῷ τε μόνος παρέμεινεν αὐτῷ καί, καομένου τοῦ σώματος, ἐνδραμὼν αὐτὸς ἑαυτὸν ἐπέρριψε. τὰ δ' αὐτὰ καὶ τὸν Ἀστὸν δρᾶσαι λέγουσιν, ὃν Πύρρος οὐχ ὁ βασιλεὺς ἀλλ' ἕτερός τις ἰδιώτης ἔθρεψεν· ἀποθανόντος γὰρ αὐτοῦ περὶ τὸ σῶμα διατρίδων καὶ περὶ τὸ κλινίδιον αἰωρούμενος ἐκφερομένου, τέλος εἰς τὴν πυρὰν στειλάμενος ἁφῆκεν ἑαυτὸν καὶ συγκατέκαυσε. — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 40: Ἦν δ' ἄρα γένος ἀετῶν καὶ πρὸς τοὺς τρέφοντας φιλόστοργον, ὥσπερ οὖν καὶ ὁ τοῦ Πύρρου. τοῦτόν τοί φασι καὶ ἐπαποθανεῖν τῷ δεσπότῃ τροφῆς ἀποστάντι. — Τοιαύτης ἀφοσιώσεως τῶν ἀλόγων ζώων πρὸς τοὺς εὐεργέτας αὐτῶν ὑπάρχουσι καὶ ἄλλα παραδείγματα. Ἰδ. περὶ τοῦ *δελφίνων* ἐν Πλουτάρχῳ, ἔνθ. ἀν. 984 E καὶ ἐν Αἰλιανῷ 6,15. Περὶ τῶν *ἀετῶν* ἐν Αἰλιανῷ 2, 40. Περὶ τῶν *κυνῶν* ἐν Αἰλιανῷ 6, 25. 7, 28. 10, 41. Ἔτι καὶ ἀνωτέρ. σελ. 61 καὶ σημ. 2. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε *Romanes*, ἔνθ. ἀν. σελ. 160 ἐν τέλει: «Die zahlreichen vorkommenden Anekdoten von Hunden, welche unter ähnlichen Umständen wirklich starben, beruhen zum grossen Theil auf Wahrheit».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀποτίθενται, ταμιεύονται, ἀποθησαυρίζουσιν 1). Περαιτέρω· ἀγαπῶσι τὴν χώραν, ἐν ᾗ ἐγεννήθησαν καὶ ἐτράφησαν 2). Μισοῦσι βαθέως τὴν δουλείαν καὶ ἐκ ψυχῆς ἀποστρέφονται αὐτήν. Τήκονται καὶ ἀφανίζονται ἐν αὐτῇ. Ποθοῦσι θερμῶς τὴν ἀνεξαρτησίαν αὐτῶν καὶ μάχονται μέχρι θανάτου ὑπὲρ τῆς ἐλευθερίας αὐτῶν 3).

---

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 622, 6, 19: Τῶν δ' ἐντόμων ἐργατικώτατον ζῷόν ἐστιν .. τό τε τῶν μυρμήκων γένος, καὶ τὸ τῶν μελιττῶν, ἔτι δὲ ἀνθρῆναι καὶ σφῆκες καὶ πάνθ' ὅσ' εἰπεῖν συγγενῆ τούτων. — *Εὐσέβιος*, Προπαρασκευὴ Εὐαγγελική 6, 10, 3 καὶ 4: Πάντες μύρμηκες ἐργάζονται .. μέλισσα μέλι γεωργεῖ, ἐξ οὗ καὶ τρέφεται· καὶ ἡ αὐτὴ γεωργία πάσαις μελίσσαις (τὰ αὐτὰ καὶ ὁ Αἰλιανὸς 2, 57. 5, 12).— *Πλούταρχος*, Πότερα κτλ. 962 D: Δείγματα πολλά .. τοῦ πανούργου περὶ τοὺς πορισμοὺς καὶ τὰς οἰκονομίας ἔνεστι τοῖς ζώοις. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 623 6, 13: Οἱ μύρμηκες θηρεύουσι μὲν οὐδέν, τὰ δὲ πεποιημένα συλλέγουσιν. — *αὐτόθ.* 619, α 20: Ἀετὸς ἀποτίθεται τὴν περιττεύουσαν τροφὴν τοῖς νεοττοῖς· διὰ γὰρ τὸ μὴ εὔπορον εἶναι καθ' ἑκάστην ἡμέραν αὐτὴν πορίζεσθαι, ἐνίοτε οὐκ ἔχουσιν ἔξωθεν κομίζειν. — *αὐτόθ.* 623, 6, 17: Αἱ μέλιτται θηρεύουσι μὲν οὐδέν, αὐταὶ δὲ ποιοῦνται καὶ ἀποτίθενται· ἔστι γὰρ αὐτοῖς τὸ μέλι τροφή. — *Εὐσέβιος*, Προπαρασκευὴ Εὐαγγ. 6, 10, 3: Μύρμηξ κατὰ φύσιν οἶδε χειμῶνος παρουσίαν καὶ δι' ὅλης θερείας κάμνων ἀποτίθεται ἑαυτῷ τροφάς. — *Ἀριστοτέλης*, ἔνθ. ἀν. 615, 6, 23: Ἡ κίττα ὅταν ἀπολίπωσιν αἱ βάλανοι, ἀποκρύπτουσα ταμιεύεται. — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 10: Ἐχῖνον τὸν χερσαῖον οὐκ ἄσοφον οὐδ' ἀμαθῆ ταμιείας τῆς εἰς τὴν χρείαν ἡ φύσις ἐποίησεν .. ἀποθησαυρίσας φυλάττει. Ἴδ. καὶ *Ἀριστοτέλην*, ἔνθ. ἀνωτ. 629, α, 13. *Πλούταρχον*, ἔνθ. ἀν. 971 F. *Αἰλιανὸν* 5, 39. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 279 ἐν τέλει.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 12, 46: Φιλεῖ τὰ θηρία μὴ ἀπὸ τῶν συντρόφων χωρίων πλανᾶσθαι. — *αὐτόθ.* 3, 13: Αἱ γέρανοι φιλοῦσι τὴν χώραν, ἐν ᾗ γεγόνασιν. — *αὐτόθ.* 13, 13: Λαγὼς τῆς ὁδοῦ τῆς ὀπίσω ἐρᾷ δεινῶς καὶ συντρόφου παντὸς χωρίου ἡττᾶται· ἔνθεν τοι καὶ ἁλίσκεται τὰ πολλά, τὰ ἤθη τὰ οἰκεῖα ἐκλιπεῖν οὐχ ὑπομένων. — *αὐτόθ.* 10, 17: Ἀποσπώμενοι τῆς συνήθους γῆς οἱ ἐλέφαντες, καὶ ἐὰν ἡμερωθῶσιν .. ὅμως τὸ φίλτρον τῆς θρεψαμένης χώρας οὐκ ἄν αὐτοῖς ποτε ἐξίτηλον γένοιτο. Ἴδ. καὶ ἀνωτ. σελ. 60, σημ. 3 καὶ 4. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφαί. Ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 159 - 161.

3) *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ. 987 D: Τὰ θηρία φύσει φεύγοντα τὸ κρατεῖσθαι μέχρι τῶν ἐσχάτων ἐγκαρτερεῖ καὶ διαφυλάττει τὸ ἀήττητον· οὐ γὰρ ἡττᾶται κρατούμενα τοῖς σώμασι οὐδ' ἀπαγορεύει ταῖς ψυχαῖς ἀλλὰ μάχῃ ἀποθνήσκει .. οὐδεὶς δὲ δουλεύει λέων λέοντι καὶ ἵππος ἵππῳ δι' ἀνανδρίαν, ὥσπερ ἄνθρωπος ἀνθρώπῳ.. ὅσα δὲ ἄνθρωποι πάγαις ἢ δόλοις ἐχειρώσαντο, τὰ μὲν ἤδη τέλεια καὶ τροφὴν ἀπωσάμενα καὶ πρὸς δίψαν ἐγκαρτερήσαντα τὸν πρὸ δουλείας ἐπάγεται καὶ ἀγαπᾷ θάνατον. — *Αἰλιανός*, ἔνθ. ἀν. 12, 44: Ἐν Ἰνδοῖς ἐὰν ἁλῷ τέλειος ἐλέφας, ἡμερωθῆναι χαλεπός ἐστιν καὶ τὴν ἐλευθερίαν ποθῶν φονᾷ. ἐὰν δὲ αὐτὸν καὶ δεσμοῖς διαλάβῃς ἔτι καὶ μᾶλλον εἰς θυμὸν ἐξάπτεται καὶ δοῦλος εἶναι καὶ δεσμώτης οὐχ ὑπομένει. — *αὐτόθ.* 15, 27: Λέγει τις λόγος τοὺς ὄρνιθας τοὺς ἀτταγᾶς .. ὅτι συλληφθέντες καὶ ἀγρευθέντες οὐ μό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τοιαῦταί τινες εἶνε αἱ ἠθικαί, αἱ πολιτικαὶ καὶ αἱ οἰκονομικαὶ ἀρχαὶ αἱ ἐμφαινόμεναι εἰς τὸ βασίλειον τῶν ἀλόγων καλουμένων ζώων! Πόσον δίκαιον εἶχεν ὁ Ἱπποκράτης εἰπὼν «ταῦτα τὰ πάθεα θεῖα εἶναι καὶ τἆλλα πάντα καὶ οὐδὲν ἕτερον ἑτέρου θειότερον οὐδὲ ἀνθρωπινώτερον, ἀλλὰ πάντα ὁμοῖα καὶ πάντα θεῖα. ἕκαστον δὲ αὐτῶν ἔχει φύσιν τὴν ἑωυτοῦ καὶ οὐδὲν ἄνευ φύσιος γίνεται» 1), καὶ ὁ Ἀριστοτέλης ἐπαναλαβών· «Δεῖ μὴ δυσχεραίνειν παιδικῶς τὴν περὶ τῶν ἀτιμοτέρων ζώων ἐπίσκεψιν· ἐν πᾶσι γὰρ τοῖς φυσικοῖς ἔνεστί τι θαυμαστόν.. οὕτω καὶ πρὸς ζήτησιν περὶ ἑκάστου τῶν ζώων προσιέναι μὴ δυσωπούμενον ὡς ἐν ἅπασιν ὄντος τινὸς φυσικοῦ καὶ καλοῦ — πάντα γὰρ φύσει ἔχει τι θεῖον» 2).

Ἀλλ' ὅταν ἐπισκοπήσῃ τις τὰς περὶ τροφῆς καὶ παιδείας ἀρχὰς τὰς ἀπαντώσας εἰς τὸ βασίλειον τοῦτο τῶν καλουμένων ἀλόγων ζώων, δύσκολον νὰ ἀποφανθῇ ἂν ὁ Ἀριστοτέλης φρονεῖ ὀρθότερον λέγων ὅτι «ἔνεστι τοῖς πλείστοις τῶν ἄλλων ζώων ἴχνη τῶν περὶ τὴν ψυχὴν τρόπων, ἅπερ ἐπὶ τῶν ἀνθρώπων ἔχει φανερωτέρας τὰς διαφοράς» 3) ἢ ὁ Δημόκριτος «ἀποφηνάμενος ἡμᾶς τῶν ζώων μαθητάς, ἐν τοῖς μεγίστοις γεγονότας» 4).

Πόσον ἁπλουστέρα καὶ φυσικωτέρα εἶνε ἡ παιδευτικὴ πρᾶξις τῶν ἀλόγων τῆς παιδευτικῆς πράξεως τῶν λογικῶν καλουμένων ζώων!

νον οὐ τιθασσεύονται, ἀλλ' οὐδὲ φωνὴν ἔτι ἠφίεσαν· ἡ δουλεία γὰρ αὐτῶν καταψηφίζει σιωπήν· ἐὰν δὲ ἀφεθῶσι καὶ ἐλεύθερον ἁπλώσωσι τὸ πτερόν, καὶ εἰς ἥθη τὰ ἑαυτῶν ἀφίκωνται, πάλιν γίνονται ἔμφωνοι, ὁμοῦ καὶ τὸ φθέγμα καὶ τὴν παρρησίαν λαβόντες. — *Ἀρριανός*, Ἐπικτήτου διατριβαί 4, 1, 24: Σκέψαι δὲ ἐπὶ τῶν ζώων, πῶς χρώμεθα τῇ ἐννοίᾳ τῆς ἐλευθερίας. Λέοντας τρέφουσιν ἡμέρους ἐγκλείσαντες καὶ σιτίζουσι καὶ κομίζουσιν ἔνιοι μεθ' αὑτῶν. Καὶ τίς ἐρεῖ τὸν λέοντα τοῦτον ἐλεύθερον; οὐχὶ δ' ὅσῳ μαλακώτερον διεξάγει, τοσούτῳ δουλικώτερον; τίς δ' ἂν αἴσθησιν καὶ λογισμὸν λαβών, βούλοιτο τούτων τις εἶναι τῶν λεόντων; Ἄγε, τὰ δὲ πτηνὰ ταῦτα ὅταν ληφθῇ καὶ ἐγκεκλεισμένα τρέφηται, οἷα πάσχει ζητοῦντα ἐκφυγεῖν; καὶ ἔνιά γε αὐτῶν λιμῷ διαφθείρεται μᾶλλον, ἢ ὑπομένει τὴν τοιαύτην διεξαγωγήν. Ὅσα δ' οὖν διασώζεται, μόγις καὶ χαλεπῶς καὶ φθίνοντα· κἂν ὅλως εὕρῃ τι παρεῳγμένον, ἐξεπήδησεν. Οὕτως ὀρέγεται τῆς φυσικῆς ἐλευθερίας καὶ τοῦ αὐτόνομα καὶ ἀκώλυτα εἶναι. Ἰδ. καὶ ἀνωτ. σελ. 59 καὶ σημ. 3, σελ. 60 καὶ σημ. 1 καὶ 3. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοὶ παρατηροῦσι λέγοντες τοιαῦτα· «Τήκονται καὶ ἀποθνήσκουσιν ἐν τῇ δουλείᾳ τὰ ζῶα καὶ δὲν τεκνοποιοῦσιν· τὰ δὲ τυχὸν τεκνοποιήσαντα ἀφανίζουσι τὰ τέκνα αὐτῶν, ὅπως μὴ μείνωσιν ἐν τῇ δουλείᾳ». Ἰδ. Romanes ἔνθ. ἀν. σελ. 184.

1) Ἱπποκράτης, περὶ ἀέρων, ὑδάτων, τόπων, κ. 22.

2) *Ἀριστοτέλης*, περὶ μορίων ζώων 645, α, 17. Ἠθικὰ Νικομάχεια 1153, 6, 32.

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 588, α, 18.

4) *Πλούταρχος*, Πότερα κτλ. 974 Α.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Παρὰ τοῖς ἀλόγοις τούτοις ζώοις οἱ γονεῖς οἱ ἴδιοι φροντίζουσι περὶ τῆς τροφῆς καὶ παιδείας τῶν τέκνων αὐτῶν. Τροφοί, τίτθαι, παιδαγωγοί, ξένοι καὶ τοιοῦτοι μισθωτοὶ παρ' αὐτοῖς δὲν ὑπάρχουσιν 1). Τὰ παιδεύματα καὶ αἱ ἐπιτηδειότητες, εἰς ἃς ἀσκοῦνται καὶ παιδεύονται τὰ τεκνία τῶν ζώων, οὔτε ὑπέρτερα τῶν δυνάμεων αὐτῶν εἶνε οὔτε ἐκτὸς τοῦ ἐν τῷ κόσμῳ τούτῳ προορισμοῦ αὐτῶν κεῖνται. Συντελοῦσι πάντα ἁπλῶς εἰς τὴν ἄνοσον διατήρησιν αὐτῶν ἐν τῷ βίῳ τούτῳ καὶ εἰς τὴν μετὰ τῶν ὁμοίων αὐτῶν εὔκολον καὶ εὐχάριστον διαβίωσιν, συνῳδὰ τῷ προορισμῷ, ὃν ὁ Δημιουργὸς προώρισεν ἑκάστῳ αὐτῶν. Τὰ παιδευτικὰ μέσα, ὧν χρῆσιν ποιοῦνται, οὐδὲν τὸ περιτετεχνημένον ἔχουσιν· εἶνε φυσικώτατα· οἱ ἀπειθεῖς τιμωροῦνται, οἱ δυστροποῦντες ἐκβιάζονται εἰς τὴν ἐπιτέλεσιν τοῦ πρέποντος 2).

Ἀλλ' ἐπὶ τὰ καθ' ἕκαστα.

Ἡ μάθησις προαπαιτεῖ φρόνησιν καὶ ἡ φρόνησις αἴσθησιν καὶ μνήμην, λέγει ὁ Ἀριστοτέλης 3) καὶ ἐπαναλαμβάνει ὁ Bormann 4). Ἀλλὰ τὰ ζῶα δὲν στεροῦνται τούτων 5), ἑπομένως εἶνε ἐπιδεκτικὰ μαθήσεως 6).

1) *Πλούταρχος*, περὶ παίδων ἀγωγῆς 3 C : Δεῖ αὐτὰς τὰς μητέρας τὰ τέκνα τρέφειν καὶ τούτοις τοὺς μαστοὺς ὑπέχειν .. δηλοῖ δὲ καὶ ἡ φύσις ὅτι δεῖ τὰς μητέρας ἃ γεγεννήκασιν αὐτὰς τιτθεύειν καὶ τρέφειν· διὰ γὰρ τοῦτο παντὶ ζώῳ τεκόντι τὴν ἐκ τοῦ γάλακτος τροφὴν ἐχορήγησε .. χωρὶς δὲ τούτων εὐνούστερα τοῖς τέκνοις γίγνοιντ' ἄν καὶ φιλητικώτεραι .. ἡ συντροφία γὰρ ὥσπερ ἐπιτόνιόν ἐστι τῆς εὐνοίας. καὶ γὰρ τὰ θηρία τῶν συντρεφομένων ἀποσπώμενα ταῦτα ποθοῦντα φαίνεται.

2) Περὶ ἑνὸς ἑκάστου τῶν στοιχείων τούτων τῆς τροφῆς καὶ παιδείας τῶν ζώων ἐν τῷ οἰκείῳ τόπῳ παρακατιών.

3) *Ἀριστοτέλης*, μετὰ τὰ φυσικὰ 980, α, 27.

4) *Bormann*, Pädagogik für Volksschullehrer, Berlin, 1873, σελ. 86, 65 κέξ.

5) *Πλούταρχος*, Πότερα κτλ. 975 A : Τὸ ὀξὺ καὶ νοερὸν αὐτῶν καὶ δι' εὐστροφίαν ὑπήκοον πάσης φαντασίας κτλ. ἴδ. καὶ ἀνωτ. σελ. 47-51 μετὰ τῶν ὑποσελ. σημ.

6) *Ἀριστοτέλης*, Μετὰ τὰ φυσικὰ 980, α, 27 : Φύσει μὲν οὖν αἴσθησιν ἔχοντα γίνεται τὰ τὰ ζῶα, ἐκ δὲ τῆς αἰσθήσεως τοῖς μὲν αὐτῶν οὐκ ἐγγίγνεται μνήμη, τοῖς δὲ ἐγγίγνεται. καὶ διὰ τοῦτο ταῦτα φρονιμώτερα καὶ μαθητικώτερα τῶν μὴ δυναμένων μνημονεύειν ἐστίν .. μανθάνει δὲ ἃ πρὸς τῇ μνήμῃ καὶ ταύτην ἔχει τὴν αἴσθησιν (τὴν ἀκοὴν δηλ.). — *αὐτόθ.* περὶ ζώων ἱστορ. 488, 6, 25: Μνήμης μὲν καὶ διδαχῆς πολλὰ κοινωνεῖ.— *αὐτόθ.* 608, α, 13 : Φαίνονται γὰρ ἔχοντά τινα δύναμιν περὶ ἕκαστα τῶν τῆς ψυχῆς παθημάτων φυσικήν, περί τε φρόνησιν καὶ εὐήθειαν .. καὶ τὰς ἄλλας τὰς τοιαύτας ἕξεις. — *Πορφύριος*, περὶ ἀποχ. ἐμψ. 3, 10 : Καὶ ἔχει γε μνήμην, ἣ περ εἰς ἀνάληψιν λογισμοῦ καὶ φρονήσεως ἐτύγχανεν οὖσα κυριωτάτη. — *Αἰλιανός*, ἔνθ. ἀν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τὸ ἐπιδεκτικὸν τοῦτο τῆς μαθήσεως τῶν ζώων τεκμηριοῦται καὶ ἐξ ἄλλων πολλῶν φαινομένων παρατηρουμένων εἰς τὸν βίον αὐτῶν.

Αἱ ποικίλαι καὶ παντοειδεῖς ἀνάγκαι τοῦ βίου, αἱ ποικίλαι καὶ πολύμορφοι ἐξωτερικαὶ ἐπιδράσεις, αἱ συμμεταβάλλουσαι τὰς συμφύτους διαθέσεις καὶ τὰ συμφυῆ ἤθη αὐτῶν, καὶ οἱ ποικίλοι συμμετασχηματισμοὶ τῶν ὀρέξεων καὶ βουλήσεων καὶ πράξεων αὐτῶν κατὰ τὰ κελεύσματα τῶν ἀνθρώπων ἀποραίνουσι τὴν φύσιν αὐτῶν ἥκιστα μὲν ἀτέραμνον καὶ ἄτεγκτον, εὔπλαστον δὲ σφόδρα καὶ πρὸς παιδείαν οὐκ ὀλίγον ἐπιτηδείαν.

Καθ' ἑκάστην ἡ πεῖρα ἐπιβεβαιοῖ ὅτι τὰ ζῶα ἐξ ἀπειροτέρων γίνονται ἐμπειρότερα 1), ἐκ πονηρῶν γίνονται ἀγαθὰ καὶ ἐξ ἀγαθῶν πονηρά 2)· ὅτι μεθαρμόζουσι τὰς ἐνεργείας αὐτῶν πρὸς τὰς ἑκάστοτε προφαινομένας ἀνάγκας 3)· ὅτι μεγάλην ἐπίδρασιν ἐξασκοῦσιν ἐπὶ τῆς διαμορφώσεως τῶν ἠθῶν καὶ τῶν διαθέσεων αὐτῶν — ὅπως καὶ παρὰ τοῖς ἀνθρώποις — οἱ τόποι 4), αἱ ὧραι τοῦ ἔτους, τὸ κλίμα, αἱ τρο-

6, 10: Μαθεῖν ἀγαθὰ ζῶα. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 616, 6, 11: Χλωρίων δὲ μαθεῖν ἀγαθὸς καὶ βιομήχανος. — *Αἰλιανός*, ἔνθ. ἀν. 4, 47: Χλωρίων μαθεῖν τε πᾶν ὁτιοῦν ἀγαθὸς καὶ τλήμων ὑπομεῖναι τὴν ἐν τῷ μανθάνειν βάσανον, ὅταν ἀλῷ.— *αὐτόθ.* 16, 23: Ἵππου δὲ ἄρα καὶ τὸ εὐμαθὲς ἴδιον ἦν. (τὸ αὐτὸ καὶ 16, 25).— *Πλούταρχος*, Πότερα 963 C: Μυρία εὐμαθείας.. παραδείγματα θηρίων. — περὶ τοῦ τὰ ἄλογα κτλ. 992 A: Τῶν θηρίων ἡ διάνοια καὶ παρὰ φύσιν τοῦ σώματος καὶ περιουσίᾳ συνέσεως ἀναλαμβάνει τὰς μαθήσεις. — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 4: Κόρακες γοῦν καὶ κίτται ἐρίθακοί τε καὶ ψιττακοὶ ἀνθρώπους μιμοῦνται καὶ μέμνηνται ὧν ἂν ἀκούσωσι.— Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Fr. Romanes, ἔνθ. ἀν. σελ. 243: «Sie vergessen aber nicht so leicht, was sie gelernt haben κτλ.».

1) *Αἰλιανός*, ἔνθ. ἀν. 1, 11: Μελιττῶν αἱ μὲν αὐτοετεῖς.. αἱ δὲ πρεσβύτεραι.. ἐμπειρότεραι δέ εἰσιν αὖται καὶ τεχνικώτεραι παιδεύσαντος αὐτὰς τὴν ἐπὶ τῷ μέλιτι σοφίαν τοῦ χρόνου. — *αὐτόθ.* 3, 13: Αἱ γέρανοι.. ποιοῦνται ἡγεμόνας τῆς πτήσεως τὰς ἤδη τῆς ὁδοῦ πεπειραμένας· εἶεν δ' ἂν ὡς τὸ εἰκὸς αἱ πρεσβύτεραι.

2) *Ἀριστοτέλης*, περὶ φυτῶν 821, α, 9: Τὸ δὲ ἐκ πονηροῦ γενέσθαι ἀγαθόν, καὶ τὸ ἐναντίον ἐν τοῖς ζώοις πολλάκις εὑρίσκεται.

3) Ἰδ. ἀνωτ. σελ. 95, σημ. 3 καὶ σελ. 103, σημ. 2 καὶ 3.

4) *Ἀριστοτέλης*, περὶ ἀναπνοῆς 477, 6, 17: Ἡ φύσις ἐν τοῖς οἰκείοις μάλιστα σώζεται τόποις. — *Ἱπποκράτης*, περὶ ἀέρων, ὑδάτων, τόπων, κ. 24: Εὑρήσεις ἐπὶ τὸ πολὺ τῆς χώρας τῇ φύσει ἀκολουθέοντα καὶ τὰ εἴδεα.. καὶ τοὺς τρόπους — *αὐτόθ.* κεφ. 12. Κατὰ τὴν Ἀσίαν.. πολύμορφα γίνεται τὰ ἐν τοῖς θηρίοις.. τὸ δὲ ἀνδρεῖον καὶ τὸ ταλαίπωρον καὶ τὸ ἔμπονον καὶ τὸ θυμοειδὲς οὐκ ἂν δύναιτο ἐν τοιαύτῃ φύσει ἐγγίγνεσθαι μήτε ὁμοφύλου μήτε ἀλλοφύλου. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 605, 6, 22 - 607 α, 8: Διαφέρει τὰ ζῶα καὶ κατὰ τόπους — *αὐτόθ.* 607, α, 9: Ποιοῦσι δὲ οἱ τόποι διαφέροντα καὶ τὰ ἤθη· οἷον οἱ ὀρεινοὶ καὶ τραχεῖς τῶν ἐν τοῖς πεδινοῖς καὶ μαλακοῖς· καὶ γὰρ τὰς ὄψεις ἀγριώτερα καὶ ἀλκιμώτερα κτλ. — *αὐτόθ.* 541, 6, 23:

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φαί 1), αἱ πράξεις, αἱ ἡλικίαι καὶ αἱ λοιπαὶ φυσιολογικαὶ αὐτῶν ἀλλοιώσεις 2), ἡ μετὰ τῶν λοιπῶν ζώων, ὁμογενῶν τε καὶ ἑτερογενῶν,

Ὅλως δὲ δεῖ μὴ λελῆθέναι ὅτι ὥσπερ καὶ τῶν φυομένων καὶ τῶν ζώων . . πολλὴν αἱ χῶραι ποιοῦσι διαφοράν. — *αὐτόθ.* 536, 6, 8: Διαφέρουσι κατὰ τόπους καὶ αἱ φωναὶ καὶ αἱ διάλεκτοι . . καὶ τῶν ἄλλων ζώων . . καὶ τῶν ἐν ταὐτῷ γένει ζώων κατὰ τόπους, οἷον τῶν περδίκων οἱ μὲν κακκαβίζουσιν οἱ δὲ τρίζουσιν. — *Θεόφραστος*, ἀπ. 181: Θεόφραστος γοῦν ἐν τῷ περὶ ἑτεροφωνίας τῶν ὁμογενῶν οἱ Ἀθήνησί φησιν πέρδικες ἐπὶ τάδε τοῦ Κορυδαλλοῦ πρὸς τὸ ἄστυ κακκαβίζουσιν, οἱ δ' ἐπέκεινα τιττυβίζουσίν. (τὸ αὐτὸ καὶ ὁ *Αἰλιανὸς* 3, 35 καὶ ὁ *Ἀθήναιος* 9, σελ. 390, α).—*Ἀντιγόνου ἱστορ. παραδόξων συναγωγή*, κεφ. 1: Τίμαιος . . ἐν Ῥηγίῳ φησὶ τοὺς Λοκροὺς καὶ τοὺς Ῥηγίνους ὁρίζοντος Ἅλυκος καλουμένου ποταμοῦ τῶν τεττίγων τοὺς μὲν ἐν τῇ Λοκρικῇ ᾄδειν, τοὺς δὲ ἐν τῇ Ῥηγίνων ἀφώνους εἶναι. — *Αἰλιανός*, 3, 2: Ἵπποι Λιβύων . . λεπτοὶ καὶ οὐκ εὔσαρκοι . . λεπτοὶ καὶ αὐχμώδεις καὶ οἱ Λίβυες . . σοβαροὶ δὲ Μῆδοι καὶ ἀδροί, καὶ μέντοι καὶ οἱ ἐκείνων ἵπποι.. κύων Κρῆσσα κούφη καὶ ἀλτική.. καὶ μέντοι καὶ αὐτοὶ Κρῆτες . . θυμικώτατος κυνῶν Μολοσσός, ἐπεὶ θυμωδέστατοι καὶ οἱ ἄνδρες, ἀνὴρ δὲ Καρμάνιος καὶ κύων ἀμφότεροι ἀγριωτάτῳ καὶ μειλιχθῆναι ἀτέγκτῳ φασίν. Πρβλ. καὶ Ἀριστοτέλην, ἔνθ. ἀν. 536, α, 13. 598 α, 6. 598, α, 15. 603, α, 12. *Ἱπποκράτην*, ἔνθ. ἀν. κ. 24. *Γαληνόν*, Ὅτι ταῖς τοῦ σώματος κράσεσι κτλ. ἔκδ. Ivan Müller, τόμ. 2, σελ. 57 - 63. Τὰ αὐτὰ καὶ ὁ *Thompson* (ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 269). «*Eine Kette Rebhüner in Irland fliegt auf, ohne eine Laut von sich zu geben, während auf der gegenüberliegenden Küste von Schottland die Kette mit aller Macht schreit, wenn sie aufgejagt wird*». Καὶ ἐν γένει περὶ πάντων τῶν ἄνω μνημονευθέντων φαινομένων ταὐτὰ καὶ ὅμοια τοῖς ἀρχαίοις ὁμολογοῦσι καὶ οἱ καθ' ἡμᾶς περὶ τὰ τοιαῦτα σοφοὶ *Lonbiere, Peckard, Thompson, Darwin, Prof. Newton, Capitän Coues, Yarell, Adamson, Linée* (ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 267 275).

1). *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 632, 6, 14 καὶ ἑξ.: Τῶν ὀρνέων πολλὰ μεταβάλλουσι κατὰ τὰς ὥρας καὶ τὸ χρῶμα καὶ τὴν φωνήν, οἷον ὁ κόττυφος — ἡ κίχλη — ἡ ἀηδὼν — ὁ ἐρίθακος — οἱ φοινίκουροι — αἱ συκαλίδες — οἱ μελαγκόρυφοι — ἡ φάττα — ὁ κόκκυξ — ὁ ἔποψ. — *Θεόφραστος*, περὶ φυτῶν αἰτιῶν 4, 5, 5: Ἡ γὰρ ὥρα καὶ αἱ τροφαὶ καὶ ὁ ἀήρ . . ποιοῦσι τὰς ἀλλοιώσεις ὁμοίως ζώων καὶ φυτῶν. — *Ἀριστοτέλης*, ἔνθ. ἀν. 588, α, 17: Αἱ δὲ πράξεις καὶ οἱ βίοι κατὰ τὰ ἤθη καὶ τὰς τροφὰς διαφερουσιν. — Ἴδ. καὶ *Αἰλιανόν*, 12, 28. — *Κλήμεντα τὸν Ἀλεξανδρέα*, Παιδαγωγ. 2, 10, ἔκδ. Potter, σελ. 221. Πρβλ Ξενοφ. Κυνηγετ. 7, 1. *Ἀριστοτέλ.*, ἔνθ. ἀν. 631, 6, 19. Τὰ αὐτὰ καὶ ὁ Romanes, σελ. 310.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 631, 6, 6: Τὰ ἤθη μεταβάλλουσι κατὰ τὰς πράξεις, πολλάκις δὲ καὶ τῶν μορίων ἔνια, οἷον ἐπὶ τῶν ὀρνίθων συμβαίνει. αἵ τε γὰρ ἀλεκτορίδες ὅταν νικήσωσι τοὺς ἄρρενας, κοκκύζουσί τε μιμούμεναι τοὺς ἄρρενας καὶ ὀχεύειν ἐπιχειροῦσι, καὶ τό τε κάλλαιον ἐξαίρεται αὐταῖς καὶ τὸ οὐροπύγιον, ὥστε μὴ ῥᾳδίως ἂν ἐπιγνῶναι ὅτι θήλειαί εἰσιν· ἐνίαις δέ καὶ πλῆκτρά τινα μικρὰ ἐπανέστη. ἤδη δὲ καὶ τῶν ἀρρένων τινὲς ὤφθησαν ἀπολομένης τῆς θηλείας αὐτοὶ περὶ τοὺς νεοττοὺς τὴν τῆς θηλείας ποιούμενοι σκευωρίαν, περιάγοντές τε καὶ ἐκτρέφοντες οὕτως ὥστε μήτε κοκκύζειν ἔτι μήτε ὀχεύειν ἐπιχειρεῖν . . μεταβάλλει τὰ ζῶα . . καὶ τὸ ἦθος κατὰ τὰς ἡλικίας καὶ τὰς ὥρας, ἀλλὰ καὶ ἐκτεμνόμενα. Ἴδ. καὶ Αἰλιανόν, ἔ. ἀ. 4, 29. 5, 5. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί *Dr. J. W. Stroud, Wiloughby, Baptista Rosa,*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπικοινωνία 1) καὶ ἡ μετὰ τῶν ἀνθρώπων ἀναστροφὴ καὶ συμβίωσις 2).

Ἡ πεῖρα ἐπίβεβαιοῖ ὅτι τἀλλογα ταῦτα ζῶα ἅμα μὲν ἐννοοῦσι τὰς ἐπιθυμίας, τὰς διαθέσεις, τὰς προθέσεις, τὰς διαταγὰς τῶν κυρίων αὐτῶν ἐκ τῶν διαφόρων σημείων καὶ κινήσεων καὶ φωνῶν καὶ λέξεων αὐτῶν, ἅμα δὲ ὅτι ὡκόλως πρὸς ταῦτα καὶ τάχιστα μεθαρμόζουσι τὰς ἰδίας αὐτῶν ἐπιθυμίας καὶ βουλήσεις 3).

Réaumur, Romanes (ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 183, ἔνθα σημειοῦται καὶ τὸ χωρίον τοῦτο τοῦ Ἀριστοτέλους, ἀλλὰ μὲ παραπομπὴν ἐσφαλμένην οὕτωσί· Histor. An. Lib. IX. 42, ἀντὶ τοῦ ὀρθοῦ Lib. IX. 49, σελ. 631, 6, 6 καὶ ἑξ.). πρβλ. καὶ παρὰ τῷ αὐτῷ Romanes σελ. 203.

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 536, 6, 8: Διαφέρουσι δὲ καὶ κατὰ τόπους αἱ φωναὶ καὶ αἱ διάλεκτοι . . καὶ τῶν ἄλλων ζώων διαφέρει καὶ τῶν ἐν ταὐτῷ γένει ζώων κατὰ τόπους . . καὶ τῶν μικρῶν ὀρνιθίων ἔνια οὐ τὴν αὐτὴν ἀφίησι φωνὴν ἐν τῷ ᾄδειν τοῖς γεννήσασιν, ἂν ἀπότροφα γένωνται καὶ ἄλλων ἀκούσωσιν ὀρνίθων ᾀδόντων . . ὡς οὐχ ὁμοίας φύσει τῆς διαλέκτου οὔσης καὶ τῆς φωνῆς, ἀλλ' ἐνδεχόμενον πλάττεσθαι. Τὸ αὐτὸ καὶ οἱ καθ' ἡμᾶς σοφοί, Darwin, Romanes καὶ οἱ τοιοῦτοι. Ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 241: «*Darwin führt Beispiele dafür an, dass Vögel verschiedener Arten, . . häufig den Gesang anderer nachahmen*».

2) *Πλούταρχος*, Πότερα κτλ. 975 F καὶ ἑξ.: Ἔπειτα τὰ μὲν ἐν γῇ διὰ τὴν ὁμοφυλίαν καὶ τὴν συνδιαίτησιν ἀμωσγέπως συναναχρωννύμενα τοῖς ἀνθρωπίνοις ἤθεσι ἀπολαύει καὶ τροφῆς καὶ διδασκαλίας καὶ μιμήσεως· ἡ τὸ μὲν πικρὸν ἅπαν καὶ σκυθρωπὸν ὥσπερ ἐπιμιξία ποτίμου θάλασσαν ἐφηδύνει, τὸ δὲ δυσξύνετον ἅπαν καὶ νωθρὸν ἐπεγείρει ταῖς μετ' ἀνθρώπων κινήσεσιν ἀναρριπιζόμενον. ὁ δὲ τῶν ἐνάλων βίος ὅροις μεγάλοις τοῖς πρὸς ἀνθρώπους ἀπῳκισμένος ὁμιλίας ἐπείσακτον οὐδὲν οὐδὲ συνειθισμένον ἔχων ἴδιός ἐστι καὶ αὐθιγενὴς καὶ ἄκρατος ἀλλοτρίοις ἤθεσι διὰ τὸν τόπον, οὐ διὰ τὴν φύσιν. ἡ γὰρ φύσις ὅσον ἐξικνεῖται μαθήσεως ἐπ' αὐτὴν δεχομένη καὶ στέγουσα παρέχει πολλὰς μὲν ἐγχέλεις ἱερὰς λεγομένας ἀνθρώποις χειροήθεις κτλ. — *Αἰλιανός*, ἔνθ. ἀν. 9, 58: Λέγει ὁ Ἰόβας γενέσθαι Πτολεμαίῳ τῷ Φιλαδέλφῳ ἐλέφαντα Αἰθίοπα ἐκ πολλοῦ βιώσαντα πραότατον καὶ ἡμερώτατον τὰ μὲν ἐκ τῆς πρὸς τοὺς ἀνθρώπους συντροφίας, τὰ δὲ πωλευθέντα. Τὰ αὐτὰ αὐτολεξεὶ ἐπαναλαμβάνουσι καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. *Oppel*, ἔνθ. ἀν. σελ. 15: «Die Seelenfähigkeiten des Thieres seien durch Einwirkungen von aussen zu modificiren. Es ist ein grosser Unterschied in dem Verhalten derselben Thiere, je nachdem sie in der Umgebung der Menschen leben oder nicht mit diesem in Berührung kommen.. so übt die ganze Umgebung ihren unverkennbaren, bestimmenden Einfluss gerade so gut auf die Thiere aus, wie auf die Menschen. Klima, Vegitation, Bodengestalt, alles dieses wirkt mit» κτλ. καὶ *Romanes*, ἔνθ. ἀν. σελ. 253: «Instinktive Wildheit bei allen denjenigen Arten ausgerottet wurde, die genügend lange den Einflüssen der Domestication ausgesetz waren».— Μετὰ μακρὰν δὲ ἀνάλυσιν τῶν αὐτῶν πραγμάτων καταλήγει ὁ Romanes, ἔνθ. ἀν. σελ. 266, ὡς ἔπεται: «Selbst völlig ausgebildete Instinkte leicht abändern, wenn veränderte Lebensumstände dies verlangen».

3) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 608, α, 20: Διαισθάνονται τῶν σημείων τὰς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἀλλ' οὐ μόνον τὴν πρὸς παιδείαν ἐπιτηδειότητα ταύτην κέκτηνται τὰ ζῶα, ἀλλὰ καὶ τὴν θέλησιν πρὸς τοῦτο ἔχουσιν.

Οἵ τε φιλόσοφοι καὶ οἱ παιδαγωγοὶ τὴν θέλησιν ταύτην πρὸς παιδείαν τεκμαίρονται, περὶ τῶν ἀνθρώπων προκειμένου, ἐκ τῆς συμφύτου αὐτοῖς περιεργείας, ἐκ τῆς συμφύτου ὁρμῆς πρὸς ἀπομίμησιν, ἐκ τῆς συμφύτου ἐπιτηδειότητος πρὸς ἐκμάθησιν τῆς γλώσσης καὶ ἐκ τῆς προσοχῆς 1). Ἀλλὰ πάντα ταῦτα εὑρηνται καὶ παρὰ τοῖς ἀλόγοις τούτοις ζώοις· διότι καὶ ταῦτα ἔχουσι περιέργειαν 2) καὶ ταῦτα εἶνε

διαφοράς. — *Πορφύριος*, περὶ ἀποχ. ἐμψ. 3, 15: Οὐδὲ γὰρ ὡς ψόφου τῆς φωνῆς ἡμῶν ἀκούει, ἀλλὰ καὶ τῶν σημείων τῆς διαφορᾶς ἔστιν αὐτοῖς ἐπαίσθησις, ἥτις δὴ ἐκ συνέσεως λογικῆς παραγίνεται. — *Ἀρριανός*, Κυνηγετικὸς 5, 5: Καὶ ὅτι σκυλακευομένη μάστιγι ἐκολάζετο (ἡ κύων), εἴ τις ἐς τοῦτο ἔτι μάστιγα ὀνομάσειεν, πρόσεισιν τῷ ὀνομάσαντι, καὶ ὑποπτήξασα λιπαρεῖ, καὶ τὸ στόμα ἐφαρμόζει τῷ στόματι ὡς φιλοῦσα καὶ ἐπιπηδήσασα ἐκκρέμαται τοῦ αὐχένος, καὶ οὐ πρόσθεν ἀνίησιν, πρὶν τῆς ἀπειλῆς ἀποπαῦσαι τὸν θυμούμενον. — *Πορφύριος*, ἔνθ. ἀν. 3, 6: Οὐ τοίνυν οὐδ' ἐκεῖνα ἔλαθεν ἡ τῶν ἀνθρώπων φωνή, οὐκ ὀργιζομένων, οὐ φιλοφρονουμένων, οὐ καλούντων, οὐχ ἡ διώκουσα, οὐχ ἡ αἰτοῦσα, οὐχ ἡ διδοῦσα, οὐδεμία ἁπλῶς, ἀλλὰ πάσαις οἰκείως ὑπήκουσεν. ὅπερ ἀδύνατον ποιεῖν μὴ τοῦ ὁμοίου τῇ συνέσει τῷ ὁμοίῳ ἐνεργοῦντος. — *Αἰλιανός*, ἔνθ.ἀν. 4, 24: Συνιᾶσιν ἐλέφαντες καὶ γλώττης ἀνθρωπίνης τῆς ἐπιχωρίου.— *αὐτόθ.* 11, 14: Φωνὴν τῶν Ἰνδῶν, ἧς ἀκούουσιν ἐλέφαντες. — *αὐτόθ.* 11, 25: Τῷ Πτολεμαίῳ τῷ δευτέρῳ, ὃν καὶ Φιλάδελφον καλοῦσι, βρέφος ἐλέφαντος δῶρον ἐδόθη, καὶ φωνῇ ἐνετράφη τῇ Ἑλλάδι, καὶ λαλούντων συνίει. — *αὐτόθ.* 5, 35: Ὄνομά ἐστιν ὄρνιθος ἀστερίας καὶ ἀνθρώπου φωνὴν ἐπαΐει. — *αὐτόθ.* 3, 1: Ἵπποι καὶ κύνες διὰ τὴν συντροφίαν ἀπειλούντων ἀνθρώπων συνιᾶσι καὶ καταπτήσσουσι. — *Πλούταρχος*, Πότερα κτλ. 976 A. B: Ἡ φύσις παρέχει πολλαχοῦ ἰχθῦς ὑπακούοντας αὐτῶν ὀνόμασιν· ὥσπερ τὴν Κράσσου μύραιναν ἱστοροῦσιν .. οἱ δὲ χροκόδειλοι τῶν ἱερέων .. γνωρίζουσι τὴν φωνὴν καλούντων. (τὸ αὐτὸ καὶ ὁ Αἰλιανὸς 8, 4). — *Αἰλιανός*, ἔνθ. ἀν. 12, 30: Χειροήθεις δὲ ἰχθῦς, καὶ ὑπακούοντας τῇ κλήσει καὶ τροφὰς ἀσμένως δεχόμενοι πολλαχόθι καὶ εἰσὶ καὶ τρέφονται, ὥσπερ οὖν καὶ ἐν Ἠπείρῳ. Ἴδ. αὐτόθ. καὶ 2, 6. 2, 11. 13, 22. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Wundt, ἔνθ. ἀν. τόμ. 2, σελ 378-389, προσεπιλέγοντα (2, σελ. 388 ἐν ἀρχῇ): «So erklärt sich die für uns etwas beschämende Thatsache, dass viele Hunde mehr von der menschlichen Sprache verstehen, als die meisten Menschen von der Hundesprache».

1) *Ἀριστοτέλης*, Μετὰ τὰ φυσικὰ 980, α, 22: Πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει· σημεῖον δὲ ἡ τῶν αἰσθήσεων ἀγάπησις· καὶ γὰρ χωρὶς τῆς χρείας ἀγαπῶνται δι' αὐτάς, καὶ μάλιστα τῶν ἄλλων ἡ διὰ τῶν ὀμμάτων. οὐ γὰρ μόνον ἵνα πράττωμεν, ἀλλὰ καὶ μηθὲν μέλλοντες πράττειν τὸ ὁρᾶν αἱρούμεθα ἀντὶ πάντων ὡς εἰπεῖν τῶν ἄλλων. αἴτιον δ' ὅτι μάλιστα ποιεῖ γνωρίζειν τι ἡμᾶς αὕτη τῶν αἰσθήσεων, καὶ πολλὰς δηλοῖ διαφοράς. Τὰ αὐτὰ καὶ ὁ Bormann, ἔνθ.ἀν. σελ. 87-90: «Es ist die Natur alles Lebens, dass er vorwärts strebt, seine Entfaltung sucht, nach Entwickelung begehrt .. Lerntrieb — Nachahmungstrieb — das Erlernen der Sprache — Aufmerksamkeit».

2) *Αἰλιανός*, ἔνθ. ἀν 4, 3: Οἱ κολοιοί .. περίεργον τὸ ὀρνίθιον .. καὶ ἐπὶ τοῦ χεί-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μιμητικὰ 1). Καὶ ταῦτα τὴν γλῶσσαν, «ἣν παρὰ τοῦ θεοῦ καὶ τῆς λους τοῦ σκεύους κάθηται, καὶ κύπτει κάτω καὶ ὁρᾷ τὴν ἑαυτοῦ σκιάν. — *Ξενοφῶν*, Κυνηγετικὸς 3, 10: Τῶν κυνῶν.. εἰσὶν αἱ μεταξὺ θέουσαι, ἂν ποθεν ἀκούσωσι κραυγῆς, καταλείπουσαι τὰ αὑτῶν ἔργα ἀπρονοήτως ἐπὶ τοῦτο φέρονται.— *Αἰλιανὸς* 2, 8: Οἱ ἰχθῦς δεδίασι τὴν αὐγὴν (τῶν ὑπνῶν) καὶ τὴν λαμπηδόνα δυσωποῦνται· καὶ οἱ μὲν οὐκ εἰδότες ὅ τι βούλεται τὸ ὁρώμενον, πλησιάζουσι μαθεῖν βουλόμενοι τοῦ φοβοῦντος σφᾶς τὴν αἰτίαν. — Πρβλ. καὶ *Ἀρριαν.* Κυνηγ. 5, 3. *Ἀριστοτέλ.*, περὶ τὰ ζῶα ἱστ. 610, 6, 28. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 303 ἐν τέλει: «Wenn deshalb durch Spielerei, Vorliebe, Neugier.. das Thier.. verleitet wird» κτλ. καὶ ἐν σελ. 308 αὐτολεξεὶ τὰ ἀνωτέρω τοῦ Αἰλιανοῦ: «Desshalb wird jene Gewonheit wahrscheinlich aus blosser Neugierde oder den Verlangen zur Prüfung des neuen und auffalenden Gegenstandes entsprungen seien; dass diesselbe Erklärung auch für die Insekten gild, wird noch wahrscheinlich dadurch dass auch Fische durch den Schein von Laternen und dergl. angezogen werden κτλ. ἔτι ἴδ. αὐτόθ. καὶ τὴν σελ. 382 περὶ τὰ μέσα.

1) *Πλούταρχος*, Πότερα κτλ. 975 F: Ὕπειτα τὰ μὲν ἐν γῇ διὰ τὴν ὁμοφυλίαν καὶ τὴν συνδιαίτησιν ἀμωσγέπως συναναχρωννύμενα τοῖς ἀνθρωπίνοις ἤθεσιν ἀπολαύει καὶ τροφῆς καὶ διδασκαλίας καὶ μιμήσεως. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 597, 6, 26: Ὅλως δὲ τὰ γαμψώνυχα πάντα βραχυτράχηλα καὶ πλατύγλωττα καὶ μιμητικά· καὶ γὰρ τὸ Ἰνδικὸν ὄρνεον ἡ ψιττάκη, τὸ λεγόμενον ἀνθρωπόγλωττον, τοιοῦτόν ἐστιν. — *Πλούταρχος*, Πότερα κτλ. 973 C: Κουρεύς τις ἐργαστήριον ἔχων ἐν Ῥώμῃ πρὸ τοῦ τεμένους.. θαυμαστόν τι χρῆμα πολυφώνου καὶ πολυφθόγγου κίττης ἔτρεφε, καὶ ἀνθρώπου ῥήματα καὶ θηρίων φθόγγους καὶ ψόφους ὀργάνων ἀνταπεδίδου, μηδενὸς ἀναγκάζοντος ἀλλ' αὐτὴν ἐθίζουσα καὶ φιλοτιμουμένη μηδὲν ἄρρητον ἀπολιπεῖν μηδ' ἀμίμητον. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 4: Φαίνεται δὲ (τὰ ζῶα) καὶ ἡμᾶς μιμούμενα καὶ τὴν Ἑλλάδα γλῶτταν ἐκμανθάνοντα καὶ συνιέντα τῶν ἐφεστώντων.. κόρακες γοῦν καὶ κίτται ἐρίθακοί τε καὶ ψιττακοὶ ἀνθρώπους μιμοῦνται. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 609, 6, 17: Ἄνθος ἵππῳ πολέμιος.. μιμεῖται τοῦ ἵππου τὴν φωνήν. *Αἰλιανός*, ἔνθ. ἀν. 6, 19: Ἡ κίττα καὶ τῶν ἄλλων φωνημάτων μιμητικώτατον, τοῦ δὲ ἀνθρωπικοῦ πλέον. ἰδιάζει δὲ ταῖς μιμήσεσι τῶν τοιούτων ὅ τε ἄνθος καλούμενος καὶ ἡ σάλπιγξ καὶ ἡ ἴυγξ καὶ ὁ κόραξ. καὶ ὁ μὲν ἄνθος ὑποκρίνεται χρεμέτισμα ἵππου, τὴν σάλπιγγα δὲ ἡ ὁμώνυμος, καὶ τὸν πλάγιον ἡ ἴυγξ αὐλόν· βούλεται δὲ τὸν ὄμβρον μιμεῖσθαι τὰς σταγόνας ὁ κόραξ. —*αὐτόθ.* 5, 26: Μιμητικώτατόν ἐστιν ὁ πίθηκος ζῶον.— *αὐτόθ.* 17, 25: Ἔστι δὲ τὸ ζῶον (ὁ πίθηκος) ὀρχηστικόν, εἰ θεῷτο ὀρχούμενον.. μιμεῖται τὴν ὑπόδεσιν.. δρῶσι κατὰ μίμησιν ὧν εἶδον.— *Μάξιμος ὁ Τύριος*, λόγ. 7, 7: Ἀνὴρ φιλοθρέμμων ὄρνιθας εἶχε τῶν ἡδὺ μὲν φθεγγομένων τὸ ὄρθριον δὴ τοῦτο, ἄσημον δέ, καὶ οἷον ὄρνιθας εἰκός. Ἦν αὐτῷ γείτων αὐλητικός, ἀκροώμενοι δὲ οἱ ὄρνιθες διαμελετωμένου τοῦ αὐλητοῦ, καὶ ἀνταδοντες αὐτῷ ὁσημέραι, ἐτυπώθησαν τῇ ἀοιᾷ πρὸς τὰ αὐλήματα, καὶ τελευτῶντες ἀρξαμένου αὐλεῖν συνεπήχουν πρὸς τὸ ἐνδόσιμον, δίκην χοροῦ. — *αὐτόθ.* λόγ. 35, 4: Ἐν Λιβύῃ ἀνὴρ Λίβυς, Ψάφων ὄνομα, ἐραστὴς εὐδαιμονίας οὐ ταπεινῆς μὰ Δία, οὐδὲ τῆς περιθεούσης ταύτης, ἀλλὰ ἤθελε γὰρ θεὸς εἶναι δοκεῖν· ξυλλαβὼν οὖν τῶν ᾠδικῶν ὀρνίθων πολλούς, ἐδίδασκεν ᾄδειν τοὺς ὄρνιθας «μέγας θεὸς Ψάφων»· καὶ ἠφίει αὖθις ἐπὶ τὰ ὄρη. οἱ δὲ αὐτοί τε ᾔδον καὶ οἱ ἄλλοι ὄρνιθες ἐθιζόμενοι τῇ φωνῇ. — Ἴδε καὶ *Ἐπίκτητ.* Ἐγχειρίδ. κεφ. 29, 3. 3, 15, 6. *Κλήμεντα τὸν Ἀλεξανδρέα*, Στρωματ. 6, 17, ἔκδ. Potter, σελ. 819. Αἰλιαν. ἔνθ. ἀν. 13, 18.— Τὰ αὐτὰ τούτοις, καί τινα μάλιστα καὶ αὐταῖς λέξεσι, καὶ οἱ ἐν τοῖς καθ'

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φύσεως εἴληχεν ἕκαστον», παρὰ τῶν πρὸ αὐτοῦ γενομένων ὁμοφύλων αὐτοῦ μανθάνει καὶ προσηκόντως ἑκάστοτε χρησιμοποιεῖ 1). Καὶ ταῦτα

ἡμᾶς χρόνοις περὶ τὰ τοιαῦτα σοφοὶ *Romanes*, *Darwin*, *Yarrell*, *Dureau de la Malle* (ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 239-250).

1) Καὶ οἱ τρεῖς τρόποι τῆς παρὰ τοῖς ἀνθρώποις ἐκδηλώσεως τῶν διανοημάτων καὶ τῶν συναισθημάτων καὶ τῶν ἐπιθυμιῶν εὑρηνται καὶ παρὰ τοῖς ζώοις· ὅ τε διὰ τῶν κινήσεων τοῦ σώματος δηλ. καὶ ὁ διὰ τῆς φωνῆς καὶ ὁ διὰ τῆς μελῳδίας, οὓς διὰ τῆς ἀπομιμήσεως μὲν μανθάνουσι τὸ κατ' ἀρχὰς τὰ ζῶα, ὅπως καὶ οἱ ἄνθρωποι, διὰ τῆς διδασκαλίας δὲ τελειοποιοῦσιν αὐτούς. (ἴδ. Bormann, ἔ. ἀ. σελ. 89 ἐν ἀρχῇ). Ταῦτα μαρτυροῦνται γενικῶς ὑπὸ πάντων τῶν περὶ τὰ τοιαῦτα ἀσχοληθέντων. Ἀπόδειξις δέ· *Αἰλιανός*, ἔνθ. ἀν. 2, 13: Τὰ κήτη τὰ μεγάλα πάντα .. δεῖται τοῦ ἡγεμόνος, καὶ τοῖς ὀφθαλμοῖς ἐκείνου ἄγεται. ἔστι δὲ ἰχθὺς μικρὸς καὶ λεπτός, τὴν κεφαλὴν προμήκης· στενὸν δὲ αὐτῷ τὸ οὐραῖον συμπέφυκεν, ὡς οἱ τούτων λέγουσι σοφοί.. νήχεται ὅδε ὁ ἰχθύς.. πρόεισι δὲ τῆς τοῦ κήτους κεφαλῆς καὶ ἡγεμών ἐστιν αὐτοῦ, καὶ ὡς εἰπεῖν οἷαξ. προορᾷ γοῦν ἐκείνῳ τὰ πάντα καὶ προαισθάνεται τῷ αὐτῷ, καὶ προδιδάσκει ἕκαστα τῆς οὐρᾶς τῷ ἄκρῳ, καὶ παρέψαυσε τούτῳ, καὶ ἔδωκε σύνθημα, καὶ τῶν μὲν φοβερῶν ἀνέστειλεν ἐπί γε μὴν τὰ θρέψοντα προάγει καὶ τὴν ἐκ τῶν θηρατῶν ἐπιδουλὴν διδάσκει σημείῳ τινὶ ἀτεκμάρτῳ, καὶ τῶν τόπων ὧν οὐ χρὴ τοσοῦτον θηρίον ἐπιβῆναι προμηνύει κτλ. — *Ξενοφῶν*, Κυνηγετικὸς 6, 15. 16. 22. 23: Αἱ δὲ κύνες ὑπὸ χαρᾶς καὶ μένους προϊᾶσιν ἐξίλλουσαι τὰ ἴχνη.. ἑαυταῖς παραθέουσαι, ταχὺ ταῖς οὐραῖς διασείουσαι, καὶ ἐπικλίνουσαι τὰ ὦτα, καὶ ἀστράπτουσαι τοῖς ὄμμασιν. ἐπειδὰν δὲ περὶ τὸν λαγῶ ὦσι, δῆλον ποιήσουσι τῷ κυνηγέτῃ σὺν ταῖς οὐραῖς τὰ σώματα ὅλα συνεπικραδαίνουσαι, πολεμικῶς ἐπιφερόμεναι, φιλονείκως παραθέουσαι, συντρέχουσαι φιλοπόνως, συνιστάμεναι ταχύ, διιστάμεναι, πάλιν ἐπιφερόμεναι.. αἱ δ' ἐπειδὰν λαμπρὰ ᾖ τὰ ἴχνη ἐπιρριπτοῦσαι, παραπηδῶσαι, κοινωνοῦσαι.. ταχὺ μεταθεύσονται.. αἱ δὲ διαρριπτοῦσαι τὰς οὐρὰς καὶ ἑαυταῖς ἐμπίπτουσαι καὶ πολλὰ ὑπερπηδῶσαι καὶ ἐπανακλαγγάνουσαι, ἐπαναίρουσαι τὰς κεφαλάς, εἰσβλέπουσαι εἰς τὸν κυνηγέτην, ἐπιγνωρίζουσαι ἀληθῆ εἶναι ἤδη ταῦτα κτλ. — *Ἀρριανός*, Κυνηγετικὸς 5, 3, καὶ ἑξ. Ἡ κύων.. ἰδοῦσα καὶ ἐπιμεταδιάσασα αὖθις αὖ πρόεισιν.. εἰ δὲ καὶ δι' ὀλίγου χρόνου ἴδοι, ἐπιπηδᾷ ἀτρέμα, ὥσπερ ἀσπαζομένη, καὶ τῷ ἀσπασμῷ ἐπιφθέγγεται, οἷα φιλοφρονουμένη. καὶ δειπνοῦντι συνοῦσα ἅπτεται ἄλλοτε ἄλλῳ τοῖν ποδοῖν, ὑπομιμνήσκουσα ὅτι κἂν αὐτῇ ἄρα μεταδοτέον εἴη τῶν σιτίων. καὶ μὴν καὶ πολύφθογγός ἐστιν.. καὶ ὅσων δεῖται τῇ φωνῇ σημαίνει. — *Αἰλιανός*, ἔνθ. ἀν. 5, 51: Πολυφωνότατα δὲ τὰ ζῶα καὶ πολύφθογγα ὡς ἄν εἴποις ἡ φύσις ἀπέφηνεν, ὥσπερ οὖν καὶ τοὺς ἀνθρώπους. ὁ γοῦν Σκύθης ἄλλως φθέγγεται καὶ ὁ Ἰνδὸς ἄλλως, καὶ ὁ Αἰθίοψ ἔχει φωνὴν συμφυᾶ καὶ οἱ Σάκαι· φωνὴ δὲ Ἑλλὰς ἄλλη καὶ Ῥωμαία ἄλλη. οὕτω τοι καὶ τὰ ζῶα ἄλλο ἄλλως προΐεται τὸν συγγενῆ τῆς γλώττης ἦχόν τε καὶ φόφον· τὸ μὲν γὰρ βρυχᾶται, μυκᾶται δὲ ἄλλο, καὶ χρεμέτισμα ἄλλου καὶ ὄγκησις ἄλλου βλυχηθμός τε καὶ μηκασμός, καί τισι μὲν ὠργυμός, τισὶ δὲ ὑλαγμὸς φίλον, καὶ ἄλλῳ ἀρράζειν, κλαγγαὶ δὲ καὶ ῥοῖζοι καὶ κριγμοὶ καὶ ᾠδαὶ καὶ μελῳδίαι καὶ τραυλισμοὶ καὶ μυρία ἕτερα δῶρα τῆς φύσεως ἴδια τῶν ζώων ἄλλα ἄλλων. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 535, α, 27 - 536, β, 23: Περὶ φωνῆς τῶν ζώων ὧδ' ἔχει· φωνὴ καὶ ψόφος ἕτερόν ἐστι, καὶ τρίτον τούτων διάλεκτος — διάλεκτος δ' ἡ τῆς φωνῆς ἐστι τῇ γλώττῃ διάρθρωσις — ὡς οὐχ ὁμοίας φύσει τῆς διαλέκτου οὔσης καὶ τῆς φωνῆς, ἀλλ' ἐνδεχόμενον πλάττεσθαι, καὶ οἱ ἄνθρωποι φωνὴν μὲν τὴν αὐτὴν ἀφιᾶσι, διάλεκτον δ' οὐ τὴν αὐτὴν — ὅσα γλῶτταν μὴ ἔχῃ ἢ μὴ ἀπολελυμένην, οὔτε φωνεῖ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὔτε διαλέγεται· ψοφεῖν δ' ἔστι καὶ ἄλλοις μορίοις· τὰ μὲν οὖν ἔντομα οὔτε φωνεῖ οὔτε διαλέγεται, ψοφεῖ δέ.. τὰ μὲν βομβεῖ, οἷον μέλιττα καὶ τὰ πτηνὰ αὐτῶν, τὰ δ' ᾄδειν λέγεται οἷον οἱ τέττιγες — (μυῖαι — μέλιτται — ἀκρίδες — μαλάκια — μαλακόστρακα — ἰχθύες — ψόφοι — τριγμοί — γρυλισμοί — συριγμοί — τρίζουσι — ῥοιζοῦσι — μύζουσι — συριγμός — σιγμός — ὁλολυγών). — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψ. 3, 2 καὶ 3: Καίτοι εἰ πρὸς ταληθὲς εἰπεῖν, οὐ μόνον ἁπλῶς ὁ λόγος ἐν πᾶσι τοῖς ζώοις θεωρεῖται, ἐν πολλοῖς δὲ αὐτῶν καὶ ὑποβολὰς ἔχων πρὸς τὸ τέλειον. ἐπεὶ τοίνυν διττὸς ἦν, ὃ μὲν ἐν τῇ προφορᾷ, ὃ δὲ ἐν τῇ διαθέσει, ἀρξόμεθα πρότερον ἀπὸ τοῦ προφορικοῦ καὶ τοῦ κατὰ τὴν φωνὴν τεταγμένου. εἰ δὴ προφορικός ἐστι λόγος φωνὴ διὰ γλώττης σημαντικὴ τῶν ἔνδον καὶ κατὰ ψυχὴν παθῶν.. τί τούτου ἄπεστι τῶν ζώων ὅσα φθέγγεται; τί δὲ οὐχὶ καὶ ἃ πάσχει τι, πρότερον καὶ πρὶν εἰπεῖν ὃ μέλλει διενοήθη; λέγω δὲ διάνοιαν τὸ ἐν τῇ ψυχῇ κατὰ σιγὴν φωνούμενον. τοῦ τοίνυν ὑπὸ τῆς γλώττης φωνηθέντος, ὅπως ἂν καὶ φωνηθῇ, εἴτε βαρβάρως εἴτε Ἑλληνικῶς, εἴτε κυνικῶς ἢ βοϊκῶς, λόγου γε ὄντος μέτοχα τὰ ζῶα τὰ φωνητικά, τῶν μὲν ἀνθρώπων κατὰ νόμους ἀνθρωπείους φθεγγομένων, τῶν δὲ ζώων κατὰ νόμους οὓς παρὰ τῶν θεῶν καὶ τῆς φύσεως εἴληχεν ἕκαστον· εἰ δὲ μὴ ἡμεῖς ξυνίεμεν τί τοῦτο; οὐδὲ γὰρ τῆς Ἰνδῶν οἱ Ἕλληνες οὐδὲ τῆς Σκυθῶν ἢ Θρᾳκῶν ἢ Σύρων οἱ ἐν τῇ Ἀττικῇ τραφέντες· ἀλλ' ἴσα κλαγγῇ γεράνων ὁ τῶν ἑτέρων τοῖς ἑτέροις ἦχος προσπίπτει — *αὐτόθ.* 3, 5: Πῶς οὖν οὐκ ἄγνωμον μόνην λόγον τὴν ἀνθρώπου φωνὴν λέγειν, ὅτι ἡμῖν ξυνετή, τὴν δὲ τῶν ἄλλων ζώων παραιτεῖσθαι; ὅμοιον γὰρ ὡς εἰ κόρακες τὴν σφῶν μόνον ἠξίουν εἶναι φωνήν, ἡμᾶς δὲ εἶναι ἀλόγους, διότι οὐκ αὐτοῖς εὔσημα φθεγγόμεθα· ἢ οἱ Ἀττικοὶ εἰ μόνην τὴν Ἀθηνᾶ ἔλεγον φωνήν, τοὺς δὲ ἄλλους ἀλόγους ἡγοῦντο τοὺς λέξεως Ἀττικῆς ἀμοιροῦντας. καίτοι θᾶττον ἂν κόρακος ξύνεσιν λάβοι ὁ Ἀττικὸς ἢ Σύρου ἢ Πέρσου συρίζοντος καὶ περσίζοντος.. καὶ μὴν καὶ ἡμῶν οἱ παρατηροῦντες καὶ οἱ σύντροφοι γιγνώσκουσιν αὐτῶν τὰ φθέγματα. ὁ γοῦν κυνηγέτης ἀπὸ τῆς ὑποκρίσεως ᾔσθετο τοῦ κυνὸς ὑλακτοῦντος νῦν μὲν ὅτι ζητεῖ τὸν λαγών, νῦν δὲ ὅτι εὗρεν, νῦν δὲ ὅτι διώκει, νῦν δὲ ὅτι ἔλαβεν, καὶ πλανωμένου ὅτι πλανᾶται· καὶ ὁ βουκόλος οἶδεν ὅτι ἡ βοῦς πεινῇ ἢ διψῇ ἢ κέκμηκεν ἢ ὀργᾷ ἢ τὸν μόσχον ζητεῖ καὶ λέων βρυχώμενος δηλοῖ ὅτι ἀπειλεῖ, καὶ λύκος ὠρυόμενος ὅτι κακῶς πράσσει, καὶ ὄιες βληχώμεναι οὐκ ἔλαθον τὸν ποιμένα ὅτου δέονται. — *αὐτόθ.* 3, 4: Τινὰ τῷ μὴ διδάσκεσθαι ἴσως οὐ φθέγγεται ἢ καὶ τῷ ὑπὸ τῶν ὀργάνων τῆς φωνῆς ἐμποδίζεσθαι. — *Πλούταρχος*, περὶ σαρκοφαγίας 994 D: Ἀλλ' οὐδὲν ὑμᾶς δυσωπεῖ, οὐ χρόας ἀνθηρὸν εἶδος, οὐ φωνῆς ἐμμελοῦς πιθανότης κτλ.— *αὐτόθ.* Πότερα 972 F καὶ ἑξῆς: Ψᾶρες δὲ καὶ κόρακες καὶ ψιττακοὶ μανθάνοντες διαλέγεσθαι καὶ τὸ τῆς φωνῆς πνεῦμα τοῖς διδάσκουσιν εὔπλαστον οὕτω καὶ μιμηλὸν ἐξαριθμεῖν καὶ ῥυθμίζειν παρέχοντες ἐμοὶ δοκοῦσι προδικεῖν καὶ συνηγορεῖν τοῖς ἄλλοις ζώοις ἐν τῷ μανθάνειν, τρόπον τινὰ διδάσκοντες ἡμᾶς ὅτι καὶ προφορικοῦ λόγου καὶ φωνῆς ἐνάρθρου μέτεστιν αὐτοῖς· ἢ καὶ πολὺς κατάγελως τὸ πρὸς ταῦτα καταλιπεῖν ἐκείνοις σύγκρισιν, οἷς οὐδ' ὅσον ὠρύσασθαι μέτεστιν οὐδ' ὅσον στενάξαι φωνῆς. τούτων δὲ καὶ τοῖς αὐτοφυέσι καὶ τοῖς ἀδιδάκτοις γηρύμασιν ὅση μοῦσα καὶ χάρις ἔπεστιν, οἱ λογιώτατοι καὶ καλλιφωνότατοι μαρτυροῦσι, τὰ ἥδιστα ποιήματα καὶ μέλη κύκνων καὶ ἀηδόνων ᾠδαῖς ἀπεικάζοντες. Ἴδ. καὶ ἀνωτ. σελ. 122 - 123 μετὰ τὸν ὑποσελ. σημειώσεων. — Τὰ αὐτὰ ἐπαναλαμβάνουσι καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις οἱ περὶ τὰ τοιαῦτα σοφοὶ Wundt, Oppel, Schuberth, Romanes κλ. Ἴδ. *Wundt*, ἔνθ. ἀν. τόμ. 2, σελ. 389. 329. — *Oppel*, ἔνθ. ἀν. σελ. 4. — *Schuberth*, ἔνθ. ἀν. σελ. 319. — *Romanes*, ἔνθ. ἀν. σελ. 156.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔχουσι προσοχὴν 1).

Πλὴν δὲ τούτων τὰ ζῶα ἔχουσι καὶ ἀνάγκην διδασκαλίας, διότι ὅ,τι εἶνε ἀναγκαῖον πρὸς διεξαγωγὴν τοῦ βίου αὐτῶν δὲν γνωρίζουσι τελείως οὐδ' ἀκριβῶς ἅμα τῇ γεννήσει αὐτῶν 2), ἀλλὰ διὰ τῆς διδασκαλίας καὶ τῆς ἀπομιμήσεως τῶν πρὸ αὐτῶν γενομένων, ἔτι δὲ διὰ τοῦ χρόνου καὶ τῆς ἰδίας ἐμπειρίας τελειοποιοῦσιν ἕκαστον τὴν σύμφυτον αὐτῶν ἰδιοφυΐαν καὶ ἀποκτῶσι τὴν πρὸς διεξαγωγὴν τοῦ βίου ἀναγκαιοτάτην καὶ εἰς ἕκαστον τούτων ἰδιόρρυθμον ἐπιτηδειότητα καὶ δεξιότητα 3).

Ὅπως δὲ παρὰ τοῖς ἀνθρώποις, οὕτω καὶ παρὰ τοῖς ζώοις ἡ ἐπίδοσις καὶ ἡ προκοπὴ δὲν εἶνε εἰς πάντα ἡ αὐτή 4)· διότι ὅπως παρὰ τοῖς ἀνθρώποις ἡ νοημοσύνη, τὸ ἦθος καὶ ἐν γένει ἡ φύσις ποικίλ-

1) *Πλούταρχος*, Πότερα κτλ. 960 F: Τὰς δ' ἑπομένας τῇ αἰσθήσει τῶν μὲν ὠφελίμων λήψεις καὶ διώξεις, διακρούσεις δὲ καὶ φυγὰς τῶν ὀλεθρίων καὶ λυπηρῶν οὐδεμία μηχανὴ παρεῖναι τοῖς μὴ λογίζεσθαί τι καὶ κρίνειν καὶ μνημονεύειν καὶ προσέχειν πεφυκόσιν — *αὐτόθ.* 971 C: Ὁ ὄνος τὸ λοιπὸν οὕτω προσέχων καὶ φυλαττόμενος διέβαινε τὸν ποταμόν. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Romanes σελ. 345 ἐν τέλει.

2) *Πλούταρχος*, Πότερα κτλ. 962 C: Λόγος μὲν γὰρ ἐγγίγνεται φύσει, σπουδαῖος δὲ λόγος καὶ τέλειος ἐξ ἐπιμελείας καὶ διδασκαλίας. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 626, 6, 1: Τὸ γένος τὸ τῶν μελιττῶν, ὃ εἴρηται ὅτι πονηρόν τε καὶ τραχέα τὰ κηρία ἐργάζεται, εἰσί τινες τῶν μελιττουργῶν, οἵ φασι τὰς νέας μάλιστα τοῦτο ποιεῖν δι' ἀνεπιστημοσύνην· νέαι δ' εἰσὶν αἱ ἐπέτειοι. — Μετὰ τὰ φυσικὰ 980, 6, 25: Τὰ μὲν οὖν ἄλλα ταῖς φαντασίαις ζῇ καὶ ταῖς μνήμαις, ἐμπειρίας δὲ μετέχει μικρόν.. γίγνεται δὲ ἐκ τῆς μνήμης ἐμπειρία.. αἱ γὰρ πολλαὶ μνῆμαι τοῦ αὐτοῦ πράγματος μιᾶς ἐμπειρίας δύναμιν ἀποτελοῦσιν. Ἴδ. καὶ ἀνωτ. σελ. 129 καὶ σημ. 1. σελ. 153 καὶ σημ. 1. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Romanes, ἔνθ ἀν. σελ. 248.

3) Ἰδίᾳ περὶ ἑκάστου τούτων εὐθὺς κατωτέρω.

4) *Γαληνός*, περὶ ψυχῆς παθῶν, ἔκδ. Kühn, τόμ. 5, σελ. 39. ἔκδ. Marquardt, τόμ. 1, σελ. 30, κεφ. 7: Τὰ μὲν φιλοψευδῆ, τὰ δὲ φιλαλήθη τῶν παιδίων ὁρῶμεν ὄντα φύσει, καὶ πολλὰς ἄλλας ἔχοντα διαφορὰς ἠθῶν.. ἔνια μὲν γὰρ ἐκ τοῦ ῥᾴστου δέγεται τὴν ἀγαθὴν παιδείαν, ἔνια δ' οὐδὲν ὀνίναται.. Παραπλησία γάρ πως ἐστιν ἡ τῶν παιδίων διαγωγὴ τῇ τῶν φυτῶν ἐπιμελείᾳ. κατ' ἐκείνην γοῦν ὁ γεωργὸς οὐκ ἄν ποτε δυνήσεται ποιῆσαι τὸν βάτον ἐκφέρειν βότρυν, οὐ γὰρ ἐπιδέχεται ἡ φύσις αὐτοῦ τῆς ἀρχῆς τοιαύτην τελείωσιν. — *Ἀριστοτέλης*, Πολιτικὰ 1316, α, 8: Ὡς τῆς φύσεώς ποτε φυούσης φαύλους καὶ κρείττους τῆς παιδείας, τοῦτο μὲν οὖν αὐτὸ λέγει (ὁ Σωκράτης) οὐ κακῶς· ἐνδέχεται γὰρ εἶναί τινας οὓς παιδευθῆναι καὶ γενέσθαι σπουδαίους ἄνδρας ἀδύνατον. — *Γαληνός*, ἔνθ. ἀνωτ. κεφ. 7. Οὕτω δὲ καὶ ἦν τῶν ζώων ἵππον μὲν παιδεύσῃς, εἰς πολλὰ χρήσιμον ἕξεις, ἄρκτος δέ, κἂν ἡμέρα ποτὲ δόξῃ, μόνιμον οὐκ ἔχει τὴν ἕξιν, ἔχιδνα δὲ καὶ σκορπίος οὐδ' ἄχρι τοῦ δοκεῖν ἡμεροῦσθαι προέρχεται.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λει 1), οὕτω καὶ παρ' αὐτοῖς, καὶ δὴ καὶ μεταξὺ τῶν ὁμοφύλων καὶ ὁμογενῶν ἀκόμη, ἥ τε νοητικὴ δύναμις ἑκάστου τῶν ἀτόμων εἶνε διάφορος τῆς τῶν ἄλλων καὶ τὸ συμφυὲς ἦθος ἑκάστῳ ἰδιόρρυθμον, καὶ κατὰ πάσας τὰς βιωτικὰς περιπετείας ἑτερορρύθμως ἐκφαινόμενον 2).

---

1) *Γαληνός*, περὶ ψυχῆς παθῶν, ἔκδ. Kühn, τόμ. 5, σελ. 37. ἔκδ. Marquardt, τόμ. 1, σελ. 28 καὶ ἑξ.: Ὅτι μὲν οὖν αἱ φύσεις ἡμῶν πάμπολυ διαφέρουσι, μαθεῖν ἐναργῶς ἐστιν ἐπὶ τῶν παραφερομένων παιδίων. Ἕνια μὲν γὰρ αὐτῶν ἀεὶ φαιδρά, σκυθρωπὰ δ' ἄλλα θεώμεθα, καὶ τὰ μὲν ἑτοῖμα γελᾶν ἐπὶ πᾶσι, τὰ δὲ κλαίειν ἐπὶ σμικραῖς προφάσεσιν. οὕτω δὲ καὶ τὰ μὲν ἔχει κοινῇ, τὰ δ' ἁρπάζει. καὶ τὰ μὲν θυμοῦται σφοδρῶς ἐπὶ τῶν σμικροτάτων, ὡς δάκνειν τε καὶ λακτίζειν καὶ λίθοις καὶ ξύλοις ἀμύνασθαι τοὺς πέλας, ὅταν ἀδικεῖσθαι δόξῃ, τὰ δ' ἐστὶν ἀνεξίκακα καὶ πραέα, μήτ' ὀργιζόμενα μήτε κλαίοντα πρὶν ἀδικηθῆναί τι μέγα. Ἔτι δὲ πρὸς τοῖς εἰρημένοις ἔστιν ἰδεῖν ἕνια μὲν ἀναίσχυντα τῶν παιδίων, ἕνια δ' αἰδούμενα, καὶ τὰ μὲν μνημονικά, τινὰ δ' ἐπιλήσμονα, καὶ τὰ μὲν φιλόπονα περὶ τὰ διδασκόμενα, τὰ δ' ἀμελῆ καὶ ῥᾴθυμα, καὶ τῶν φιλοπόνων ἕνια μὲν ἐπὶ τῷ ἐπαινεῖσθαι χαίροντα προθύμως, ἕνια δὲ ἐπὶ τῷ καταγιγνώσκεσθαι πρὸς τῶν διδασκάλων αἰδούμενα, τινὰ δὲ καὶ δεδιότα πληγάς. Ἐξ ὧν οὖν ἂν θεῶνται περὶ τὰ παιδία πάντες ἄνθρωποι, τὰ μὲν αἰσχυντηλὰ καλοῦσιν αὐτῶν, τὰ δ' ἀναίσχυντα. κατὰ δὲ τὸν αὐτὸν λόγον ἤτοι φιλότιμα καὶ φιλόκαλα ἢ ἀφιλότιμα καὶ ἀφιλόκαλα, καὶ μὴν δειλὰ καὶ καταφρονητικὰ πληγῶν, ἑτέρας τε τοιαύτας ἐπ' αὐτῶν τίθενται προσηγορίας κατὰ τὰς φύσεις αὐτῶν. Οὕτως οὖν καὶ τὰ μὲν φιλοψευδῆ, τὰ δὲ φιλαλήθη τῶν παιδίων ὁρῶμεν ὄντα φύσει, καὶ πολλὰς ἄλλας ἔχοντα διαφορὰς ἠθῶν.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστ. 608, α, 13: Τὰ ζῶα . . φαίνονται γὰρ ἔχοντά τινα δύναμιν περὶ ἕκαστον τῶν τῆς ψυχῆς παθημάτων φυσικήν, περί τε φρόνησιν καὶ εὐήθειαν . . καὶ τὰς ἄλλας τὰς τοιαύτας ἕξεις. — *Πλούταρχος*, Πότερα κτλ. 963 A: Φύσει πᾶσι (τοῖς ζώοις) ἡ τοῦ φρονεῖν δύναμις, ἄλλοις δ' ἄλλως κατὰ τὸ μᾶλλον καὶ ἧττον παροῦσα τὰς ὁρωμένας διαφορὰς πεποίηκεν. — *Ἀρριανός*, Ἐπικτήτου διατριβ. 3, 1, 23: Ἄνθρωπε, ἐν παντὶ γένει φύεταί τι ἐξαίρετον· ἐν βουσίν, ἐν κυσίν, ἐν μελίσσαις, ἐν ἵπποις. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 610, α, 17: Διαφέρουσι καὶ τῇ ἀνδρίᾳ ἐλέφαντες ἀλλήλοις. — *Αἰλιανός*, ἔ. ἄ. 6, 10: Βόες μέντοι ὑπὸ ζυγὸν ἰέναι μέλλοντες οἱ μὲν μειδιῶσιν, οἱ δὲ ἐπὶ πόδα ἀναχωροῦσιν. — *Ξενοφῶν*, περὶ ἱππ. 3, 3. 9, 1. 8.12.11,1: Ἵππος ἄγαν θυμοειδὴς — βλαξ — θυμοειδὴς — φιλόνεικος — μεγαλόφρων — πολλοὶ χαλεπῶς προσίενται ἃ πρόδηλα αὐτοῖς ἐστιν ὅτι προσιέμενοι ποιεῖν ἀναγκασθήσονται — *Αἰλιανός*, 3, 34: Λέων ἀθυμότερός τε καὶ ἀτολμότερος — ἀνδρειότερος καὶ θυμοειδέστερος. — *Ξενοφῶν*, Κυνηγετικός 6, 25 καὶ *Ἀρριανός*, Κυνηγ. 3, 5. 6. 4, 1. 4. 7, 1. 30, 1. 32, 1: *Κύνες* φιλάνθρωποι — αὐθάδεις — μέσαι — γενναιόταται — πονηρόταται — διάπονοι — ἰταμαὶ — ἀγεννεῖς — πονηραὶ — σκυθρωπαί — οὐ γενναῖαι, χαλεπαί, προσφιλεῖς, κατηφεῖς, ψοφοδεεῖς, καταπλῆγες, θορυβώδεις, ἀλόγιστοι, ἄφρονες, κακαί. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοὶ *Darwin*, *Romanes* κτλ. Ἴδε Romanes, ἔνθ. ἀν. σελ. 196. 203 καὶ 295.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τρέφονται δὲ καὶ παιδεύονται τὰ μὲν παρ' ἀλλήλων, τὰ δὲ καὶ παρὰ τῶν ἀνθρώπων 1).

Καὶ πρὸ τοῦ τοκετοῦ ἔτι οἱ γονεῖς φροντίζουσι νὰ παρασκευάσωσι τὴν κοίτην τῶν τεχθησομένων ὅσον ἐνδέχεται πρὸς τὴν πρώτην σωματικὴν αὐτῶν κατάστασιν ἐπιτηδειοτέραν 2). Μετὰ τὸν τοκετὸν οἱ γονεῖς καθαρίζουσι τὰ νεογνὰ αὐτῶν καὶ ἑαυτούς 3), ὑποθάλπουσι καὶ θερμαίνουσι καὶ κατὰ πάντα τρόπον ἐξασφαλίζουσιν αὐτὰ ἀπὸ τοῦ ψύχους 4), τρέφουσιν αὐτὰ τοὺς ἰδίους αὐτῶν μαστούς, ὅσα τούτων ἔχουσι τοιούτους, ὑπέχοντες τοῖς τεκνίοις αὐτῶν 5), προπαρασκευάζουσι τὸν στόμαχον αὐτῶν διὰ καταλλήλων μέσων πρὸς ὑποδοχὴν τῶν ἑκάστοτε προσφόρων τροφῶν 6), φροντίζουσι περὶ τῆς καθα-

1) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 608, α, 17: Ἔνια δὲ κοινωνεῖ τινος ἅμα καὶ μαθήσεως καὶ διδασκαλίας τὰ μὲν παρ' ἀλλήλων, τὰ δὲ καὶ παρὰ τῶν ἀνθρώπων, ὅσα περ ἀκοῆς μετέχει, μὴ μόνον ὅσα τῶν ψόφων, ἀλλ' ὅσα καὶ τῶν σημείων διαισθάνεται τὰς διαφοράς. — *Πορφύριος*, περὶ ἀποχ. 3, 6: Πολλὰ μὲν παρ' ἀλλήλων μανθάνει ζῶα, πολλὰ δὲ καὶ παρ' ἀνθρώπων καὶ πᾶς μὲν αὐτῷ — τῷ Ἀριστοτέλει — μαρτυρεῖ, πᾶς μὲν πωλοδάμνης, πᾶς δὲ ἱπποκόμος τε καὶ ἱππεὺς καὶ ἡνίοχος, πᾶς δὲ κυνηγέτης τε καὶ ἐλεφαντιστὴς καὶ βουκόλος καὶ οἱ τῶν θηρίων διδάσκαλοι οἵ τε τῶν ὀρνίθων πάντες.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 612, 6, 23: Χελιδὼν συγκαταπλέκει τοῖς κάρφεσι πηλόν . . ἔτι δὲ στιβαδοποιεῖται καθάπερ οἱ ἄνθρωποι . . περί τε τὴν τροφὴν τῶν τέκνων πονεῖται ἀμφότερα. — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 24: Ἡ χελιδὼν ἁπαλά τε ὄντα τὰ νεόττια καὶ τῶν πτίλων γυμνὰ οἰδε καλῶς ἐπὶ ψιλῶν καρφῶν εἰ ἀναπαύοιτο ὅτι κολασθήσεται ἀλγοῦντα. οὐκοῦν ἐπὶ τὰ νῶτα τῶν προβάτων ἰζάνει, καὶ ἀποσπᾷ τοῦ μαλλίου, καὶ ἐντεῦθεν τοῖς ἑαυτῆς βρέφοις τὸ λέχος μαλακὸν ἔστρωσεν. — *αὐτόθ.* 3, 16: Ὅταν μέλλωσι πέρδικες πρὸς τῷ τίκτειν εἶναι, παρασκευάζουσιν αὐτοῖς ἔκ τινων καρφῶν τὴν καλουμένην ἅλω. πλέγμα δ' ἐστὶ κοῖλον καὶ ἐγκαθίσαι μάλα ἐπιτήδειον. καὶ κόνιν ἐγχέαντες, καὶ μαλακήν τινα οἱονεὶ κοίτην ἐργασάμενοι, καὶ ἐνδύντες . . ἀποτίκτουσιν.

3) *Πορφύριος*, ἔνθ. ἀν. 3, 10: Γεννῆσαν ἕκαστον ἐκκαθαίρει τὸ γεννώμενον καὶ ἑαυτό.

4) *Αἰλιανός*, ἔνθ. ἀν. 3, 16: Πέρδικες νεοττεύοντες τοὺς νεοττοὺς ὄντας ἁπαλοὺς ὑποθάλπουσι καὶ τοῖς ἑαυτῶν πτεροῖς ἀλεαίνουσιν, οἱονεὶ σπαργάνοις τοῖς πτίλοις περιαμπέχοντες· οὐ λούουσι δὲ αὐτούς, ἀλλὰ κονίοντες ἐργάζονται φαιδροτέρους. — *αὐτόθ.* 6, 3: Ἡ ἄρκτος . . χειμῶνος μὲν ἀποτίκτει, καὶ φωλεύει τεκοῦσα, καὶ ὑφορωμένη τοὺς κρυμοὺς τὴν ἐπιδημίαν τοῦ ἦρος προσμένει, οὐδ' ἂν πρὶν ἢ πληρωθῆναι τρεῖς μῆνας ἐξάγοι ποτὲ τὰ βρέφη.

5) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 567, α, 1: Ἡ φώκη . . μαστοὺς ἔχει δύο καὶ θηλάζεται ὑπὸ τῶν τέκνων καθάπερ τὰ τετράποδα.

6) *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστ. 613, α, 2: Περιστερὰ . . γενομένων τῶν νεοττῶν τῆς ἁλμυριζούσης μάλιστα γῆς διαμασησάμενος (ὁ ἄρρην) εἰσπτύει τοῖς νεοττοῖς διαγνὺς τὸ στόμα, προπαρασκευάζων πρὸς τὴν τροφήν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ριότητος τῆς κοίτης αὐτῶν 1), ἐπιμελοῦνται τῆς εὐεξίας τοῦ σώματος καὶ τῆς ἀρτιότητος τῶν μελῶν αὐτῶν 2), καὶ ἐν γένει κατὰ πολλοὺς καὶ διαφόρους τρόπους μετὰ τρυφερωτάτης ἀείποτε ἀγάπης καὶ μετὰ βαθυτάτης ψυχικῆς γλυκυθυμίας περιέπουσιν αὐτά 3).

Παιδεύουσι δὲ αὐτὰ οἱ γονεῖς ἀποβλέποντες, συνῳδὰ ταῖς ὑγιεστάταις παιδαγωγικαῖς ἀρχαῖς 4), οὐ μόνον εἰς τὰ ἀναγκαῖα καὶ τὰ χρήσιμα, ἀλλὰ καὶ εἰς τὰ καλά 5). Διδάσκουσιν αὐτὰ νὰ εἶνε καθάρια καὶ νὰ χαίρωσιν ἐπὶ τοῖς καλοῖς 6). Διδάσκουσιν αὐτὰ τά τε

1) *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστ. 612, 6, 29: Ἡ χελιδὼν τὴν κόπρον τὸ μὲν πρῶτον αὐταὶ ἐκβάλλουσιν ἐκ τῆς νεοττιᾶς κτλ.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 3, 16: Οἱ πέρδικες . . τοὺς νεοττοὺς . . οὐ λούουσιν, ἀλλὰ κονίοντες ἐργάζονται αὐτοὺς φαιδροτέρους. — *αὐτόθ.* 6, 3: Ἡ ἄρκτος τίκτει σάρκα ἄσημον, εἶτα τῇ γλώττῃ διαρθροῖ αὐτὴν καὶ οἱονεὶ διαπλάττει. — *αὐτόθ.* 3, 25: Χελιδὼν . . βραδέως δ' ἐκβλέπει τὰ ταύτης βρέφη, ὡς καὶ τὰ τῶν κυνῶν σκυλάκια· πόαν δὲ κομίζει καὶ προσάγει, τὰ δὲ ὑπαναβλέπει.

3) *Πλούταρχος*, περὶ τῆς εἰς τὰ ἔγγονα κτλ. 494 F: Τὰς δ' ἀλεκτορίδας ἐν τοῖς ὄμμασι καθ' ἡμέραν ἔχομεν, ὃν τρόπον τὰ νεόττια περιέπουσι, τοῖς μὲν ἐνδῦναι χαλῶσαι τὰς πτέρυγας, τὰ δ' ἐπιβαίνοντα τῶν νώτων καὶ προσέρποντα πανταχόθεν ἀναδεχόμεναι μετὰ τοῦ γεγηθός τι καὶ προφιλὲς ἐπιφθέγγεσθαι.

4) *Ἀριστοτέλης*, Πολιτικὰ 1333, 6, 1: Καὶ τὰ ἀναγκαῖα καὶ τὰ χρήσιμα (δεῖ) πράττειν, τὰ δὲ καλὰ δεῖ μᾶλλον. ὥστε πρὸς τούτους τοὺς σκοποὺς καὶ παῖδας ἔτι ὄντας παιδευτέον καὶ τὰς ἄλλας ἡλικίας, ὅσαι δέονται παιδείας. — *αὐτόθ.* 1338, 6, 2: Τὸ δὲ ζητεῖν πανταχοῦ τὸ χρήσιμον ἥκιστα ἁρμόττει τοῖς μεγαλοψύχοις καὶ τοῖς ἐλευθέροις. — *αὐτόθ.* 1338, α, 30: Ὅτι μὲν τοίνυν ἔστι παιδεία τις ἣν οὐχ ὡς χρησίμην παιδευτέον τοὺς υἱοὺς οὐδ' ὡς ἀναγκαίαν ἀλλ' ὡς ἐλευθέριον καὶ καλήν, φανερόν ἐστιν.

5) *Πορφύριος*, περὶ ἀποχῆς 3, 6: Εἰ μέντοι πιστεύειν δεῖ Ἀριστοτέλει καὶ διδάσκοντα ὤφθη οὐ μόνον τῶν ἄλλων τι ποιεῖν τὰ τέκνα τὰ ζῶα, ἀλλὰ καὶ φθέγγεσθαι, ὡς ἀηδὼν τὸν νεοττὸν ᾄδειν. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοὶ *Dawy, Darwin, Leroy, Romanes* κτλ. ἴδ. Romanes, ἔνθ. ἀν. σελ. 246: «*Die Eltern jeder neuen Generation unterweisen absichtlich ihre Jungen in der Verrichtung quasi-instinktiver Handlungen.* Ἔτι ἴδ. αὐτόθ. καὶ σελ. 247. 248. 270 καὶ 319 μετὰ τῶν ὑποσελιδ. σημειώσεων.

6) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 612, 6, 29: Αἱ χελιδόνες . . τὴν κόπρον τὸ μὲν πρῶτον αὐταὶ ἐκβάλλουσιν, ὅταν δὲ αὐξηθῶσι, μεταστρέφοντας ἔξω διδάσκουσι τοὺς νεοττοὺς προΐεσθαι. — *Πλούταρχος*, Πότερα κτλ. 962 F: Αἱ δὲ χελιδόνες ἔξω στρεφομένους διδάσκουσι τοὺς νεοττοὺς ἀφιέναι τὸ περίττωμα. — *Πλούταρχος*, Πότερα κτλ. 973 A B: Ἤδη πειστέον Ἀριστοτέλει λέγοντι . . ὀφθῆναι ἀηδόνα νεοσσὸν ᾄδειν προδιδάσκουσαν. μαρτυρεῖ δὲ αὐτῷ τὸ φαυλότερον ᾄδειν ὅσαις συμβέβηκε μικραῖς ἁλούσαις ἀποτρόφοις τῶν μητέρων γενέσθαι· διδάσκονται γὰρ αἱ συντρεφόμεναι καὶ μανθάνουσιν οὐ διὰ μισθὸν οὐδὲ πρὸς δόξαν ἀλλὰ τῷ χαίρειν διαμελιζόμεναι καὶ τὸ καλὸν ἀγαπᾶν μᾶλλον ἢ τὸ χρειῶδες. Τὰ αὐτὰ καὶ ἐν τῷ περὶ τοῦ τὰ ἄλογα κτλ. 992 B. *Αἰλιανός*, 3, 40. *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστ. 536, 6, 17. Ἴδ. καὶ ἀνωτ. σελ. 55, σημ. 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χρειώδη καὶ τὰ ἀναγκαῖα εἰς τὸν βίον 1). Ἐθίζουσιν αὐτὰ εἰς τὴν ἀπόκτησιν τῶν εἰς ἕκαστον τῶν γενῶν ἰδιορρύθμων ἐκείνων δεξιοτήτων, δι' ὧν ἀπρόσκοπτος καὶ εὐχάριστος ἡ ἐν τῷ κόσμῳ τούτῳ διαβίωσις αὐτῶν καθίσταται 2). Ἐθίζουσιν αὐτὰ εἰς τὴν ἀπόκτησιν τῶν

1) *Πλούταρχος*, Πότερα κτλ. 982 **A**: Τοῦ δὲ γαλεοῦ τὸ φιλόστοργον οὐδενὶ τῶν ἡμερωτάτων ζώων ὑπερβολὴν γλυκυθυμίας πρὸς τὰ ἔκγονα καὶ χρηστότητος ἀπολέλοιπε. τίκτουσι μὲν . . ὅταν δὲ μείζονα γένηται, μεθιᾶσι θύραζε καὶ διδάσκουσι νήχεσθαι πλησίον.— *Αἰλιανός*, ἐνθ. ἀν. 3; 25: Ἡ μήτηρ ἡ χελιδὼν τὰ ἑαυτῆς νεόττια . . ἐκπετήσιμα ὄντα πρόειτι τῆς καλιᾶς ἐπὶ τὴν νομήν.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 620, α, 1: Ὁ δ' ἀλιάετος ὀξυωπέστατος μέν ἐστιν καὶ τὰ τέκνα ἀναγκάζει ψιλὰ ὄντα πρὸς τὸν ἥλιον βλέπειν. — *Πλούταρχος*, Πότερα κτλ. 982 D: Καὶ μὴν αἱ φῶκαι τίκτουσι μὲν ἐν τῷ ξηρῷ, κατὰ μικρὸν δὲ προάγουσαι τὰ σκυμνία γεύουσι τῆς θαλάττης· καὶ ταχὺ πάλιν ἐξάγουσι καὶ τοῦτο πολλάκις ποιοῦσιν ἐν μέρει, μέχρις ἂν οὕτως ἐθιζόμενα θαρρήσῃ καὶ στέρξῃ τὴν ἅλαλον δίαιταν. (τὸ αὐτὸ καὶ ὁ *Ἀριστοτέλης*, ἔνθ. ἀν. 566, 6, 28 καὶ ὁ *Αἰλιανός* 9, 9).— *Ἀριστοτέλης*, ἔνθ. ἀν. 536, 6, 14: Καὶ τῶν μικρῶν ὀρνιθίων ἔνια οὐ τὴν αὐτὴν ἀφίησι φωνὴν ἐν τῷ ᾄδειν τοῖς γεννήσασιν, ἂν ἀπότροφα γένωνται καὶ ἄλλων ἀκούσωσιν ὀρνίθων ᾀδόντων. Ἥδη δὲ ὤπται καὶ ἀηδὼν νεοττὸν προδιδάσκουσα. — *Πλούταρχος*, Πότερα κτλ. 973 **A**: Ἥδη πειστέον Ἀριστοτέλει λέγοντι . . ὀφθῆναι ἀηδόνα νεοσσὸν προδιδάσκουσαν· μαρτυρεῖ δὲ αὐτῷ τὸ φαυλότερον ᾄδειν ὅσαις συμβέβηκε μικραῖς ἁλούσαις ἀποτρόφοις τῶν μητέρων γενέσθαι. (τὸ αὐτὸ καὶ ὁ *Πορφύριος*, 3, 6. καὶ ὁ *Αἰλιανός*, 3, 40).— *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ. 992 B: Καὶ τοῖς πελαργιδεῦσιν ὁρᾷς ἐπὶ τῶν τεγῶν ὡς οἱ τέλειοι παρόντες ἀναπειρωμένοις ὑφηγοῦνται τὴν πτῆσιν. — Τὰ αὐτὰ οἱονεὶ μεταφράζοντες οἱ καθ' ἡμᾶς σοφοὶ ἐπαναλαμβάνουσι νῦν: Οὕτως ὁ *Darwin* ἐπαναλαμβάνει ὅ,τι περὶ τῆς διδασκαλίας τῶν φωκῶν ὁ Πλούταρχος λέγει (ἴδ. Romanes, ἔ. ἀ. σελ. 230): «Darwin berichtet dass die Paradies-Ente, welche gewöhnlich den Fluss entlang am Boden nistet, wenn sie gestört wird, ein neues Nest auf dem Gipfel hoher Bäume baut und dann später ihre Jungen auf dem Rücken herab zum Wasser bringt. Derselbe Fall wurde auch bei der wilden Ente von Guiana beobachtet». Ὁ *Romanes* (ἔνθ. ἀν. σελ. 247) ἐπαναλαμβάνει σχεδὸν κατὰ λέξιν ὅ,τι περὶ τῆς διδασκαλίας τῆς ἀηδόνος λέγουσιν ὁ Ἀριστοτέλης, ὁ Πλούταρχος, ὁ Πορφύριος καὶ ὁ Αἰλιανὸς καὶ ὅ,τι περὶ τῆς διδασκαλίας τῶν πελαργῶν ὁ Πλούταρχος, ὡς ἑπεται: «Auch der Gesang der Vögel ist sicher instinktiv; indessen wird er durch Nachahmung und Übung vervollkommnet, wobei die Jungen auf die Alten hören und von ihrem Unterricht profitiren; es geht dies schon aus den oben erwähnten Beispielen hervor, bei denen Vögel, die niemals ihresgleichen singen gehört, dies nur «versuchsweise und unvollkommen» thun. καὶ μικρὸν ἀνωτέρω περὶ τῆς διδασκαλίας τῆς πτήσεως (σελ. 246 καὶ 247): So z. B. suchen alte Falken ihre Jungen geradezu in der Ausübung ihrer instinktiven Fähigkeiten zu vervollkommnen . . Aenliches kann man beim Unterricht im Fliegen beobachten . . muss die Lehre doch von einigem Nutzen sein, da sie bei manchen Arten emsig betrieben wird. Ἴδ. αὐτόθ. περὶ τοῦ αὐτοῦ ἀντικειμένου καὶ σελ. 177. 204 καὶ τὴν παρατήρησιν τοῦ Dawy αὐτόθ. ἐν τῇ ὑποσελ. σημ. τῆς σελ. 247.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ξεων ἐκείνων, δι' ὧν ἡ μετὰ τῶν ὁμοφύλων συμβίωσις καθίσταται εἰρηνικὴ καὶ ἀδιατάρακτος 1). Ἐθίζουσιν αὐτὰ εἰς τὴν ἀπόκτησιν τῶν ἀναγκαίων γνώσεων καὶ τεχνασμάτων τῶν συντελούντων εἰς τὴν ἀπὸ τῶν ἐπιβούλων σωτηρίαν αὐτῶν 2).

Οἱ δὲ τρόποι οἱ παιδευτικοί, ὧν χρῆσιν ποιοῦνται οἱ γονεῖς, εἶνε ἁπλούστατοι καὶ φυσικώτατοι, ὅλως ἀπηλλαγμένοι τῆς παρὰ τοῖς ἀνθρώποις ποικιλίας καὶ περιτεχνήσεως, ἀσφαλέστερον ἑπομένως πρὸς τὸν ἐπιδιωκόμενον σκοπὸν ἄγοντες. Ἐὰν τουτέστι τὰ τέκνα προθύμως ὑπακούουσιν εἰς τοὺς γονεῖς αὐτῶν, καλῶς· ἄλλως ἐξαναγκάζονται βίᾳ πρὸς τοῦτο. Ἡ πρὸς τοὺς γονεῖς ἀπείθεια κατ' οὐδένα τρόπον συγχωρεῖται 3).

Πλὴν δὲ τῆς τοιαύτης παρὰ τῶν γονέων διδασκαλίας καὶ παιδείας διδάσκονται τὰ ζῶα καὶ ἐκ τῆς μετ' ἀλλήλων ἀναστροφῆς καὶ ἐπικοινωνίας καὶ συνδιαβιώσεως 4), ἐκ τῶν ποικίλων βιωτικῶν συμπτω-

1) *Ἀριστοτέλης*, περὶ τὰ ζ. ἱστ. 612, 6, 27: Περί τε τὴν τροφὴν τῶν τέκνων ἐκπονεῖται (ἡ χελιδών) . . δίδωσι δὲ ἑκατέρῳ διατηροῦσά τινι συνηθείᾳ τὸ προειληφός, ὅπως μὴ δῖς λάβῃ. — *Αἰλιανός*, ἔνθ. ἀν. 3, 5: Δικαίους ἡ μήτηρ ἡ χελιδὼν τοὺς ἑαυτῆς νεοττοὺς ἐργάζεται, τὸ ἰσότιμον αὐτοῖς διὰ τῆς τροφῆς τῆς ἴσης φυλάττουσα κτλ.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 611, α, 15: Ἡ ἔλαφος . . δοκεῖ εἶνε φρόνιμον τῷ τε τίκτειν παρὰ τὰς ὁδοὺς . . ἔτι δὲ τὰ τέκνα ἄγει ἐπὶ τοὺς σταθμούς, ἐθίζουσα οὗ δεῖ ποιεῖσθαι τὰς ἀποφυγάς. — *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ. 992 B: Αἱ πέρδικες ἐν τῷ προφεύγειν τοὺς νεοττοὺς ἐθίζουσιν ἀποκρύπτεσθαι καὶ προΐσχεσθαι βῶλον ἀνθ' ἑαυτῶν τοῖς ποσὶν ὑπτίους ἀναπεσόντας. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. *Oppel*, ἔνθ. ἀν. σελ. 14: «Dass bei den Thieren die Alten ihre Jungen erziehen, ist ganz zweifellos».

3) *Αἰλιανός*, ἔνθ. ἀν. 3, 16: Ἡ μήτηρ τὰ βρέφη καλεῖ· οἱ δὲ αὐτῇ (προσέρχονται) γνωρίσαντες τὸ φώνημα. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 620, α, 1: Ὁ δὲ ἀλιάετος ὀξυωπέστατος μέν ἐστι, καὶ τὰ τέκνα ἀναγκάζει ἔτι ψιλὰ ὄντα πρὸς τὸν ἥλιον βλέπειν, καὶ τὸν μὴ βουλόμενον τύπτει καὶ στρέφει. Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. *Oppel*, ἔνθ. ἀν. σελ. 14: «Eine Art Erziehung (bei den Thieren) allerdings stattfindet . . Die Bärin wenn ihr Sohn . . seine Schuldigkeit nicht thut . . ohrfeigt sie ihn mit ihrem Tatzen rechts und lings . . oder folgt er ihrem Rufe nicht, prügelt sie ihn so kräftig durch, dass ihn das Aufstehen schwer fällt».

4) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 536, 6, 14: Καὶ τῶν μικρῶν ὀρνιθίων ἔνια οὐ τὴν αὐτὴν ἀφίησι φωνὴν ἐν τῷ ᾄδειν τοῖς γεννήσασιν, ἂν ἀπότροφα γένωνται καὶ ἄλλων ἀκούσωσιν ὀρνίθων ᾀδόντων. — Τὰ αὐτὰ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις καὶ ὁ *Fisch* (Ἴδ. Romanes σελ. 242): «*Wilde Vögel Amerikas ihren Gesang gegenseitig nachahmen*» καὶ ὁ *Darwin* (αὐτόθ. σελ. 241. 244): «*Die Hunde scheinen die beste Art des Angriffs auf wildes Vieh von einander zu lernen . . eine Katze von einem Hunde den medicinischen Gebrauch des Krautes Agrostis canina lernte*» κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μάτων καὶ παθημάτων εἴτε αὐτῶν τῶν ἰδίων εἴτε καὶ τῶν ἐν ἐπικοινωνίᾳ μετ' αὐτῶν διατελούντων ὁμοφύλων, καὶ ἐκ τῆς ἰδίας αὐτῶν πείρας 1).

Καὶ οὕτω μὲν παίδεύονται παρ' ἀλλήλων καὶ ἐκ τῶν ἰδίων παθημάτων καὶ ἐκ τῶν παθημάτων τῶν ἄλλων καὶ ἐκ τῆς ἰδίας πείρας τὰ ζῶα.

Παρὰ δὲ τῶν ἀνθρώπων διδάσκονται καὶ μανθάνουσι τινὰ μὲν τούτων πράγματά τινα χρήσιμα εἰς τὸν ἴδιον αὐτῶν βίον 2), ἄλλα πράγματά τινα χρήσιμα πρὸς ἐπικουρίαν εἰς τὰς ἔν τε τῷ πολέμῳ καὶ τῇ εἰρήνῃ παντοίας τοῦ ἀνθρώπου ἀνάγκας 3), ἄλλα πρὸς τέρψιν τῶν ἀν-

1) *Πλούταρχος*, Πότερα κτλ. 971 B: Ὁ γνωστὸς μῦθος τοῦ ὄνου τοῦ ἅλας βαστάζοντος (Αἰσώπ. μῦθ. ἐκδ. Halm, ἀρ. 322), ἀποδιδόμενος εἰς τὸν Θαλῆν, οὗ ἡ ἀφήγησις παρὰ Πλουτάρχῳ ἀποτελευτᾷ οὕτως: «ἀκούσας οὖν ὁ Θαλῆς ἐκέλευσεν ἀντὶ τῶν ἁλῶν ἐρίων τὰ ἄγγεῖα καὶ σπόγγων ἐμπλήσαντας καὶ ἀναθέντας, ἐλαύνειν τὸν ἡμίονον. ποιήσας οὖν τὸ εἰωθὸς καὶ ἀναπλήσας ὕδατος τὰ φορτία συνῆκεν ἁλυσιτελῆ σοφιζόμενος ἑαυτῷ, καὶ τὸ λοιπὸν οὕτω προσέχων καὶ φυλαττόμενος διέβαινε τὸν ποταμόν, ὥστε μηδ' ἄκοντος αὐτοῦ τὸ φορτίον παραψαῦσαι τὸ ὑγρόν. (τὸ αὐτὸ καὶ ὁ Αἰλιαν. 7, 42).— *Πολύβιος* 15, 21, 6: Ἕνια τῶν ἀλόγων ζώων . . οὐ μόνον ἐὰν αὐτά που δυσχρηστήσῃ περὶ τὰ δελέατα καὶ τὰς ἄρκυς, ἀλλὰ κἂν ἕτερον ἴδῃ κινδυνεῦον, οὐκ ἂν ἔτι ῥᾳδίως αὐτὰ προσαγάγοις πρὸς οὐδὲν τῶν τοιούτων, ἀλλὰ καὶ τὸν τόπον ὑποπτεύει καὶ παντὶ τῷ φαινομένῳ διαπιστεῖ. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 1, 21, ἔκδ. Potter, σελ. 405: Φασὶ δὲ καὶ ἄλλοι τινές, ὡς εἴ τις ἰχθὺς ἀναπτώμενος, τῆς μηρίνθου ἀπορραγείσης ἀποδράσει, οὐκ ἔτ' ἂν ἐν τῷ αὐτῷ τόπῳ τοῦ αὐτοῦ εἴδους ἰχθὺς εὐθὺς ἐκείνης εὑρεθήσεται τῆς ἡμέρας.— *Μάξιμος ὁ Τύριος*, λόγ. 12, 3: Αἴσθησις καὶ πεῖρα οὐκ ἀνθρώπου ἴδιον· ἀλλὰ καὶ τὰ θηρία αἰσθάνεται, καὶ ἐκμανθάνει τι ὑπὸ τῆς πείρας. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοὶ *Huber*, *Darwin*, *Romanes* κτλ. Ἰδ. Romanes, ἔνθ. ἀν. σελ. 222. 248. 241 ἐν ἀρχῇ καὶ τῆς σελίδ. 155 τὴν ὑποσελίδ. σημείωσιν.

2) *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστορ. 610, 6, 31: Διδάσκουσι δὲ οἱ ποιμένες τὰ πρόβατα συνθεῖν ὅταν ψοφήσῃ· ἐὰν γὰρ βροντήσαντος ὑπολειφθῇ τις καὶ μὴ συνδράμῃ ἐκτιτρώσκει, ἐὰν τύχῃ κύουσα· διὸ ἐὰν ψοφῇ, ἐν τῇ οἰκίᾳ συνθέουσι διὰ τὸ ἔθος.

3) *Ξενοφῶν*, περὶ ἱππικῆς 2, 3: Ὅπως μέντοι πρᾶος καὶ χειροήθης καὶ φιλάνθρωπος ὁ πῶλος ἐκδιδῶται τῷ πωλοδάμνῃ ἐπιμελητέον. — *αὐτόθ.* 3, 6 καὶ ἑξ: Ἵππος δὲ ἀπειθὴς οὐ μόνον ἄχρηστος ἀλλὰ πολλάκις καὶ ὅσα περ προδότης διαπράττεται. ἐπεὶ δὲ πολεμηστήριον ἵππον ὑπεθέμεθα ὠνεῖσθαι, ληπτέον πεῖραν ἁπάντων ὅσων περ καὶ ὁ πόλεμος πεῖραν λαμβάνει. ἔστι δὲ ταῦτα, τάφρους διαπηδᾶν, τειχία ὑπερβαίνειν, ἐπ' ὄχθους ἀνορούειν, ἀπ' ὄχθων καθάλλεσθαι· καὶ πρὸς ἅναντες δὲ καὶ κατὰ πρανοῦς καὶ πλάγια ἐλαύνοντα πεῖραν λαμβάνειν . . μαθόντες δὲ καὶ ἐθισθέντες καὶ μελετήσαντες καλῶς ἂν ταῦτα πάντα ποιοῖεν, εἴ γε ἄλλως ὑγιεῖς καὶ μὴ κακοὶ εἶεν κτλ. — *Αἰλιανός*, ἔνθ. ἀν. 16, 25: Οἱ Πέρσαι ἵνα μὴ ὦσιν αὐτοῖς οἱ ἵπποι καταπλῆγες, ψόφοις αὐτοῖς καὶ ἤχοις χαλκοῖς προσεθίζουσι κτλ.—*αὐτόθ.* 6, 10: Κύνες δὲ ἄρα καὶ τὰ οἴκοι ὑπηρετεῖν τοῖς ἐκπαιδεύσασιν αὐτοὺς ἱκανοὶ καὶ ἀπόχρη πένητι δοῦλον κύνα ἔχειν. — *Ὅμηρος*, Ἰλ. Κ 183: Ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσωσιν ἐν αὐλῇ | θηρὸς ἀκούσαντες κρατερόφρονος, ὅς τε καθ' ὕλην | ἔρχηται δι' ὄρεσφι· πολὺς δ' ὁρυμαγδὸς ἐπ' αὐτῷ | ἀνδρῶν ἠδὲ κυνῶν, ἀπό τε σφίσιν ὕπνος ὄλωλεν· | ὥς τῶν κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θρώπων ποικιλώτατά τινα καὶ συνθετώτατα καὶ τοῖς ἀνθρώποις αὐτοῖς δυσέφικτα τεχνητεύματα, μεγίστην τὴν εὐφυίαν αὐτῶν καὶ ἔξοχον τὴν εὐμάθειαν καὶ ἀνυπέρβλητον τὴν εὐστροφίαν καὶ δεξιότητα ἐλέγχοντα, ἀμέριστον δὲ τὴν συμπάθειαν καὶ ἀπροκάλυπτον τὸν θαυμασμὸν καὶ τὴν κατάπληξιν τῶν ἀνθρώπων ἐξεγείροντα 1), καὶ ἄλλα διδάσκονται

1) *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 3, 15 : Καὶ τέχνας ἀναλαμβάνει καὶ ταύτας ἀνθρωπίνας, ὀρχεῖσθαι μανθάνοντα καὶ ἡνιοχεῖν, μονομαχεῖν τε καὶ καλοβατεῖν, ᾠδὴ δὲ καὶ γράφειν καὶ ἀναγινώσκειν αὐλεῖν τε καὶ κιθαρίζειν καὶ τοξεύειν καὶ ἱππεύειν. — *Πλούταρχος*, περὶ τοῦ τὰ ἄλογα κτλ. 995 A : Ὅσα γοῦν ἄνθρωποι τρυφῶντες καὶ παίζοντες εἰς τὸ μανθάνειν καὶ μελετᾶν ἄγουσι, τούτων ἡ διάνοια καὶ παρὰ φύσιν τοῦ σώματος καὶ περιουσίᾳ συνέσεως ἀναλαμβάνει τὰς μαθήσεις . . τέχνας μανθάνομεν κτλ. — Πότερα τῶν ζώων κτλ. 963 C : Μυρία μὲν εὐμαθείας μυρία δ' εὐφυΐας παραδείγματα θηρίων, ὧν ἅμαις καὶ σκάφαις ἡμῖν ἐκ τῶν βασιλικῶν ἁρύσασθαι θεάτρων ἡ καλὴ Ῥώμη παρέσχηκε — *αὐτόθ.* 974 A : Γελοῖοι δ' ἴσως ἐσμὲν ἐπὶ τῷ μανθάνειν τὰ ζῶα σεμνύνοντες, ὧν ὁ Δημόκριτος ἀποφαίνει μαθητὰς ἐν τοῖς μεγίστοις γεγονότας ἡμᾶς. — *αὐτόθ.* 973 E καὶ ἑξ : Πλὴν ἔν γε τοι μάθημα κυνὸς οὐ δοκῶ μοι παρήσειν, γενόμενος ἐν Ῥώμῃ θεατής. παρὼν γὰρ ὁ κύων μίμῳ πλοκὴν ἔχοντι δραματικὴν πολυπρόσωπον ἄλλας τε μιμήσεις ἀποδίδου τοῖς ὑποκειμένοις πάθεσι καὶ πράγμασι προσφόρους καὶ φαρμάκου . . ἔπειτα θαυμασάντων, ἐξαναστὰς ἐβάδιζε πρὸς ὃν ἔδει . . ὥστε πάντας ἀνθρώπους καὶ Καίσαρα . . συμπαθεῖς γενέσθαι. — *αὐτόθ.* 968 C : Οἱ μὲν οὖν ἄλλοι θαυμάζουσι τοῦ ἐλέφαντος ὅσα μανθάνων καὶ διδασκόμενος ἐν θεάτροις ἐπιδείκνυται σχημάτων εἴδη καὶ μεταβολάς, ὧν οὐδ' ἀνθρωπίναις μελέταις τὸ ποικίλον καὶ περιττὸν ἐν μνήμῃ καὶ καθέξει γενέσθαι πάνυ ῥᾴδιόν ἐστιν· ἐγὼ δὲ μᾶλλον κτλ. — Περὶ τοῦ τὰ ἄλογα κτλ. 992 B : Ἵπποι δὲ καὶ βόες ἐν θεάτροις κατακλίσεις καὶ χορείας καὶ στάσεις παραβόλους καὶ κινήσεις οὐδ' ἀνθρώποις πάνυ ῥᾳδίας ἀκριβοῦσιν ἐκδιδασκόμενοι καὶ μνημονεύοντες εὐμαθείας ἐπίδειξιν εἰς ἄλλο οὐδὲν οὐδαμῶς χρήσιμον ἔχουσιν. — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 11 (περὶ ἐλεφάντων): Τὸ δὲ νῦν ἔχον ἔοικε ἐρεῖν περί τε εὐμουσίας αὐτῶν καὶ εὐπειθείας καὶ τῆς ἐς τὰ μαθήματα εὐκολίας, χαλεπὰ ὅμως ὄντα καὶ ἀνθρώπῳ τυχεῖν, μήτι γοῦν τοσούτῳ θηρίῳ καὶ οὕτω τέως ἀγριωτάτῳ συγγενέσθαι . . ζῶον δὲ ἄναρθρον συνιέναι καὶ ῥυθμοῦ καὶ μέλους καὶ φυλάττειν σχῆμα καὶ ἐμμέλειον μὴ παρατρέπειν καὶ ἀποπληροῦν τῶν διδαχθέντων τὴν ἀπαίτησιν, φύσεως δῶρα ταῦτα ἅμα καὶ ἰδιότης καθ' ἕκαστον ἐκπληκτική· τὰ δὲ ἐπὶ τούτοις καὶ ἐκμῆναι τὸν θεατὴν ἱκανὰ κτλ. — Ταῦτα γενικῶς περὶ τῶν τεχνητευμάτων, ἅτινα διδάσκονται παρὰ τῶν ἀνθρώπων καὶ μανθάνουσιν τὰ διάφορα ζῶα. Εἰδικῶς δὲ περὶ τῶν τεχνητευμάτων τῶν *βοῶν* ἴδ. Πλούταρχον, περὶ τοῦ τὰ ἄλογα κτλ. 992 B. — περὶ τῶν τεχνητευμάτων τῶν *πιθήκων* Αἰλιανόν 5, 26. 17, 25. — περὶ τῶν τεχνητευμάτων τῶν *κυνοκεφάλων* Αἰλιανόν 6, 10. — περὶ τῶν τεχνητευμάτων τῶν *κυνῶν* Πλούταρχον περὶ τοῦ τὰ ἄλογα κτλ. 992 A. Πότερα κτλ. 973 E. Αἰλιανόν 6, 10. — Περὶ τῶν τεχνητευμάτων τῶν *ἵππων* Πλούταρχον περὶ τοῦ τὰ ἄλογα κτλ. 992 A καὶ B. Αἰλιανόν 6, 10 καὶ 16, 23. — περὶ τῶν τεχνητευμάτων τῶν *ἐλεφάντων* Ἀριστοτέλην, περὶ τὰ ζῶα ἱστορ. 630, 6, 19. Πλούταρχον, Πότερα κτλ. 968 B. Ἀρριανόν, Ἰνδικὴ 14, 5 καὶ 6. Αἰλιανόν 2, 11. 6, 10. 13, 22. — Τὸ δὲ δυνατὸν τῆς ἀγωγῆς τῶν ζώων ὑπὸ τῶν ἀνθρώπων δι' ἀνθρωπίνων μέσων πρὸς ἐπιτέλεσιν ἀνθρωπίνων ἐνεργημάτων, κινήσεων καὶ πράξεων, ὅπερ ἐπάγεται ὁ Schuberth (ἔνθ. ἀν. σελ. 18) ὡς ἐπιχείρημα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παρὰ τῶν ἀνθρώπων καὶ μανθάνουσι νὰ διαλέγωνται ἀνθρωπίνως 1).

Ἡ τοιαύτη διδασκαλία τὴν σύμφυτον αὐτῶν σκληρότητα καὶ ἀγριότητα ἀποτρίβουσα καθιστᾷ αὐτὰ τιθασὰ καὶ εὐπειθῆ καὶ χειροήθη καὶ ἥμερα καὶ πρᾶα καὶ εὐάγωγα καὶ πεπαιδευμένα σφόδρα 2), ἐὰν αὖτη, πολυώνυμος παρὰ τοῖς ζώοις οὖσα, μετά τινος τέχνης καὶ σοφίας ψυχολογικῆς, οὐχὶ διαφόρου τῆς ἐν χρήσει παρὰ τοῖς ἀνθρώποις, τελεῖται 3).

πρὸς ἀπόδειξιν τῆς ὁμοιότητος τοῦ νοῦ τῶν ζώων πρὸς τὸν νοῦν τῶν ἀνθρώπων εἶνε ὄχι νεώτερον, ὅπως κοινῶς πιστεύεται, ἀλλὰ πᾶν τοὐναντίον· παλαιόν, παλαίτατον. Ἤδη ὁ Πλάτων ἐν τῷ Γοργίᾳ (481 D) θίγει τὸ ζήτημα τοῦτο, ἀναπτύσσει δὲ αὐτὸ εἶτα διὰ μακροτάτων ὁ Θεμίστιος (Παράφρασις τῶν περὶ ψυχῆς Ἀριστοτέλους 3, 5. ἔκδ. Spengel, τόμ. 2, σελ. 191, στίχ. 23 καὶ ἑξ.) καὶ διατυποῖ αὐτὸ τέλος ἀκριβέστατα καὶ σαφέστατα, ὅπως καὶ νῦν ἔχει τοῦτο, ὁ Πορφύριος (περὶ ἀποχῆς ἐμψύχων 3, 15 ἐξ ἀρχῆς).

1) *Πλούταρχος*, Πότερα κτλ. 973 F: Ψᾶρες δὲ καὶ κόρακες καὶ ψιττακοὶ μανθάνοντες διαλέγεσθαι καὶ τὸ τῆς φωνῆς πνεῦμα τοῖς διδάσκουσιν εὔπλαστον οὕτω καὶ μιμηλὸν ἐξαριθμεῖν καὶ ῥυθμίζειν (παρέχουσιν). — *Πορφύριος*, ἔνθ. ἀν. 3, 4: Φαίνεται καὶ ἡμᾶς μιμούμενα καὶ τὴν Ἑλλάδα γλῶτταν ἐκμανθάνοντα καὶ συνιέντα τῶν ἐφεστώτων.. κόρακες γοῦν καὶ κίτται ἐρίθακοί τε καὶ ψιττακοὶ ἀνθρώπους μιμοῦνται καὶ μέμνηνται ὧν ἂν ἀκούσωσι καὶ διδασκόμενοι ὑπακούουσι τῷ διδάσκοντι. — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 51: Κόραξ μαθὼν καὶ ἀνθρωπίνην πρόεισι φωνήν. — Ἰδ. καὶ *Πλούταρχον* περὶ τοῦ τὰ ἄλογα κτλ. 992 A. Πότερα κτλ. 973 C. *Αἰλιανόν*, ἔνθ. ἀν. 13, 18. — *Ἀρριανόν*, Ἰνδικὴ 15, 8. — *Σέξτον τὸν Ἐμπειρικόν*, Πυρρων. ὑποτυπ. A, 73, ἔκδ. Bekker, σελ. 18, στίχ. 6, καὶ ἀνωτ. σελ. 158 καὶ σημ. 1.

2) *Πλούταρχος*, περὶ παίδων ἀγωγῆς 2 F: Τίνες δ' ἵπποι καλῶς πωλοδαμνηθέντες οὐκ εὐπειθεῖς ἐγένοντο τοῖς ἀναβάταις; τίνες δ' ἀδάμαστοι μείναντες οὐ σκληραύχενες καὶ θυμοειδεῖς ἀπέδησαν; καὶ τί δεῖ τἄλλα θαυμάζειν, ὅπου γε τῶν θηρίων τῶν ἀγριωτάτων ὁρῶμεν πολλὰ καὶ τιθασευόμενα καὶ χειροήθη γιγνόμενα τοῖς πόνοις; — *Πορφύριος*, περὶ ἀποχ. ἐμψ. 3, 4: Ἡμεῖς οὖν κατὰ Καρχηδόνα πέρδικος ἐπιπτάντος ἡμέρου, τρέφοντες τοῦτον, τοῦ χρόνου προϊόντος καὶ τῆς συνηθείας εἰς πολλὴν ἡμερότητα αὐτὸν μεταβαλλούσης, οὐ μόνον σαίνοντος καὶ θεραπεύοντος ἡσθόμεθα καὶ προσπαίζοντος, ἀλλ' ἤδη καὶ ἀντιφθεγγομένου πρὸς τὸ ἡμέτερον φθέγμα καὶ καθ' ὅσον ἦν δυνατὸν ἀποκρινομένου, ἀλλοίως ἢ καλεῖν ἀλλήλους εἰώθεσαν οἱ πέρδικες. — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 11: Ἐλέφαντα.. μάθησις πραότατον ἀπέφηνε καὶ εὐάγωγον. — *Ἀρριανός*, Κυνηγετικὸς 7, 6: Κύνες πεπαιδευμέναι ὅσαι φθεγξαμένου τοῦ κυναγωγοῦ ὑποκατακλίνονται, μὴ ὑπὸ δέους, ἀλλὰ φιλοφρονούμεναι τὸν τροφέα καὶ τιμῶσαι. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Oppell, ἔνθ. ἀν. σελ. 14: «Dass das Thier durch planmässige Einwirkung von Seiten des Menschen erzogen wird, kann nach den vielen Erfahrungen darüber nicht bezweifelt werden» κτλ. *Romanes*, ἔνθ. ἀν. σελ. 253: «Instinktive Wildheit bei allen denjenigen Arten ausgerottet wurde, die genugend lange den Einflüssen der Domestication ausgesetzt waren».

3) *Αἰλιανός*, ἔνθ. ἀν. 6, 8: Ἴδιον δὲ καὶ ὄνομα τῆς κατὰ τροφὴν κομιδῆς ἕκαστα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Εἶνε δὲ τὰ διδασκόμενα ζῶα οὐ μόνον εὐμαθέστατα καὶ εὐπειθέστατα πρὸς τοὺς διδασκάλους αὐτῶν 1), ἀλλ' ἔχουσι καὶ μεγάλην φιλοτιμίαν. Ἀσκοῦνται ἐν ἡσυχίᾳ καὶ κατὰ μόνας οὐδενὸς ἀναγκάζοντος αὐτὰ καὶ ὑποβάλλονται αὐθορμήτως εἰς παντὸς εἴδους κακουχίας καὶ στερήσεις, ὅπως συμπληρώσωσι τὰς ἐλλείψεις αὐτῶν καὶ τελειοποιηθῶσιν εἰς τὸ ἔργον αὐτῶν 2). Μελετῶσιν ἀποσυρόμενα εἰς μέρη ἤρεμα καὶ καθ' ὥρας, καθ' ἃς παύει πᾶσα ταραχή, ἐπαναλαμβάνοντα τὰ μαθήματα, εἰς ἃ τυχὸν ὑπολείπονται 3). Ἐμβυθίζονται

τῶν ζώων κέκτηται. *πωλοδαμνικὴ* οὖν κληθείη τις ἂν καὶ *σκυλακοτροφικὴ* καὶ *ἐλεφαντοκομία* καὶ *λεοντοτροφία* καὶ *ὀρνιθοτροφία* καὶ τὰ τοιαῦτα. — *Ξενοφῶν*, περὶ ἱππικῆς 8, 13: Ἀνθρώποις μὲν οὖν ἄνθρωπον θεοὶ ἔδοσαν λόγῳ διδάσκειν ἃ δεῖ ποιεῖν, ἵππον δὲ δῆλον ὅτι λόγῳ μὲν οὐδὲν ἂν διδάξαις· ἢν δὲ ὅταν μὲν ποιήσῃ ὡς ἂν βούλῃ, ἀντιχαρίσῃ αὐτῷ, ὅταν δὲ ἀπειθῇ, κολάζῃς, οὕτω μάλιστα μάθοι ἂν τό δέον ὑπηρετεῖν. — *αὐτόθ.* 9, 2: Ὥσπερ οὖν καὶ ἄνθρωπον ἥκιστ' ἂν ὀργίζοι τις μήτε λέγων χαλεπὸν μηδὲν μήτε ποιῶν, οὕτω καὶ ἵππον θυμοειδῆ ὁ μὴ ἀνιῶν ἥκιστ' ἂν ἐξοργίζοι. — *αὐτόθ.* 6, 13 καὶ 15: Τὸ δὲ μήποτε σὺν ὀργῇ τῷ ἵππῳ προσφέρεσθαι, ἓν τοῦτο καὶ δίδαγμα καὶ ἔθισμα πρὸς ἵππον ἄριστον.. οἱ δὲ πληγαῖς ἀναγκάζοντες ἔτι πλείω φόβον παρέχουσιν. — *αὐτόθ.* 2, 5: Προστετάχθω δὲ τῷ ἱπποκόμῳ καὶ τὸ δι' ὄχλου διάγειν, καὶ παντοδαπαῖς μὲν ὄψεσι παντοδαποῖς δὲ ψόφοις πλησιάζειν. τούτων δὲ ὁπόσα ἂν ὁ πῶλος φοβῆται, οὐ χαλεπαίνοντα δεῖ ἀλλὰ πραΰνοντα διδάσκειν ὅτι οὐ δεινά ἐστιν. — *Αἰλιανός*, ἔνθ. ἀν. 2, 11: Οὐκοῦν ἐγένοντο καὶ ἄρρενες ἐν τῇ Ῥώμῃ τέλειοι — ἐλέφαντες — πλείους καὶ θήλειαι, εἶτα ἐξ αὐτῶν ἐτέχθησαν αὐθιγενεῖς. καὶ ὅτε τὰ κῶλα ὑπήρξαντο πήγνυσθαι, σοφὸς ἀνὴρ ὁμιλεῖν τοιούτοις θηρίοις ἐπώλευσεν αὐτούς, δαιμονίᾳ τινὶ καὶ ἐκπληκτικῇ διδασκαλίᾳ μεταχειρισάμενος. προσῆγε δὲ αὐτοὺς ἅρα ἡσυχῇ τήν γε πρώτην καὶ πράως τοῖς διδάγμασι δελεάτα ἄττα ἐπάγων καὶ τροφὰς ἡδίστας καὶ πεποικιλμένας ἐς τὸ ἐπαγωγόν τε καὶ ἐφολκόν, ὡς εἴ τι μὲν ἦν ἀγριότητος, τοῦτο ἐκβαλεῖν, ἀπαυτομολῆται δὲ πρὸς τὸ ἥμερον καὶ ἀμωσγέπως ἀνθρώπειον. — *Ἀρριανός*, Κυνηγετ. 11, 1: Δεδέσθαι δὲ κύνα γενναίαν δι' ἡμέρας, ὥσπερ τι ἄλλο ἀγαθόν· εἰ δὲ μή, ἀναγώγους ἀποτελεῖσθαι ἀνάγκη.— Πρβλ. καὶ *Ξενοφῶντα*, περὶ ἱππ. 2, 3. 8, 14 καὶ τὰ κεφ. 9 - 12. καὶ *Αἰλιανόν*, ἔνθ. ἀν. 2, 11. 16, 25.

1) *Αἰλιανός*, ἔνθ. ἀν. 2, 11: Φύσει μὲν οὖν τοῦτο πλεονέκτημα ἤδη καὶ μάλα γενικόν (τῶν ζώων), μὴ ἔχειν ἀτάκτως μηδὲ ἀπειθῶς πρὸς παιδεύματα ἀνθρωπικά. — *αὐτόθ.* 6, 10: Ἐλεφάντων τὸ εὐπειθὲς ἐς τὰ μαθήματα καὶ τὸ ῥᾴδιον ἀνωτέρω εἶπον. — *αὐτόθ.* 2, 11: Μαθὼν οἷδεν ἐλέφας καὶ ἀκριβοῖ καὶ οὐ σφάλλεται. — *αὐτόθ.* 16, 25: Οἱ ἵπποι ἅπαξ μαθόντες οὐκ ἂν αὐτοὺς λάθοι τοῦ μαθήματος λήθη.

2) *Αἰλιανός*, ἔνθ. ἀν. 6, 1: Τὰ ζῶα οὐ δεῖται τῆς ἔξωθεν ἐπιρρώσεως, ἑαυτοῖς δὲ παροξύνει τὴν ἀλκήν, καὶ ἑαυτὰ ἀνίστησι καὶ ἐγείρει.. ταῦρος δὲ ἡγεμὼν τῆς ἀγέλης, ὅταν ἡττηθῇ ἡγεμόνος ἄλλου, ἑαυτὸν ἀποκρίνει ἐς χωρίον ἕτερον, καὶ ἑαυτῷ γίνεται γυμναστής, καὶ ἀθλεῖ πᾶσαν ἄθλησιν κονιόμενος καὶ τοῖς δένδροις τὰ κέρατα προσανατρίβων καὶ τῇ τε ἄλλῃ ἑαυτὸν εἰς τὴν ἄσκησιν τῆς ἀλκῆς ῥυθμίζων καὶ οὖν καὶ Ἀφροδίτης ἀπεχόμενος καὶ σωφρονῶν ὡς Ἴκκος ὁ Ταραντῖνος, ὅνπερ οὖν ὑμνεῖ Πλάτων ὁ τοῦ Ἀρίστωνος παρὰ τὸν τῆς ἀθλήσεως χρόνον πάντα συνουσίας ἀμαθῆ καὶ ἄπειρον διαμεῖναι ἀπάσης.

3) *Πλούταρχος*, Πότερα κτλ. 968 B: Οἱ μὲν οὖν ἄλλοι θαυμάζουσι τοῦ ἐλέφαντος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰς τὴν μελέτην ἀγνώστων καὶ δυσκολωτάτων πραγμάτων καὶ δὲν ἀφίστανται τῆς προθέσεως αὐτῶν πρὶν ἐπίδωσι τοὺς μόχθους αὐτῶν διὰ πλήρους ἐπιτυχίας ἐστεμμένους 1).

ὅσα μανθάνειν καὶ διδασκόμενος ἐν θεάτροις ἐπιδείκνυται σχημάτων εἴδη καὶ μεταβολάς, ὧν οὐδ' ἀνθρωπίναις μελέταις τὸ ποικίλον καὶ περιττὸν ἐν μνήμῃ καὶ καθέξει γενέσθαι πάνυ ῥᾴδιόν ἐστι· ἐγὼ δὲ μᾶλλον ἐν τοῖς ἀφ' αὑτοῦ καὶ ἀδιδάκτοις τοῦ θηρίου πάθεσι καὶ κινήμασιν, ὥσπερ ἀκράτοις καὶ ἀπαραχύτοις ἐμφαινομένην ὁρῶ τὴν σύνεσιν. ἐν Ῥώμῃ μὲν γὰρ οὐ πάλαι πολλῶν προδιδασκομένων στάσεις τινὰς ἵστασθαι παραβόλους καὶ κινήσεις δυσεξελίκτους ἀνακυκλεῖν, εἷς ὁ δυσμαθέστατος ἀκούων κακῶς ἑκάστοτε καὶ κολαζόμενος πολλάκις ὤφθη νυκτὸς αὐτὸς ἀφ' ἑαυτοῦ πρὸς τὴν σελήνην ἀνατατόμενος τὰ μαθήματα καὶ μελετῶν.

1) *Πλούταρχος*, Πότερα κτλ. 973 C: Κουρεύς τις ἐργαστήριον ἔχων ἐν Ῥώμῃ πρὸ τοῦ τεμένους, θαυμαστόν τι χρῆμα πολυφώνου καὶ πολυφθόγγου κίττης ἔτρεφε καὶ ἀνθρώπου ῥήματα καὶ θηρίων φθόγγους καὶ ψόφους ὀργάνων ἀνταπεδίδου, μηδενὸς ἀναγκάζοντος, ἀλλ' αὐτὴν ἐθίζουσα καὶ φιλοτιμουμένη μηδὲν ἄρρητον ἀπολιπεῖν μηδ' ἀμίμητον. ἔτυχε δέ τις ἐκεῖθεν τῶν πλουσίων ἐκκομιζόμενος ὑπὸ σάλπιγξι πολλαῖς . . ἡ δὲ κίττα μετὰ τὴν ἡμέραν ἐκείνην ἄφθογγος ἦν καὶ ἄναυδος . . τοῖς οὖν πρότερον αὐτῆς θαυμάζουσι τὴν φωνήν, τότε θαῦμα μεῖζον ἡ σιωπὴ παρεῖχε . . ὑποψίαι δὲ φαρμάκων ἐπὶ τοὺς ὁμοτέχνους ἦσαν· οἱ δὲ πλεῖστοι τὰς σάλπιγγας εἴκαζον ἐκπλῆξαι τὴν ἀκοήν, τῇ δ' ἀκοῇ συγκατασβέσθαι τὴν φωνήν. ἦν δ' οὐδέτερα τούτων, *ἀλλ' ἄσκησις ὡς ἔοικε καὶ ἀναχώρησις εἰς ἑαυτὸ τοῦ μιμητικοῦ, καθάπερ ὄργανον ἐξαρτυομένου τὴν φωνὴν καὶ παρασκευάζοντος*· ἄφνω γὰρ αὖθις ἦκε καὶ ἀνέλαμψεν οὐδὲν τῶν συνήθων, καὶ παλαιῶν μιμημάτων ἐκείνων, ἀλλὰ τὰ μέλη τῶν σαλπίγγων αὐταῖς περιόδοις φθεγγομένη καὶ μεταβολὰς πάσας καὶ κρουμάτων διεξιοῦσα πάντας ῥυθμούς· ὥσπερ ἔφην, τῆς εὐμαθείας λογικωτέραν εἶναι τὴν αὐτομάθειαν ἐν αὐτοῖς. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε *Oppel*, ἔνθ. ἀν. σελ. 16 ἐν ἀρχ. Das Thier versucht seine Fähigkeiten und lernt sie ausüben, gerade wie der Mensch κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΠΤΟΝ

Τὸ πρὸς τὰ ζῶα δίκαιον.

Αἱ ἀπὸ τῶν ζώων ὠφέλειαι τοῖς ἀνθρώποις. — Ἄδικοι καὶ παράνομοι καὶ ἀσεβεῖς καὶ ἄσπλαγχνοι καὶ ὠμοὶ οἱ κακοποιοῦντες τὰ ζῶα. — Οἱ πόλεμοι καὶ ἡ εἰς ἀλλήλους πλεονεξία συνεισέρχονται ἅμα τῇ τῶν ζώων ἀδικίᾳ. Ὁ μὴ δυσχεραίνων τραύματα καὶ αἵματα τῶν ζώων γίνεται πρὸς οἶκτον ἀκαμπής, ἀνήμερος, ἀπαθής, ἄγριος. Ἡ πρὸς τὰ θηρία πραότης μελέτη πρὸς τὸ φιλάνθρωπον καὶ φιλοίκτιρμον καὶ προπόνησις πρὸς τὸ ὁμοιοῦσθαι ὡς ἔνι μάλιστα τῷ Θεῷ. — Πλάσματα τοῦ Θεοῦ πάγκαλα καὶ τὰ ἄλογα ζῶα. Θεοφιλῆ καὶ εὐλογημένα ὑπὸ τοῦ Θεοῦ. Ὁ Θεὸς προνοεῖ καὶ ὑπὲρ αὐτῶν. Θέλημα τοῦ Θεοῦ τὸ συνεπικουρεῖν ἀλλήλοις κατὰ τὰς παντοδαπὰς ἀνάγκας ἡμῶν. — Οἱ γινώσκοντες ἀκριβῶς τὰ κατὰ τὰ ζῶα τιμῶσι καὶ ἀγαπῶσι καὶ ἐλεοῦσι καὶ βοηθοῦσι καὶ μεγαλοφρόνως μεταχειρίζονται αὐτά, χρησιμοποιοῦντες ταῦτα εἰς τὰς παντοδαπὰς ἀνάγκας αὐτῶν. Ἡ Ζωολατρεία πήρωσις ψυχική. Τὸ ἐκφαυλίζειν καὶ ἀφανίζειν τὰ ζῶα δήλωσις φρενῶν παιδικῶν καὶ ἔκγονον ἀμαθείας πολλῆς καὶ ἤθους ἀγρίου καὶ ὠμοῦ. — Ἐπισκέπτου τὰ ζῶα καὶ ἐλέει καὶ θεράπευε αὐτά.

Ἀπάνθρωπος αὐτόχρημα ὁ ἀνθρώπινος βίος, οὐδαμῶς τῆς ἀρχεγόνου θηριότητος αὐτοῦ ἀφιστάμενος εἰς αἰῶνα τὸν ἅπαντα θὰ παρέμεινεν, καὶ ὅλως ἀδύνατος καὶ ἄπορος ἐν γένει θὰ καθίστατο, ἐὰν ἐστερεῖτο τῆς ἀπὸ τῶν ζώων ἐπικουρίας. Διότι ἐξ αὐτῶν ἡ τροφὴ καὶ ἡ περιβολὴ ἡμῶν, δι' ὧν τό τε ζῆν διατηρεῖται καὶ τὸ ἡμέρως καὶ φιλανθρώπως ζῆν παρασκευάζεται. Δι' αὐτῶν πάμπολλα τῶν ἐν τῇ γῇ καὶ τῇ θαλάσσῃ καὶ τοῖς ὄρεσιν ἔργων συντελοῦνται, δι' ὧν ἥ τε ἀσφάλεια καὶ εὐμάρεια τοῦ βίου ἡμῶν καὶ ἡ ἐξημέρωσις καὶ ὁ ἐξανθρωπισμὸς ἡμῶν τελεσιουργεῖται. Δι' αὐτῶν τὰ χαρίεντα τῆς διαίτης ἡμῶν, δι' ὧν ὁ ἀνθρώπινος βίος κατακοσμεῖται καὶ ἐξωραΐζεται 1).

1) *Πλούταρχος*, Πότερα κτλ. 964 Α: Γίγνεται γάρ . . μὴ χρωμένων (τοῖς ζώοις) τὸ ζῆν ἀδύνατον καὶ ἄπορον· καὶ τρόπον τινα θηρίων βίον βιωσόμεθα, τὰς ὑπὸ τῶν θηρίων προέμενοι χρείας. ἀφίημι γὰρ Νομάδων καὶ Τρωγλοδυτῶν ἀνεξερέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Καὶ νῦν ἐπὶ τὴν κορυφὴν τοῦ λόγου.

Ὁ οὐρανὸς καὶ ἡ γῆ εἶνε κοινοὶ γονεῖς ἡμῶν τε καὶ τῶν ζώων. Τὸν αὐτὸν ἀέρα ἀναπνέομεν, ἐκ τῶν αὐτῶν τροφῶν τρεφόμεθα, τὸ αὐτὸ αἷμα ῥέει εἰς τὰς φλέβας ἡμῶν καὶ αὐτῶν. Ὁμογενῆ καὶ οἰκεῖα καὶ συγγενῆ ἡμῶν εἶνε τὰ καλούμενα ἄλογα ζῶα 1). Τὸ θεῖον τους ἀριθμῷ μυριάδας, οἳ τροφὴν σάρκας ἄλλο δ' οὐδὲν ἴσασιν· ἀλλ' ἡμῶν τοῖς ἡμέρως καὶ φιλανθρώπως ζῆν δοκοῦσι ποῖον ἔργον ἀπολείπεται γῆς, ποῖον ἐν θαλάττῃ, τίς ἐν ὄρεσι τέχνη, τίς κόσμος διαίτης, ἂν . . ἀβλαβῶς καὶ μετ' εὐλαβείας προσφέρεσθαι μάθωμεν, ἔργον ἐστὶν εἰπεῖν. — *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 18: Κουράς τε προβάτων καὶ γάλα βοῶν τε ἐξημέρωσιν καὶ κατάζευξιν ἐπὶ σωτηρίᾳ καὶ διαμονῇ τοῖς χρωμένοις ὁ θεὸς δίδωσι συγγνώμην . . ἀρκεῖ γὰρ ὅτι μηδὲν πονεῖν δεομένοις χρώμεθα προκάμνουσι καὶ μοχθοῦσιν, « ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονάς », ὡς Αἰσχύλος φησὶν (ἐν Προμηθεῖ δηλ. τῷ λυομένῳ, ἀπ.188, ἔκδ. Nauck) «ἀντίδουλα καὶ πόνων ἐκδέκτορα» χειρωσάμενοι καὶ καταζεύξαντες. — *Πλούταρχος*, Πότερα κτλ. 964 F: Οὐκ ἀδικοῦσιν . . οἱ τὰ ἥμερα καὶ φιλάνθρωπα ποιούμενοι τιθασὰ καὶ συνεργὰ χρείας, πρὸς ἣν ἕκαστον εὖ πέφυκεν, « ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονάς », ὧν ὁ Αἰσχύλου Προμηθεὺς « δοῦναι » φασὶν ἡμῖν « ἀντίδουλα καὶ πόνων ἐκδέκτορα »· κυσὶ δὲ χρώμενοι προφυλάττουσιν, αἰγάς τε καὶ οἷς ἀμελγόμενα καὶ κειρόμενα νέμοντες. — *Ξενοφῶν*. Ἀπομνημονεύμ. 4, 3, 10: Τί γὰρ ἄλλο ζῶον αἰγῶν τε καὶ καὶ ὀΐων καὶ ἵππων καὶ βοῶν καὶ ὄνων καὶ τῶν ἄλλων ζώων τοσαῦτα ἀγαθὰ ἀπολαύει, ὅσα ἄνθρωποι; ἐμοὶ μὲν γὰρ δοκεῖ πλείω ἢ τῶν φυτῶν· τρέφονται γὰρ καὶ χρηματίζονται οὐδὲν ἧττον ἀπὸ τούτων ἢ ἀπ' ἐκείνων· πολὺ δὲ γένος ἀνθρώπων τοῖς μὲν ἐκ τῆς γῆς φυομένοις εἰς τροφὴν οὐ χρῶνται, ἀπὸ δὲ βοσκημάτων γάλακτι καὶ τυρῷ καὶ κρέασι τρεφόμενοι ζῶσι· πάντες δὲ τιθασεύοντες καὶ δαμάζοντες τὰ χρήσιμα τῶν ζώων εἴς τε πόλεμον καὶ εἰς ἄλλα πολλὰ συνεργοῖς χρῶνται. Ὁμογνωμονῶ σοι καὶ τοῦτ', ἔφη· ὁρῶ γὰρ αὐτῶν καὶ τὰ πολὺ ἰσχυρότερα ἡμῶν οὕτως ὑποχείρια γιγνόμενα τοῖς ἀνθρώποις, ὥστε χρῆσθαι αὐτοῖς ὅτι ἂν βούλωνται. — *Αἰσχύλος*, Προμηθεὺς δεσμώτης 462: Κἄζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα | ζεύγλαισι δουλεύοντα σάγμασίν θ', ὅπως | θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων | γένοιντ', ὑφ' ἅρμα τ' ἤγαγον φιληνίους | ἵππους, ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς.—*Πλούταρχος* λείψανα συγγραμμάτων ἀδήλων 145 6 (ἔκδ. Βερναρδάκη, τόμ. 7, σελ. 171): Πρὸς δὲ τὸν ἀροτῆρα βοῦν καὶ τὸν σύντροφον κύνα, καὶ τὰ γάλακτι μὲν τρέφοντα κουρᾷ δὲ κοσμοῦντα θρέμματα κτλ. — *Πορφύριος*, ἔνθ. ἀν. 3, 12: Ἡ δημιουργήσασα αὐτὰ φύσις, ἐν χρείᾳ τῶν ἀνθρώπων κατέστησεν, τούς τε ἀνθρώπους εἰς τὸ χρῆζειν αὐτῶν. Ἴδε καὶ Σοφοκλ. Ἀντιγ.340. —*Διόδωρον* 1, 87. *Πλούταρχον*, περὶ τύχης 98 F. *Πορφύριον*, ἔ.ἀ. 1, 5. 6. 3, 12.13. *Αἰλιανόν* 2, 57. *Ἀρριανὸν* Ἐπικτήτ. διατριβ. 1, 6, 18. — Τὰ αὐτὰ καὶ ὁ Oppel, ἔνθ. ἀν. σελ. 19 - 20: « Die Thiere greifen in tausend Beziehungen unmittelbar in unser Leben . . Wie ganz anders würde sich unser Leben gestalten, wenn wir nicht das Fleisch der Thiere als Nahrungsmittel hätten! Oder die Milch! Oder die Eier! Man male sich das nur einmal vollständig aus, - unser Leben ohne Fleisch, Eier, Milch, Butter, Käse .. Wolle .. Pelze .. Leder .. Federn .. Seide.. Sammt.. *Kurz wohin wir sehen, sind es die Thiere mit ihren mancherlei Leistungen und Gaben, die unser Dasein erleichtern und verschönern*».

1) *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 3, 25: Παντάπασιν ἂν οἰκεῖον εἴη καὶ συγγε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲν διῆλθε μόνον διὰ τοῦ ἀνθρώπου, οὐδὲ ἡ ψυχὴ ἐν μόνῳ τῷ ἀνθρώπῳ ἐπὶ γῆς κατεσκήνωσεν, ἀλλ' ἡ αὐτὴ σχεδὸν διῆλθε διὰ πάντων τῶν ζώων, ἑνοῦσα οὕτως ἡμᾶς πρὸς ἐκεῖνα 1). Εἶνε ὁμόψυχα ἡμῖν τὰ ζῶα 2), ἐν οὐδενὶ τῶν κατὰ τὸν ψυχικὸν βίον ἡμῶν οὐσιωδῶς διαφέροντα 3). Ἄδικοι ὄθεν καὶ παράνομοι καὶ ἀσεβεῖς καὶ ἄσπλαγχνοι καὶ ὠμοὶ εἶνε οἱ καταφρονοῦντες καὶ οἱ βλάπτοντες τὰ ζῶα, οἱ μετ' ὠμότητος μεταχειριζόμενοι ταῦτα, οἱ ἄνευ λόγου καὶ ἀνάγκης κτείνοντες αὐτά 4). Τὸ δίκαιον ἀπαιτεῖ καὶ ὁ ὀρθὸς λόγος

νὲς ἡμῖν τὸ τῶν λοιπῶν ζώων γένος. καὶ γὰρ τροφαὶ αἱ αὐταὶ πᾶσιν αὐτοῖς καὶ πνεύματα, ὡς Εὐριπίδης, καὶ φοινίους ἔχει ῥοὰς τὰ ζῶα πάντα καὶ κοινοὺς ἁπάντων δείκνυσι γονεῖς οὐρανόν καὶ γῆν. — *αὐτόθ.* 4, 22: Δεινὸν τὸ ὁμογενὲς κτείνειν. Ἴδ. καὶ ἀνωτ. σελ. 28, σημ. 4.

1) *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 4, 9: Οὐ δι' ἀνθρώπου μόνον τὸ θεῖον διῆλθεν, οὐδὲ ψυχὴ ἐν μόνῳ ἀνθρώπῳ ἐπὶ γῆς κατεσκήνωσεν, ἀλλὰ σχεδὸν ἡ αὐτὴ διὰ πάντων τῶν ζώων. — *Σέξτος ὁ Ἐμπειρικός*, πρὸς Φυσικούς Α, 127, ἔκδ. Bekker, σελ. 419, στίχ. 4: Οἱ μὲν οὖν περὶ τὸν Πυθαγόραν καὶ τὸν Ἐμπεδοκλέα καὶ τῶν Ἰταλῶν πλῆθός φασι μὴ μόνον ἡμῖν πρὸς ἀλλήλους καὶ πρὸς τοὺς θεοὺς εἶναι κοινωνίαν ἀλλὰ καὶ πρὸς τὰ ἄλογα τῶν ζώων. Ἓν γὰρ ὑπάρχειν πνεῦμα τὸ διὰ παντὸς τοῦ κόσμου διῆκον ψυχῆς τρόπον, τὸ καὶ ἑνοῦν ἡμᾶς πρὸς ἐκεῖνα.

2) *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 3,16: Τὰ ζῶα ὁμόψυχά ἐστιν ἡμῖν.—Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. Schuberth, ἔνθ. ἀν. σελ. 320: « *Wie ähnlich ist das Thier in seinem geistigen Verrichtungen dem Menschen* » κτλ.

3) *Σέξτος ὁ Ἐμπειρικός*, Πυρρωνείων ὑποτυπώσεων, Α, 76, ἔκδ. Bekker, σελ. 18, στίχ. 20: Τὰ καλούμενα ἄλογα ζῶα . . μήτε ἀκριβείᾳ τῶν αἰσθήσεων λείπεται τῶν ἀνθρώπων . . μήτε τῷ ἐνδιαθέτῳ λόγῳ, ἐκ περιουσίας δὲ εἰπεῖν μηδὲ τῷ προφορικῷ. — *Ἀριστοτέλης*, περὶ τὰ ζῶα ἱστ. 588, α, 18. 31: Ἔνεστι γὰρ ἐν τοῖς πλείστοις καὶ τῶν ἄλλων ζώων ἴχνη τῶν περὶ τὴν ψυχὴν τρόπων, ἅπερ ἐπὶ τῶν ἀνθρώπων ἔχει φανερωτέρας τὰς διαφοράς . . φανερώτατον δ' ἐστὶ τὸ τοιοῦτον ἐπὶ τὴν τῶν παίδων ἡλικίαν βλέψαντι· ἐν τούτοις γὰρ τῶν μὲν ὕστερον ἕξεων ἐσομένων ἔστιν ἰδεῖν οἷον ἴχνη καὶ σπέρματα, διαφέρει δ' οὐθὲν ἡ ψυχὴ τῆς τῶν θηρίων ψυχῆς κατὰ τὸν χρόνον τοῦτον, ὥστε οὐδὲν ἄλογον εἰ τὰ μὲν ταὐτὰ τὰ δὲ παραπλήσια. τὰ δ' ἀνάλογον ὑπάρχει τοῖς ἄλλοις ζώοις. — *Πορφύριος*, περὶ ἀποχ. κτλ. 1, 19: Ὁμοούσιοι αἱ τῶν ζώων ψυχαὶ ταῖς ἡμετέραις. — *αὐτόθ.* 3, 7: Φαίνεται δὲ ἡ παραλλαγή, ὡς φησί που καὶ Ἀριστοτέλης, οὐκ οὐσίᾳ διαλλάττουσα, ἀλλ' ἐν τῷ μᾶλλον καὶ ἧττον θεωρουμένη . . οὐ κατ' οὐσίαν οὖσης τῆς διαφορᾶς ἀλλὰ κατὰ τὸ ἀκριβὲς ἢ μὴ τοῦ λόγου.—Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. *Wundt*, ἔνθ. ἀν. τόμ. 1, σελ. 318: « Thier- und Menschenseele würden dann nicht mehr in dem Grad ihrer Ausbildung, sondern in ihrem Wesen verschieden sein . . *die äussere Beobachtung lehrt uns aber nicht eine totale Verschiedenheit in den Seelenvermögen* » κτλ.

4) *Πλούταρχος*, Πότερα κτλ. 964 F - 965 B: Οὐ γὰρ ἀδικοῦσιν οἱ τὰ μὲν ἄμικτα καὶ βλαβερὰ κομιδῇ κολάζοντες καὶ ἀποκτιννύοντες, τὰ δὲ ἥμερα καὶ φιλάνθρωπα ποιούμενοι τιθασὰ καὶ συνεργὰ χρείαις, πρὸς ἣν ἕκαστον εὖ πέφυκεν . . *οὐ γὰρ οἱ χρώμενοι τοῖς ζώοις ἀδικοῦσιν, ἀλλ' οἱ χρώμενοι βλαβερῶς καὶ ὀλιγώρως καὶ μετ' ὠμό-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κελεύει νὰ ἀγαπῶμεν καὶ νὰ ἐλεῶμεν αὐτά 1). Αἰσθάνονται καὶ αὐτὰ καὶ ἀλγοῦσι καὶ φοβοῦνται καὶ βλάπτονται ἐκ τῆς ὠμῆς συμπεριφορᾶς ἡμῶν 2). Δὲν ἔχουσι σπλάγχνα ἀνθρώπινα, εἶνε ἀγριώτατοι καὶ ἀδικώτατοι, εἶνε θηριώδεις καὶ ἀνήμεροι οἱ ἄνευ οὐδεμιᾶς ἀπολύτου ἀνάγκης, οἱ ἁπλῶς χάριν διασκεδάσεως καὶ ἀπολαύσεως φθείροντες καὶ φονεύοντες αὐτά 3). Δὲν ἔχουσι σπλάγχνα ἀνθρώπινα, εἶνε σκληροὶ καὶ ἀναίσθητοι οἱ τερπόμενοι εἰς θεάματα ἀνήμερα, οἱ διασκεδάζοντες μὲ τὰ βάσανα καὶ τὰ τραύματα καὶ τὰς μάχας καὶ τοὺς φόνους καὶ τὸν θάνατον ὄντων ἐμψύχων 4). Τὰ παιδία τὰ ὁποῖα παί-

τητος. — *Μάξιμος ὁ Τύριος*, λόγ. 2, 3: Φασὶ δὲ καὶ Καρχηδόνιον νεανίαν ἀγρεῦσαι λέοντα ἄρτι ἐκ γάλακτος, καὶ ἡμερῶσαι τοῦτον παρανόμῳ τροφῇ, καὶ τὸν θυμὸν αὐτοῦ ἐξελεῖν διαίτῃ νόθῳ· ὥστε ἐπιθεὶς αὐτῷ φορτίον ἤλαυνε δι' ἄστεος ὄνου δίκην· ἀλλ' ἀπέκτεινάν γε αὐτὸν Καρχηδόνιοι μισήσαντες τῆς παρανομίας, ὡς τύραννον μὲν τῇ φύσει, ἰδιώτην δὲ τῇ δυστυχίᾳ. — *Πορφύριος*, ἔνθ. ἀν. 3, 26: Ὥστε συγγενῶν ὄντων, εἰ φαίνοιτο κατὰ Πυθαγόραν καὶ ψυχὴν τὴν αὐτὴν εἰληχότα, δικαίως ἄν τις ἀσεβὴς κρίνοιτο τῶν οἰκείων μὴ ἀπεχόμενος. — *Σέξτος ὁ Ἐμπειρικός*, πρὸς Φυσικοὺς Α. 128, ἔκδ. Bekker, σελ. 419, στίχ. 9. Διόπερ καὶ κτείνοντες αὐτὰ καὶ ταῖς σαρξὶν αὐτῶν τρεφόμενοι ἀδικήσομέν τε καὶ ἀσεβήσομεν ὡς συγγενεῖς ἀναιροῦντες. Ἴδ. καὶ *Ἀριστοτέλην*, περὶ Ῥητορικῆς 1373, 6, 14. *Ἐμπεδοκλέους* ἔπη 440, ἔκδ. Mullach, τόμ. 1, σελ. 13.

1) *Πορφύριος*, ἔνθ. ἀν. 3, 16: Οὐδὲ Σωκράτης παίζων ὁμοδούλους αὐτοῦ ἔλεγε τοὺς κύκνους. αἰνίσσεται δὲ καὶ ὁ μῦθος ὡς ὁμόψυχά ἐστιν ἡμῖν, καὶ χόλῳ μὲν θεῶν μεταβαλεῖν ἐξ ἀνθρώπων εἰς ζῶα, μεταβαλόντας δὲ λοιπὸν ἐλεεῖσθαι καὶ φιλεῖσθαι. — *αὐτόθ.* 3, 12: Ἡ δημιουργήσασα αὐτὰ φύσις ἐν χρείᾳ τῶν ἀνθρώπων κατέστησεν τούς τε ἀνθρώπους εἰς τὸ χρῄζειν αὐτῶν, τό δίκαιον ἔμφυτον αὐτοῖς τε πρὸς ἡμᾶς καὶ ἡμῖν πρὸς αὐτὰ κατακευάσασα. — *αὐτόθ.* 3, 18: Καὶ πρὸς αὐτὰ εἴη ἂν ἡμῖν τὸ δίκαιον. — *αὐτόθ.* 3, 19: Πῶς δὲ οὐκ ἄλογον πολλοὺς τῶν ἀνθρώπων ἐπ' αἰσθήσει μόνον ζῶντας ὁρῶντας νοῦν δὲ καὶ λόγον οὐκ ἔχοντας, πολλοὺς δὲ πάλιν ὠμότητι καὶ θυμῷ καὶ πλεονεξίᾳ τὰ φοβερώτατα τῶν θηρίων ὑπερβεβληκότας, παιδοφόνους καὶ πατροκτόνους τυράννους καὶ βασιλέων ὑπουργούς, πρὸς μὲν τούτους οἴεσθαι δίκαιόν τι εἶναι ἡμῖν, πρὸς δὲ τὸν ἀροτῆρα βοῦν καὶ τὸν σύντροφον κύνα καὶ τὰ γάλακτι μὲν τρέφοντα, κουρᾷ δὲ κοσμοῦντα θρέμματα μηδὲν εἶναι, πῶς οὐ παραλογώτατόν ἐστιν;

2) *Πορφύριος*, ἔνθ. ἀν. 3, 19: Τοῖς ζώοις τὰ φυτὰ παραβάλλειν κομιδῇ βίαιον. Τὰ μὲν γὰρ αἰσθάνεσθαι πέφυκε καὶ ἀλγεῖν καὶ φοβεῖσθαι καὶ βλάπτεσθαι, διὸ καὶ ἀδικεῖσθαι, τοῖς δ' οὐθέν ἐστιν αἰσθητόν, οὕτως δὲ οὐδὲ ἀλλότριον οὐδὲ κακὸν οὐδὲ βλάβη τις οὐδὲ ἀδικία.

3) *Πορφύριος*, περὶ ἀποχ. 3, 18: Τὸ ἐκ περιουσίας καὶ πρὸς ἡδονὴν ἀπολλύειν ἕτερα καὶ φθείρειν τῆς παντελοῦς ἦν ἀγριότητος καὶ ἀδικίας — *αὐτόθ.* 3, 20: Ἡμεῖς ὕδρει καὶ τρυφῇ ἕνεκα παίζοντες πολλάκις . . τὰ πλεῖστα τῶν ζώων φονεύομεν. ἐξ ὧν δὴ καὶ τὸ μὲν φονικὸν καὶ θηριώδες ἡμῶν ἐπερρώσθη καὶ τὸ πρὸς οἶκτον ἀπαθές, τοῦ δὲ ἡμέρου τὸ πλεῖστον ἀπήμβλυναν οἱ πρῶτοι τοῦτο τολμήσαντες.

4) *Πλούταρχος*, περὶ σαρκοφαγίας 997 Α καὶ ἑξ.: Ὑπὸ κόρου καὶ ὕβρεως καὶ πολυτελείας ἡδονὴν πεποίηνται τὴν ἀνομίαν . . συννοσεῖ ἀλλήλοις τὰ αἰσθητήρια καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζουσι μὲ τὰ ζῶα πρέπει πολὺ νὰ προσέχωσι. Πρέπει νὰ παίζωσι μὲ αὐτά, ἐνόσῳ καὶ αὐτὰ παίζουσι καὶ εὐχαριστοῦνται ἐκ τῶν παιγνιδίων τούτων· ὅταν ὅμως τὰ παιδία παίζωσι καὶ αὐτὰ ἀλγοῦσι καὶ βλάπτονται καὶ ἀποθνήσκουσι, τότε τὰ παιγνίδια ταῦτα δὲν εἶνε πλέον παιγνίδια, ἀλλ' εἶνε βασανιστήρια· καὶ οἱ παίζοντες μὲ τὰς ὀδύνας καὶ τὰ βάσανα τῶν ἄλλων εἶνε πολὺ κακῆς ψυχῆς ἄνθρωποι 1). Πρέπει νὰ εἶνέ τις πολὺ ἄγριος καὶ ὠμὸς καὶ ἀπάνθρωπος, ἵνα μὴ συγκινῆται ἐκ τῶν σπαρακτικῶν αὐτῶν φωνῶν, ἵνα μὴ αἰσθάνηται οἶκτον ἐκ τῶν σφαδασμῶν αὐτῶν, κακοποιουμένων, βασανιζομένων, φθειρομένων, φονευομένων. Μικρὸν πρᾶγμα εἶνε νὰ θανατώσῃς ἓν ἔμψυχον; Μίαν ζωὴν ἀφανίζεις, μίαν ψυχὴν αἰσθανομένην καὶ νοοῦσαν ἐξολοθρεύεις, τὸν ἥλιον ἀφαιρεῖς ἀπ' αὐτῆς, τὸν βίον συντέμνεις αὐτῆς. Τί δικαίωμα ἔχεις πρὸς τοῦτο; Σὺ ἔδωκας ταῦτα εἰς τὸ ζῶον; Δὲν εἶνε καὶ αὐτὸ δημιούργημα τοῦ Θεοῦ; Μακρὰν αἱ κακοποιήσεις, τὰ βασανιστήρια, οἱ σπαραγμοί, τὰ αἵματα, οἱ φόνοι. Μακράν! 2)

συναναπείθεται καὶ συνακολασταίνει μὴ κρατοῦντα τῶν φυσικῶν μέτρων. οὕτως ἀκοὴ νοσήσασα μουσικὴν διέφθειρεν, ἀφ' ἧς τὸ θρυπτόμενον καὶ ἐκλυόμενον αἰσχρὰς ποθεῖ ψηλαφήσεις καὶ γυναικώδεις γαργαλισμούς· ταῦτα τὴν ὄψιν ἐδίδαξε μὴ πυρρίχιας χαίρειν μηδὲ χειρονομίαις μηδ' ὀργήμασι γλαφυροῖς μηδ' ἀγάλμασι καὶ γραφαῖς, ἀλλὰ φόνον καὶ θάνατον ἀνθρώπων καὶ τραύματα καὶ μάχας θέαμα ποιεῖσθαι πολυτελέστατον. οὕτως ἔπονται θεάμασιν ἀνημέροις ἀπάθεια πρὸς ἀνθρώπους καὶ ὠμότης. Ἴδ. αὐτόθ. καὶ πότερα κτλ. 965 A.

1) *Πλούταρχος*, Πότερα κτλ. 965 A: Οὐ γὰρ ἀναιρεῖται τὸ ζῆν οὐδὲ βίος ἀπόλυται τοῖς ἀνθρώποις, ἂν μὴ λοπάδας ἰχθύων μηδ' ἥπατα χηνῶν ἔχωσι.. μηδ' ἀλύοντες ἐν θάτροις μηδὲ παίζοντες ἐν θήραις τὰ μὲν ἀναγκάζωσι τολμᾶν ἄκοντα καὶ μάχεσθαι, τὰ δὲ μηδ' ἀμύνεσθαι πεφυκότα διαφθείρωσι. τὸν γὰρ παίζοντα καὶ παιζόμενον οἶμαι συμπαίζουσι δεῖν χρῆσθαι καὶ ἱλαροῖς, οὐχ ὥσπερ ὁ Βίων ἔλεγε τὰ παιδάρια παίζοντα τὸν βατράχων τοῖς λίθοις ἐφίεσθαι, τοὺς δὲ βατράχους μηκέτι παίζοντας ἀλλ' ἀληθῶς ἀποθνήσκειν, οὕτω κυνηγεῖν καὶ ἁλιεύειν, ὀδυνωμένοις τερπομένοις καὶ ἀποθνήσκουσι.,— Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδ. *Schuberth*, ἔ. ἀ. σελ. 320: Doch dürfen wir ebenso wenig das Thier verachten, es quälen, mit seinem, wenn auch noch so geringen Schmerze scherzen, oder gar Mutwillen treiben, noch weniger es hassen » κτλ.

2) *Πλούταρχος*, περὶ σαρκοφαγίας 994 D: Ἀλλ' οὐδὲν ἡμᾶς δυσωπεῖ οὐ χρόας ἀνθηρὸν εἶδος, οὐ φωνῆς ἐμμελοῦς πιθανότης, οὐ πανουργία ψυχῆς, οὐ τὸ καθάριον ἐν διαίτῃ καὶ περιττὸν ἐν συνέσει τῶν ἀθλίων, ἀλλὰ σαρκιδίου μικροῦ χάριν ἀφαιρούμεθα ψυχῆς ἥλιον, φῶς, τὸν τοῦ βίου χρόνον, ἐφ' ᾧ γέγονε καὶ πέφυκεν. εἶθ' ἃς φθέγγεται καὶ διέτρισε φωνὰς ἀνάρθρους εἶναι δοκοῦμεν, οὐ παραιτήσεις καὶ δεήσεις καὶ δικαιολογίας ἑκάστου λέγοντος· « Οὐ παραιτοῦμαί σου τὴν ἀνάγκην ἀλλὰ τὴν ὕβριν, ἵνα φάγῃς,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οἱ πόλεμοι καὶ ἡ εἰς ἀλλήλους πλεονεξία συνεισέρχονται ἅμα τῇ τῶν ζώων ἀδικίᾳ. Ὁ βλάπτων τὰ ζῶα ἐθίζεται εἰς τὰς ἔριδας καὶ τὰς φιλονεικίας 1). Ὁ χάριν διασκεδάσεως καὶ ἀπολαύσεως διασπῶν καὶ κατακόπτων αὐτὰ ἐνισχύει τὸ φονικὸν καὶ τὸ θηριῶδες αὐτοῦ καὶ καθίσταται σὺν τῷ χρόνῳ ἄσπλαγχνος καὶ ἀνήμερος 2). Ὁ μὴ ἀποτροπιαζόμενος τὰ αἵματα καὶ τὰ τραύματα τῶν ζώων, ὁ φονεύων καὶ σφάζων αὐτὰ χωρὶς νὰ αἰσθάνηται οὐδεμίαν συγκίνησιν, ὁ εὐχαριστούμενος νὰ βλέπῃ αὐτὰ ἀποθνήσκοντα προεθίζεται εἰς τὴν ἀναισθησίαν καὶ εἰς τὴν ἀγριότητα 3). Ἡ πρὸς τὰ ζῶα ὠμότης εἶνε προ-

ἀπόκτεινον, ἵνα δ' ἥδιον φάγῃς μὴ μ' ἀναίρει». ὦ τῆς ὠμότητος. — *αὐτόθ.* 997 D: Θανατοῦταί τι ἔμψυχον. μικρὸν ἀνάλωμα ἡγούμεθα ψυχήν;.. αἰσθήσεώς γε μετέχουσαν, ὄψεως, ἀκοῆς, φαντασίας, συνέσεως, ἣν ἐπὶ κτήσει τοῦ οἰκείου καὶ φυγῇ τοῦ ἀλλοτρίου παρὰ τῆς φύσεως εἴληχεν. — *περὶ Ἴσιδος καὶ Ὀσίριδος* 382 A καὶ ἑξ: Εἴπερ οὖν οἱ δοκιμώτατοι τῶν φιλοσόφων οὐδ' ἐν ἀψύχοις καὶ ἀσωμάτοις πράγμασιν αἴνιγμα τοῦ θείου κατιδόντες ἠξίουν ἀμελεῖν οὐδὲν οὐδ' ἀτιμάζειν, ἔτι μᾶλλον οἶομαι τὰς ἐν αἰσθανομένοις καὶ ψυχὴν ἐχούσαις καὶ πάθος καὶ ἦθος φύσεσιν ἰδιότητας ἀγαπητέον οὖν.. καὶ ὅλως ἀξιοῦν γε μηδὲν ἄψυχον ἐμψύχου μηδ' ἀναίσθητον αἰσθανομένου κρεῖττον εἶναι, μηδ' ἂν τὸν σύμπαντά τις χρυσὸν ὁμοῦ καὶ σμάραγδον εἰς ταὐτὸ συμφορήσῃ. — *Ἰὼβ* 38, 1. 4. 14. 39, 19. 27. 28: Εἶπεν ὁ Κύριος τῷ Ἰὼβ — ποῦ ἦσθα ὅτε ἐθεμελίωσα τὴν γῆν; .. Σὺ λαβὼν γῆν πηλὸν ἔπλασας ζῶον; Σὺ περιέθηκας ἵππῳ δύναμιν, καὶ ἐνέδυσας τραχήλῳ αὐτοῦ φόβον; Περιέθηκας δὲ αὐτῷ πανοπλίαν, καὶ δόξῃ στηθέων αὐτοῦ τόλμην;.. Ἐκ δὲ τῆς σῆς ἐπιστήμης ἔπτηκεν ἱέραξ, ἀναπετάσας τὰς πτέρυγας ἀκίνητος, καθορῶν τὰ πρὸς νότον; Ἐπὶ τῷ σῷ προστάγματι ὑψοῦται ἀετός; — *Ψαλτήριον* 5, 7: Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος. — *Ἡσαΐας*, 66, 3: Ὁ δὲ ἄνομος ὁ θύων μοι μόσχον, ὡς ὁ τύπτων ἄνδρα· καὶ ὁ θυσιάζων ἐκ ποιμνίου, ὡς ὁ ἀκοκτενῶν κύνα — *Παροιμιογράφοι*, Appendix 2, 20: Εἰσὶ καὶ κυνῶν Ἐρινύες. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἴδε Schuberth, ἔνθ. ἀν. σελ. 321 «Gott der das Brüllen des Löwen im Walde, das Zirpen der Grille auf der Wiese, so gut wie euer Gebet, das Stöhnen und Sehnen des verwundeten oder gefangenen Thiers, so wie das Seufzen des auf seinem Schmerzenslager sich windenden Kranken hört, gab uns ein schöneres, edleres, heiligeres, reineres Gebot, das Gebot *das Thier nicht zu misshandeln, es nicht zu hassen, es nicht zu verrachten, sondern es zu achten, zu lieben, zu schützen und es menschlich zu behandeln. Auch das Thier ist unser Nächster*».

1) *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 4, 2 καὶ 3, 27: Τὸ πάλαι.. πόλεμος οὐκ ἦν, ὡς ἂν ἀδικίας ἐξεληλαμένης· συνεισῆλθεν δὲ ὕστερον καὶ πόλεμος καὶ εἰς ἀλλήλους πλεονεξία ἅμα τῇ τῶν ζώων ἀδικίᾳ.. ἐντεῦθέν γε τὸ τῆς φύσεως ἡμῶν ἐλάττωμα, ἐντεῦθεν τὸ θρηνούμενον πρὸς τῶν παλαιῶν, ὡς «τοίων ἔκ τε ἐρίδων ἔκ τε νεικέων γενόμεσθα».

2) *Πλούταρχος*, Πότερα κτλ. 959 F: Οἱ τὰ ζῶα.. ἐφ' ἡδονῇ καὶ ὄψῳ διασπῶντες καὶ κατακόπτοντες ὅσον ἔστι τῇ φύσει φονικὸν καὶ θηριῶδες ἔρρωσαν καὶ πρὸς οἶκτον ἀκαμπὲς εἰργάσαντο, τοῦ δὲ ἡμέρου τὸ πλεῖστον ἀπήμβλυναν.

3) *Πλούταρχος*, Πότερα κτλ. 959 D: Καὶ μὴν ἐκεῖθεν, ὦ φίλε.. φασὶν ἥκειν ἐπ' ἀνθρώπους τὴν ἀπάθειαν καὶ τὴν ἀγριότητα γευσαμένην φόνου καὶ προεθισθεῖσαν ἐν ταῖς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μελέτη πρὸς ἁπλησταίαν, πρὸς φόνους, πρὸς σφαγὴν τῶν ἀνθρώπων 1), ἡ δὲ πρὸς αὐτὰ πραότης μελέτη πρὸς τὸ φιλάνθρωπον καὶ φιλοίκτιρμον 2).

Ἡ συνήθεια ἔχει δύναμιν παμμεγίστην. Εἶνε καὶ τῆς φύσεως αὐτῆς δυνατωτέρα. Αὕτη δύναται ἐκ τῶν σμικροτάτων νὰ προαγάγῃ τὸν ἄνθρωπον εἰς τὰ παμμέγιστα. Διό, ὅταν ἐθισθῇ τις ἐξ ἁπαλῶν ὀνύχων πράως καὶ φιλανθρώπως νὰ φέρηται πρὸς τὰ ζῶα, ἐπειδὴ ἡ τοιαύτη ἕξις σὺν τῷ χρόνῳ γίνεται ἔμμονος τῆς ψυχῆς κατάστασις, ἀδυνατεῖ πλέον ὁ οὕτω ἐθισθεὶς νὰ ἀδικήσῃ ἀνθρώπους 3). Οὕτω δὲ ὁ μὴ βλάπτων τὰ ζῶα ἐθίζεται εἰς τὸ νὰ μὴ βλάπτῃ καὶ τοὺς ἀνθρώπους, ὁ ἀγαπῶν αὐτὰ ἐθίζεται εἰς τὴν πρὸς τὸν πλησίον ἀγάπην, ὁ μὴ ἀδικῶν αὐτὰ ἐθίζεται εἰς τὸ νὰ μὴ ἀδικῇ καὶ τὸν πλησίον αὐτοῦ 4). Ἡ πρὸς τὰ ἔμψυχα οἰκείωσις γενικῶς εἰπεῖν εἶνε ἀρχὴ τῆς

ἄγραις καὶ τοῖς κυνηγεσίοις αἷμα καὶ τραύματα ζώων μὴ δυσχεραίνειν ἀλλὰ χαίρειν σφαττομένοις καὶ ἀποθνήσκουσιν.

1) *Πλούταρχος*, περὶ σαρκοφαγίας 998 B: Τὸ πρῶτον ἄγριόν τι ζῶον ἐδρώθη καὶ κακοῦργον· εἶτ' ὄρνις τις ἢ ἰχθὺς εἵλκυστο· καὶ γευσάμενον οὕτω καὶ προμελετῆσαν ἐν ἐκείνοις τὸ φονικὸν ἐπὶ βοῦν ἐγάτην ἦλθε καὶ τὸ κόσμιον πρόβατον καὶ τὸν οἰκουρὸν ἀλεκτρυόνα· καὶ κατὰ μικρὸν οὕτω τὴν ἁπληστίαν στομώσαντες ἐπὶ σφαγὰς ἀνθρώπων καὶ φόνους καὶ πολέμους προῆλθον. — Ἀναλυτικώτερον περὶ τῶν αὐτῶν ἐν Πότερα κτλ. 959 E κἑξ.

2) *Πλούταρχος*, Πότερα κτλ. 959 F: Ὥσπερ αὖ πάλιν οἱ Πυθαγορικοὶ τὴν πρὸς τὰ θηρία πραότητα μελέτην ἐποιήσαντο πρὸς τὸ φιλάνθρωπον καὶ τὸ φιλοίκτιρμον. — *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 3, 20: Οἱ δὲ Πυθαγόρειοι τὴν πρὸς τὰ θηρία πραότητα μελέτην ἐποιήσαντο τοῦ φιλανθρώπου καὶ φιλοικτίρμονος.

3) *Θεόφραστος*, περὶ φυτῶν αἰτιῶν 4, 11, 7: Πολλάκις τὸ παρὰ φύσιν ἐγένετο κατὰ φύσιν, ὅταν χρονισθῇ καὶ λάβῃ πλῆθος. — *Πλούταρχος*, Πότερα κτλ. 959 F: Ἡ γὰρ συνήθεια δεινὴ τοῖς κατὰ μικρὸν ἐνοικιουμένη πάθεσι πόρρω προαγαγεῖν τὸν ἄνθρωπον. — Περὶ σαρκοφαγίας 996 A καὶ ἑξ: Ὁ πρὸς φιλανθρωπίαν ἐθισμός.. θαυμαστόν.. τίς γὰρ ἂν ἀδικήσειεν ἄνθρωπον οὕτω πρὸς ἀλλότρια κακὰ καὶ ἀσύμφυλα διακείμενος καὶ πράως καὶ φιλανθρώπως; .. οὐκ ἔστι δὲ οἶμαι χείρων ὁ ζῶντα βασανίζων τοῦ παραιρουμένου τὸ ζῆν καὶ φονεύοντος· ἀλλὰ μᾶλλον, ὡς ἔοικε, τῶν παρὰ συνήθειαν ἢ τῶν παρὰ φύσιν αἰσθανόμεθα.

4) *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 3, 26: Ὅτι τὸ δίκαιον συναύξεται διὰ τῆς ἀποχῆς τίνι οὐ δῆλον; ὁ γὰρ ἀπεχόμενος παντὸς ἐμψύχου, κἂν μὴ τῶν συμβαλλόντων αὐτῷ εἰς κοινωνίαν, πολλῷ μᾶλλον πρὸς τὸ ὁμογενὲς τῆς βλάβης ἀφέξεται. οὐ γὰρ ὁ τὸ γένος φιλῶν τὸ εἶδος μισήσει, ἀλλὰ μᾶλλον ὅσῳ μεῖζον τὸ γένος τὸ τῶν ζώων, τοσούτῳ καὶ πρὸς τὸ μέρος καὶ τὸ οἰκεῖον ταύτην διασώσει. ὁ τοίνυν τὴν οἰκείωσιν πεποιημένος πρὸς τὸ ζῶον, οὗτος καὶ τό τι ζῶον οὐκ ἀδικήσει· ὁ δὲ μόνον περιγράψας ἐν ἀνθρώπῳ τὸ δίκαιον ἕτοιμος ἔσται ὡς ἐν στενῷ ἀπορρῖψαι τὴν ἕφεξιν τῆς ἀδικίας. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 2, 18, ἔκδ. Migne, σελ. 1033 C: Ἄντικρυς γοῦν καὶ ὅσα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δικαιοσύνης 1), τὸ δὲ μὴ βλάπτειν μηδ' ἀφανίζειν μηδὲν ἄνευ ἀνάγκης διδασκαλία φιλανθρωπίας, μελέτη καὶ προάσκησις τοῦ πρὸς ἀλλήλους εὐχαρίστου καὶ κοινωνικοῦ 2) καὶ προπόνησις πρὸς ἐπίτευξιν τοῦ τελικοῦ σκοποῦ πάσης τῆς ἐν ἀνθρώποις ἀγωγῆς καὶ παιδείας ὅς ἐστιν «τὸ ὁμοιοῦσθαι Θεῷ ὡς ἔνι μάλιστα 3).

Καὶ τὰ ἄλογα ζῶα εἶνε πλάσματα τοῦ Θεοῦ 1). Καὶ αὐτὰ εἶνε

τῶν ζώων κυοφορεῖ, ὁ νόμος οὐκ ἐπιτρέπει, ἄχρις ἂν ἀποτέκῃ, σφαγιάζεσθαι, μακρόθεν ἐπισχὼν τὴν εὐχέρειαν τῶν εἰς ἄνθρωπον ἀδικούντων.

1) *Πορφύριος*, περὶ ἀποχ. κτλ. 3, 19: Οἰκειώσεως πάσης καὶ ἀλλοτριώσεως ἀρχὴ τὸ αἰσθάνεσθαι. τὴν δὲ οἰκείωσιν ἀρχὴν τίθενται δικαιοσύνης οἱ ἀπὸ Ζήνωνος.

2) *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 2, 18, ἔκδ. Migne, σελ. 1034 C: Οὕτως ἄχρι καὶ τῶν ἀλόγων ζώων τὸ ἐπιεικὲς ἀπέτεινεν ὁ Νόμος· ἵνα ἐν τοῖς ἀνομογενέσιν ἀσκήσαντες πολλῇ τινι περιουσίᾳ φιλανθρωπίας ἐν τοῖς ὁμογενέσι χρησόμεθα. — *Πλούταρχος*, περὶ Ἴσιδος καὶ Ὀσίριδος 382 A: Εἴπερ οὖν οἱ δοκιμώτατοι τῶν φιλοσόφων οὐδ' ἐν ἀψύχοις καὶ ἀσωμάτοις πράγμασιν αἴνιγμα τοῦ θείου κατιδόντες ἠξίουν ἀμελεῖν οὐδὲν οὐδ' ἀτιμάζειν, ἔτι μᾶλλον κτλ. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 2, 18, ἔκδ. Migne, σελ. 1036 B: Δαψιλευόμενος δὲ τῇ φιλανθρωπίᾳ ὁ χρηστὸς λόγος μηδ' ὅσα τῆς ἡμέρου ὕλης ἐστί, δενδροτομεῖν ταῦτα προσῆκον εἶναι διδάσκει, μηδὲ μὴν κείρειν ἐπὶ λύμῃ στάχυν πρὸ τοῦ θερισμοῦ· ἀλλὰ μηδὲ συνόλως καρπὸν ἥμερον διαφθείρειν. — *Πλούταρχος*, Συμποσ. προβλ. 703 B κέξ.: Καὶ φιλανθρωπίας διδασκαλία τὸ ἔθος ἐστίν· οὔτε γὰρ τροφὴν ἀφανίζειν ὅσιον αὐτοὺς ἄδην ἔχοντας, οὔτε νάματος ἐμφορηθέντας πηγὴν ἀποτυφλοῦν καὶ ἀποκρύπτειν, οὔτε πλοῦ σημεῖα καὶ ὁδοῦ διαφθείρειν χρησαμένους, ἀλλ' ἐᾶν καὶ ἀπολείπειν τὰ χρήσιμα τοῖς δεησομένοις μεθ' ἡμᾶς . . ὅρα δέ, εἰ καὶ μελέτης ἕνεκα τοῦ εὐχαρίστου τὰς τοιαύτας ἐφιέντες ὑπερβολὰς οὐκ ἀτόπως οἱ παλαιοὶ καὶ δρῦς ἐσέβοντο καρποφόρους καὶ συκῆν τινα προσηγόρευσαν ἱερὰν Ἀθηναῖοι καὶ μορίαν ἐκκόπτειν ἀπαγορεύουσι· ταῦτα γὰρ οὐ ποιεῖ πρὸς δεισιδαιμονίαν ἐπιφόρους, ὡς ἔνιοί φασιν, ἀλλὰ προσεθίζει τὸ εὐχάριστον ἡμῶν καὶ κοινωνικὸν ἐν τοῖς ἀναισθήτοις καὶ ἀψύχοις πρὸς ἀλλήλους. — *Δευτερονόμιον* 20, 19: Ὡὰν δὲ περικαθίσῃς περὶ πόλιν ἡμέρας πλείονας, ἐκπολεμῆσαι αὐτὴν εἰς κατάληψιν αὐτῆς, οὐκ ἐξολοθρεύσεις τὰ δένδρα αὐτῆς ἐπιβαλεῖν ἐπ' αὐτὰ σίδηρον, ἀλλ' ἀπ' αὐτοῦ φαγῇ, αὐτὸ δὲ οὐκ ἐκκόψεις. Μὴ ἄνθρωπος τὸ ξύλον τὸ ἐν δρυμῷ, εἰσελθεῖν ἀπὸ προσώπου σου εἰς χάρακα;

3) *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 3, 27: Τοῦ δ' ὁμοιοῦσθαι θεῷ ὄντος τέλους ὡς ἔνι μάλιστα, σῴζεται τὸ ἀβλαβὲς ἐν ἅπασιν. ὅνπερ τοίνυν τρόπον ὁ πάθεσιν ἀγόμενος πρὸς μόνα τέκνα καὶ γυναῖκα ἀβλαβής, τῶν δὲ ἄλλων καταφρονητικὸς καὶ πλεονέκτης . . ὁ δὲ λόγῳ ἀγόμενος καὶ πρὸς πολίτην τηρεῖ τὸ ἀβλαβὲς καὶ πρὸς ξένους καὶ πρὸς πάντας ἀνθρώπους, ὁ τὴν ἀλογίαν ἔχων ὑπήκοον, καὶ αὐτὸς παρ' ἐκείνους λογικώτερος, διὰ ταῦτα δὲ καὶ θειότερος· οὕτως ὁ μὴ μόνον στήσας τὸ ἀβλαβὲς ἐν ἀνθρώποις, παρατείνας δὲ καὶ εἰς τὰ ἄλλα ζῶα μᾶλλον ὅμοιος θεῷ, καὶ εἰ ἄχρι φυτῶν δυνατόν, ἔτι μᾶλλον σῴζει τὴν εἰκόνα.

4) *Γένεσις*, 1, 21. 25: Καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν . . καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος . . καὶ ἐποίησεν ὁ Θεὸς τὰ θη-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δημιουργήματα εἰς τὸν κόσμον προκύψαντα διὰ τοῦ λόγου αὐτοῦ τοῦ δημιουργικοῦ καὶ τῆς δυνάμεως αὐτοῦ τῆς κοσμοποιητικῆς 1). Καὶ

ρία τῆς γῆς κατὰ γένος καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος αὐτῶν. — *αὐτόθ.* 2, 19: Καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ. — *Ἱερεμίας* 34, 4: Οὕτως εἶπε κύριος τῶν δυνάμεων ὁ Θεός, οὕτως ἐρεῖτε πρὸς τοὺς κυρίους ὑμῶν, ὅτι ἐγὼ ἐποίησα τὴν γῆν καὶ τοὺς ἀνθρώπους καὶ τὰ κτήνη, ὅσα ἐπὶ προσώπου τῆς γῆς, ἐν τῇ ἰσχύϊ μου τῇ μεγάλῃ καὶ ἐν τῷ ἐπιχείρῳ μου τῷ ὑψηλῷ. — *Ἰὼβ* 12, 7: Ἀλλὰ δὴ ἐπερώτησον τετράποδα, ἐάν σοι εἴπῃ, πετεινά τε οὐρανοῦ, ἐάν σοι ἀναγγείλῃ.. καὶ ἐξηγήσονταί σοι οἱ ἰχθύες τῆς θαλάσσης. Τίς οὐκ ἔγνω ἐν πᾶσι τούτοις, ὅτι χεὶρ Κυρίου ἐποίησε ταῦτα. — *Ὀρφικά*, ἀπόσπ. 39, ἔκδ. Mullach, τόμ.1, σελ. 483, 6: Ἔστι δὲ πάντων ἀρχὴ Ζεύς· Ζεὺς γὰρ ἔδωκε,| ζωὰ τ' ἐγέννησεν· καὶ Ζῆν' αὐτὸν καλέουσι, | καὶ Δία τ' ἠδ', ὅτι διὰ τοῦτον ἅπαντα τέτυκται. | εἷς δὲ πατὴρ οὗτος πάντων, θηρῶν τε βροτῶν τε. — *Ψαλτήριον* 145, 5: Μακάριος οὗ.. ἡ ἐλπὶς αὐτοῦ ἐπὶ κύριον τὸν Θεὸν αὐτοῦ· τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. — *Πράξεις Ἀποστόλων* 17, 24: Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ οὗτος οὐρανοῦ καὶ γῆς κύριος ὑπάρχων.. αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα. — *Πλατων*, Τίμαιος 37 C. 39 E. 41 A - E: Ὡς δὲ κινηθὲν αὐτὸ καὶ ζῶν ἐνόησε τῶν ἀϊδίων θεῶν γεγονὸς (ὁ κόσμος) ἄγαλμα ὁ γεννήσας πατήρ, ἠγάσθη τε καὶ εὐφρανθεὶς ἔτι δὴ μᾶλλον ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενόησεν ἀπεργάσασθαι — ἥπερ οὖν νοῦς ἐνούσας ἰδέας τῷ ὃ ἐστι ζῶον, οἵαί τε ἔνεισι καὶ ὅσαι, καθορᾷ, τοιαύτας καὶ τοσαύτας διενοήθη δεῖν καὶ τόδε σχεῖν. εἰσὶ δὲ τέτταρες, μία μὲν οὐράνιον θεῶν γένος, ἄλλη δὲ πτηνόν καὶ ἀεροπόρον, τρίτη δὲ ἔνυδρον εἶδος, πεζὸν δὲ καὶ χερσαῖον τέτταρτον — ἐπεὶ δ' οὖν πάντες.. οἱ θεοὶ γένεσιν ἔσχον, λέγει πρὸς αὐτοὺς ὁ τόδε τὸ πᾶν γεννήσας τάδε· Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γε μὴ ἐθέλοντος.. νῦν οὖν ὃ λέγω πρὸς ὑμᾶς ἐνδεικνύμενος, μάθετε. θνητὰ ἔτι γένη λοιπὰ τρί' ἀγέννητα· τούτων δὲ μὴ γενομένων οὐρανὸς ἀτελὴς ἔσται· τὰ γὰρ ἅπαντ' ἐν αὐτῷ γένη ζώων οὐχ ἕξει, δεῖ δέ, εἰ μέλλει τέλεος ἱκανῶς εἶναι. δι' ἐμοῦ δὲ ταῦτα γενόμενα καὶ βίου μετασχόντα θεοῖς ἰσάζοιτ' ἄν· ἵνα οὖν θνητά τε ᾖ τό τε πᾶν τόδε ὄντως ἅπαν ᾖ, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν ζώων δημιουργίαν, μιμούμενοι τὴν ἐμὴν δύναμιν περὶ τὴν ὑμετέραν γένεσιν.. ἀθανάτῳ θνητὸν προσυφαίνοντες, ἀπεργάζεσθε ζῶα καὶ γεννᾶτε τροφήν τε διδόντες αὐξάνετε καὶ φθίνοντα πάλιν δέχεσθε. — *Πρόκλος*, εἰς τὸν Πλάτωνος πρῶτον Ἀλκιβιάδην, κεφ. 21: Λοιπὸν δὲ ἐκ τούτων καὶ τὰ θνητὰ μετίσχει τῶν θείων ἀπορροιῶν· καὶ οὕτω δὴ ζῶα καὶ φυτὰ δημιουργεῖται, τὰ μὲν ἄλλων θεῶν, τὰ δὲ ἄλλων εἰκόνας φέροντα.—Ἰδ. καὶ *Χρονικὰ* Β' 6, 30. *Ψαλτήρ.* 33, 6. *Σιράχ* 43, 25. *Πράξεις Ἀποστόλων* 7, 50. *Πλάτων*, Τίμαιος 69 C. 92 B. *Ἀρριαν.* Ἐπικτήτου διατριβαί 2, 8, 10.

1) *Γένεσις*, 1, 20. 24: Καὶ εἶπεν ὁ Θεός· ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ· καὶ ἐγένετο οὕτως.. καὶ εἶπεν ὁ Θεός· ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος· καὶ ἐγένετο οὕτως. — *Ἰωάννης* 1, 1 καὶ ἑξ. Ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. — *Μάξιμος ὁ Τύριος*, λόγ. 10, 8: Αἰσθάνομαι τῶν Διὸς νευμάτων· διὰ τούτων γῆ μένει, καὶ ἀναχεῖται θάλαττα, καὶ ἀὴρ διαρρεῖ, καὶ πῦρ ἄνω θεῖ, καὶ οὐρανὸς περιφέρεται, καὶ ζῶα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτὰ εἶνε προσφιλῆ εἰς αὐτόν, καὶ αὐτὰ εἶνε πάγκαλα καὶ χαριέστατα πλάσματα αὐτοῦ, καὶ αὐτὰ εἶνε εὐλογημένα ὑπ' αὐτοῦ 1), καὶ περὶ αὐτῶν προνοεῖ ὁ ἀγαθὸς τῶν πάντων Δημιουργός 2). Αὐτοῦ θέλημα

γίνεται καὶ δένδρα φύεται. — *Εὐσέβιος*, Προπαρ. Εὐαγγελικὴ 3, 6, 5 κἑξ.: Πῶς οὖν οὐ μέγα καὶ θαυμάσιον τὸ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ τοῦ θεοῦ εὐαγγέλιον, πᾶν γένος ἀνθρώπου παιδεῦον τὸν ἡλίου καὶ σελήνης θεὸν καὶ δεσπότην καὶ δημιουργὸν τοῦ σύμπαντος κόσμου.. ταῖς προσηκούσαις ἐννοίαις εὐσεβεῖν;.. μέρη τοῦ κόσμου τὰ ὁρώμενα, καὶ πᾶν τὸ καταληπτὸν σαρκὸς αἰσθήσει, ὡς ἂν τῆς φθαρτῆς ὄντα φύσεως οὐδαμῶς καταπλήττεσθαι, τὸν δ' ἐν τούτοις ἅπασιν ἀρατον καὶ τὸν καθόλου τε καὶ κατὰ μέρος δημιουργικὸν νοῦν μόνον ἀποθαυμάζειν, καὶ θεολογεῖν μίαν μόνην ἐκείνην τὴν διήκουσαν καὶ διακοσμοῦσαν τὰ πάντα θείαν δύναμιν, ἀσώματον οὖσαν καὶ νοερὰν τὴν φύσιν, μᾶλλον δὲ ἄρρητον εἰπεῖν καὶ ἀκατάληπτον, διὰ πάντων, δι' ὧν καὶ ἐνεργεῖ. παραφαινομένην, διήκουσάν τε ἀσωμάτως καὶ ἀσυμπλόκως τὰ πάντα ἐπιπορευομένην, καὶ διὰ πάντων οὐκ οὐρανίων μόνον, ἀλλὰ καὶ τῶν ἐπὶ γῆς, τῶν τε καθόλου στοιχείων καὶ τῶν ἐπὶ μέρους, τὴν τῆς θεότητος διαρκῆ μεγαλουργίαν ἐπιδεικνυμένην, πᾶσί τε ἀφανῶς καὶ ἡμῖν ἀνεπαισθήτως ἐπιστατοῦσαν, καὶ λόγοις ἀνεκφράστου σοφίας τὸν σύμπαντα κόσμον διακυβερνῶσαν. Ἰδ. καὶ *Πλούταρχον*, περὶ Ἴσιδος καὶ Ὀσίριδος 382 Ε καὶ ἑξ. Πρβλ. καὶ *Πλωτῖνον*, Ἐννεὰς 6, 7, 9 καὶ 18 καὶ τὰ περὶ τούτων σημειούμενα ἐν τῷ τοῦ *Pauli Reallexicon*, ἄρθρ. «Πλωτῖνος», τόμ. 5, σελ. 1764, ἔκδ. 1848.

1) *Γένεσις*, 1, 25. 22: Καὶ ἐποίησεν ὁ Θεὸς τὰ θηρία τῆς γῆς.. καὶ τὰ κτήνη.. καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς.. καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν.. καὶ πᾶν πετεινὸν πτερωτόν.. καὶ ἴδεν ὁ Θεός, ὅτι καλὰ καὶ ηὐλόγησεν αὐτὰ ὁ Θεὸς λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις· καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς. — *Αἰλιανός*, ἔνθ. ἀν. 13, 1: Ἴδιον δὴ τῶν ζώων καὶ τὸ θεοφιλές.— *Σοφία Σολομῶντος* 11, 25, καὶ ἑξ.: Ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα, καὶ οὐδὲν βδελύσσῃ ὧν ἐποίησας· οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασας. Πῶς δὲ διέμεινεν ἄν τι, εἰ μὴ σὺ ἠθέλησας; ἢ τὸ μὴ κληθὲν ὑπὸ σοῦ διετηρήθη; Φείδῃ δὲ πάντων ὅτι σά ἐστι πάντα, δέσποτα φιλόψυχε. — *Πλούταρχος*, περὶ σαρκοφαγίας 994 Β: Τὰ δ' ἀδλαβῆ καὶ χειροήθη καὶ ἄκεντρα καὶ νωδὰ πρὸς τὸ δακεῖν συλλαμβάνοντες ἀποκτιννύομεν, ἃ νὴ Δία καὶ κάλλους ἕνεκα καὶ χάριτος ἡ φύσις ἔοικεν ἐξενεγκεῖν. — *Ξενοφῶν*, περὶ ἱππικῆς 5, 8: Δέδοται δὲ παρὰ θεῶν καὶ ἀγλαΐας ἕνεκα ἵππῳ χαίτη καὶ προκόμιον τε καὶ οὐρά. — *αὐτόθ.* 9, 9: Οὗτω δὲ καὶ ἔστιν ὁ μετεωρίζων ἑαυτὸν ἵππος σφόδρα ἢ καλὸν ἢ θαυμαστὸν ἢ ἀγαστὸν ὡς πάντων τῶν ὀρώντων καὶ νέων καὶ γεραιτέρων τὰ ὄμματα κατέχει. οὐδεὶς γοῦν οὔτε ἀπολείπει αὐτὸν οὔτε ἀπαγορεύει θεώμενος ἔστ' ἂν περ ἐπιδείκνυται τὴν λαμπρότητα. Ἴδε καὶ *Κλήμεντα τὸν Ἀλεξανδρέα* ἐν Στρωματ. 6, 16, ἔκδ. Potter, σελ. 812.

2) *Ματθαῖος* 6, 26: Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς τὰς ἀποθήκας· καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. — *Λουκᾶς*, 12, 24: Κατανοήσατε τοὺς κόρακας ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσι.. καὶ αὐτὸς τρέφει αὐτά — *Γένεσις* 1, 29 καὶ ἑξ: Καὶ εἶπεν ὁ Θεός· ἰδοὺ δέδωκα.. πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ τῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς πάντα χόρτον χλωρὸν εἰς βρῶσιν, καὶ ἐγένετο οὕτως. — *Ἰώβ* 38, 1. 4. 41. 39, 1 καὶ ἑξ: Εἶπεν ὁ Κύριος τῷ Ἰὼβ — ποῦ ἦσθα, ὅτε ἐθεμελίωσα τὴν γῆν; Τίς ἡτοίμασε κόρακι βοράν; νεοσσοὶ δὲ αὐτοῦ πρὸς Κύριον κεκράγασι, πλανώμενοι τὰ σῖτα ζητοῦντες.. Ἢ ἔγνως καιρὸν το-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἶνε τὰ καθ' ἡμᾶς νὰ εἶνε οὕτω διαμεμορφωμένα, ὥστε νὰ διατελῶμεν μετὰ τῶν ζώων εἰς ποιάν τινα ἐπικοινωνίαν καὶ νὰ διάγωμεν τὸν ἐπίγειον τοῦτον βίον συνεπικουροῦντες ἀλλήλοις κατὰ τὰς παντοδαπὰς ἀνάγκας ἡμῶν 1).

κετοῦ τραγελάφων πέτρας, ἐφύλαξας δὲ ὠδῖνας ἐλάφων ; . . ἐξέθρεψας δὲ αὐτῶν τὰ παιδία ἄνευ φόβου,ὠδῖνας δὲ αὐτῶν ἐξαποστελεῖς; . . τίς δ' ἔστιν ὁ ἀφεὶς ὄνον ἄγριον ἐλεύθερον ; δεσμοὺς δὲ αὐτοῦ τίς ἔλυσεν ; Ἐθέμην δὲ αὐτοῦ τὴν δίαιταν ἔρημον, καὶ τὰ σκηνώματα αὐτοῦ ἁλμυρίδα. — *Ἡσαΐας* 35, 13 καὶ ἑξ : Καὶ ἀναφύσει εἰς τὰς πόλεις αὐτῶν ἄκανθα καὶ μνίδες καὶ ἄκανοι εἰς τὰ ὀχυρώματα αὐτῆς καὶ ἔσται ἐπαύλεις σειρήνων καὶ αὐλὴ στρουθῶν . . ἐκεῖ ἀναπαύσονται ὀνοκένταυροι . . ἐκεῖ ἐνόσσευσεν ἐχῖνος . . ἐκεῖ ἔλαφοι συνήντησαν καὶ ἴδον τὰ πρόσωπα ἀλλήλων. ἀριθμῷ παρῆλθον, καὶ μία αὐτῶν οὐκ ἀπώλετο, ἑτέρα τὴν ἑτέραν οὐκ ἐξεζήτησεν, ὅτι Κύριος ἐνετείλατο αὐτοῖς, καὶ τὸ πνεῦμα αὐτοῦ συνήγαγεν αὐτά. Καὶ αὐτὸς ἐπιβαλεῖ αὐτοῖς κλήρους, καὶ ἡ χεὶρ αὐτοῦ διεμέρισε βόσκεσθαι· εἰς τὸν αἰῶνα κληρονομήσατε, εἰς γενεὰς γενεῶν ἀναπαύσονται ἐπ' αὐτῆς. — *Ψαλτήρ.* 146, 9 : Ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ· τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμαζοντι τῇ γῇ ὑετόν· τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον, καὶ διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. — *αὐτόθ.* 103, 1 καὶ ἑξ : Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον· Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα . . Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διαλεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει . . Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι . . Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσεν· ἐκεῖ στρουθία ἐννοσσεύσουσιν, τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ τοῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς . . Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπλησθη ἡ γῆ τῆς κτήσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος . . ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῶα μικρὰ μετὰ μεγάλων . . πάντα πρός σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς καιρόν· δόντος σου αὐτοῖς συλλέξουσιν· ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος. Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν· ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἦτω ἡ δόξα Κυρίου εἰς τὸν αἰῶνα· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. — *Ἀρχίλοχος*, ἀπ. 88, Bergk, τόμ. 2, σελ. 408 : Ὦ Ζεῦ, πάτερ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος, | σὺ δ' ἔργ' ἐπ' ἀνθρώπων ὁρᾷς | λεωργὰ καὶ θεμιστά, σοὶ δὲ θηρίων | ὕβρις τε καὶ δίκη μέλει. — *Αἰλιανός*, ἔνθ. ἀν. 11, 31 : Ἴδιον δὲ ἄρα τῶν ζώων καὶ ἐκεῖνο ἀγαθόν, πρόνοιαν αὐτῶν οἱ θεοὶ ποιοῦνται, καὶ οὔτε αὐτῶν καταταφρονοῦσιν οὔτε μὴν ὀλιγώρως ἔχουσιν . . ὅπως οὖν καὶ αὐτὰ φιλεῖται θεοῖς ἐρῶ, καὶ εἰ μὴ πολλὰ ἐκ πολλῶν, ὅσα δ' οὖν ἀποχρήσει. Ἀνὴρ ἱππεὺς ἵππον εἶχεν κτλ. Ἴδε προσέτι καὶ *Ψαλτήρ.* 135, 25. 144, 15.— καὶ *Πορφύριον*, περὶ ἀποχῆς ἐμψύχ. 3, 16.

1) *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 4, 9 : Κατὰ γνώμην θεῶν καὶ ταῦτα ἀλλήλοις κοινωνεῖ, καὶ σύντροφα ἡμῖν καὶ τιθασά ἐστι τῶν θηρίων τὰ ἄγρια οὐκ ἄνευ τινὸς θείας βουλήσεως. — *αὐτόθ.* 3, 12 : Καθάπερ γὰρ ἐπὶ τῶν ἀνθρώπων οἴχεται τὸ ζῆν ἀρθείσης τῆς κοινωνίας, οὕτω κἀκείνοις· ὄρνιθες γοῦν καὶ κύνες καὶ πολλὰ τῶν τετραπόδων,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οἱ ἐρασταὶ τῆς ἀληθείας, οἱ πεφωτισμένον τὸν νοῦν καὶ ἥμερον καὶ φιλάνθρωπον καὶ εὐσεβὲς τὸ ἦθος ἔχοντες, γινώσκοντες ἀκριβῶς τὰ κατὰ τὰ ζῶα, τιμῶσιν αὐτὰ κατὰ τὴν πραγματικὴν αὐτῶν ἀξίαν καὶ τὴν ἀληθῆ αὐτῶν θέσιν, ἣν κατέχουσιν ἐν τῷ διακόσμῳ τούτῳ τοῦ παντός, καὶ φέρονται πρὸς αὐτά, ὅπως προσήκει εἰς εὐγενεῖς καὶ ἀνεπτυγμένους ἀνθρώπους. Δὲν περιφρονοῦσι, δὲν ἀτιμάζουσι, δὲν μισοῦσιν αὐτά, δὲν ἀμελῶσιν αὐτῶν, δὲν ὀργίζονται κατ' αὐτῶν, ἀλλὰ πᾶν τοὐναντίον· τιμῶσι καὶ ἀγαπῶσι καὶ ἐλεοῦσι καὶ βοηθοῦσι καὶ μεγαλοφρόνως καὶ ἐλευθέρως μεταχειρίζονται αὐτά 1). Χρησιμοποιοῦσι ταῦτα εἰς τὰς παντοδαπὰς τοῦ βίου αὐτῶν χρείας καὶ πλέον οὗ. Οὔτε θεοποιοῦσιν οὔτε κατεξευτελίζουσιν αὐτά 2).

οἷον αἶγες, πρόβατα, ὄνοι, ἡμίονοι, τῆς μετ' ἀνθρώπων κοινωνίας ἀφαιρεθέντα ἔρρει. καὶ ἡ δημιουργήσασα αὐτὰ φύσις ἐν χρείᾳ τῶν ἀνθρώπων κατέστησεν, τούς τε ἀνθρώπους εἰς τὸ χρῆζειν αὐτῶν, τὸ δίκαιον ἔμφυτον αὐτοῖς τε πρὸς ἡμᾶς καὶ ἡμῖν πρὸς αὐτὰ κατασκευάσασα. Ἴδ. καὶ *Εὐσέβιον* ἐν Προπαρασκευῇ Εὐαγγελικῇ 3, 4, 7. *Κλήμεντα τὸν Ἀλεξανδρέα*, ἐν Στρωματ. 7, 6, ἔκδ. Potter, σελ. 849 καὶ *Πορφύριον*, ἔνθ. ἀν. 3, 13.

1) *Πορφύριος*, περὶ ἀποχ. κτλ. 3, 6: Ἀριστοτέλης γε καὶ Πλάτων, Ἐμπεδοκλῆς τε καὶ Πυθαγόρας, Δημόκριτός τε καὶ ὅσοι ἐρρόντισαν τὴν ἀλήθειαν περὶ αὐτῶν ἔλεῖν, ἔγνωσαν τοῦ μετέχειν τοῦ λόγου (τὰ ζῶα). — *αὐτόθ.* 3, 16: Ἀνθρώποις μὲν οὖν διὰ τὴν λαιμαργίαν οὐ δοκεῖ λόγον ἔχειν τὰ ζῶα· θεοῖς δὲ καὶ θείοις ἀνδράσιν ἐξ ἴσου τοῖς ἑκάστοις τετίμηται. — *Πλούταρχος*, περὶ Ἴσιδος καὶ Ὀσίριδος 382 A καὶ ἑξ: Εἴπερ οὖν οἱ δοκιμώτατοι τῶν φιλοσόφων οὐδ' ἐν ἀψύχοις καὶ ἀσωμάτοις πράγμασιν αἴνιγμα τοῦ θείου κατιδόντες ἠξίουν ἀμελεῖν οὐδὲν οὐδ' ἀτιμάζειν, ἔτι μᾶλλον οἴομαι τὰς ἐν αἰσθανομέναις καὶ ψυχὴν ἐχούσαις καὶ πάθος καὶ ἦθος φύσεσιν ἰδιότητας ἀγαπητέον οὖν, οὐ ταῦτα τιμῶντας, ἀλλὰ διὰ τούτων τὸ θεῖον, ὡς ἐναργεστέρων ἐσόπτρων καὶ φύσει γεγονότων, ὡς ὄργανον ἢ τέχνην ἀεὶ τοῦ πάντα κοσμοῦντος θεοῦ νομίζειν· καὶ ὅλως ἀξιοῦν γε μηδὲν ἄψυχον ἐμψύχου μηδ' ἀναίσθητον αἰσθανομένου κρεῖττον εἶναι, μηδ' ἂν τὸν σύμπαντά τις χρυσὸν ὁμοῦ καὶ σμάραγδον εἰς ταὐτὸ συμφορήσῃ. οὐκ ἐν χρόαις γὰρ οὐδ' ἐν σχήμασιν οὐδ' ἐν λειότησιν ἐγγίγνεται τὸ θεῖον, ἀλλ' ἀτιμοτέραν ἔχει νεκρῶν μοῖραν, ὅσα μὴ μετέσχε, μηδὲ μετέχειν τοῦ ζῆν πέφυκεν. ἡ δὲ ζῶσα καὶ βλέπουσα καὶ κινήσεως ἀρχὴν ἐξ αὑτῆς ἔχουσα καὶ γνῶσιν οἰκείων καὶ ἀλλοτρίων φύσις κάλλους τ' ἔσπακεν ἀπορροὴν καὶ μοῖραν ἐκ τοῦ φρονοῦντος, «ὅτῳ κυβερνᾶται τὸ σύμπαν». — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 6, 9, ἔκδ. Potter, σελ. 776: Ὁ γνωστικὸς.. οὐδὲ μὴν θυμοῦται· οὐδὲ γάρ ἐστιν ὅ τι συγκινήσει αὐτὸν πρὸς θυμόν, ἀγαπῶντα ἀεὶ τὸν Θεὸν καὶ πρὸς τούτῳ μόνῳ ὅλον τετραμμένον, καὶ διὰ τοῦτο μηδὲν τῶν κτισμάτων τοῦ Θεοῦ μεμισηκότα. — *Μάρκος Ἀντωνῖνος*, τῶν εἰς ἑαυτὸν βιβλ. 6, 23: Τοῖς ἀλόγοις ζώοις.. ὡς λόγον μὴ ἔχουσι, χρῶ μεγαλοφρόνως καὶ ἐλευθέρως.

2) *Πορφύριος*, περὶ ἀποχῆς κτλ. 1, 6: Ὃ γὰρ ἤδη εἰρήκαμεν, τὴν φύσιν αὐτάρκη μὲν οὐκ οὖσαν, ἀλλ' ἐνδεῆ πολλῶν, εἰργομένην δὲ τῆς ἀπὸ τῶν ζώων βοηθείας ἄρδην ἀναιρεῖν καὶ κατακλείειν εἰς τὸν ἄπορον καὶ ἀνόργανον καὶ ἀκτήμονα τῶν ἀναγκαίων βίον. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Προτρεπτικὸς πρὸς Ἕλληνας, κ. 10, ἔκδ. Potter,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τὸ τιμᾶν τὰ ζῶα 1), τὸ σέβεσθαι αὐτὰ καὶ προσκυνεῖν ὡς ἱερά τινα ὄντα 2), ὡς εἰκόνας καὶ εἴδωλα καὶ μιμήματα καὶ ἐμφάσεις τοῦ

σελ. 82: Μὴ γὰρ οἷον λίθους εἶναι ἱερὰ καὶ ξύλα καὶ ὄρνεα καὶ ὄφεις, ἀνθρώπους δὲ μή· πολὺ δὲ τοὐναντίον, ἱεροὺς μὲν ὄντας τοὺς ἀνθρώπους ὑπολαμβάνετε, τὰ δὲ θηρία καὶ τοὺς λίθους ὅπερ εἰσίν. — Τὰ αὐτὰ καὶ οἱ καθ' ἡμᾶς σοφοί. Ἰδ. Tylor, Die Anfänge der Cultur, Deutsch v. J. Spengel und Fr. Poske, 1873, τόμ. 2, σελ. 230: « Wir sind am Ende doch mit der Naturgeschichte vertraut genug, um unsere Ueberlegenheit über unsere « jüngeren Brüder . . » anzuerkennen, über Geschöpfe, die wir nicht verehren, sondern kennen lernen und benutzen sollen ».

1) *Ἡρόδοτος*, 2, 75: Τὴν ἶδιν . . *τετιμῆσθαι* λέγουσιν Ἀράβιοι μεγάλως πρὸς Αἰγυπτίων· ὁμολογέουσι δὲ καὶ Αἰγύπτιοι . . τιμᾶν τὰς ὄρνιθας ταύτας. — *Πλούταρχος*, περὶ Ἴσιδος καὶ Ὀσίριδος 380 E: Ἐν Αἰγύπτῳ . . κοινὰς ἐχόντων τὰς τιμάς, οἷόν ἐστιν ἶδις καὶ ἱέραξ καὶ κυνοκέφαλος καὶ Ἆπις. — *αὐτόθ.* 364 C: Ὁ δὲ ἐν Ἡλίου πόλει τρεφόμενος βοῦς ὃν Μνεῦιν καλοῦσιν . . δευτέρας ἔχει τιμὰς μετὰ τὸν Ἆπιν. — *αὐτόθ.* 366 F: Καὶ τὸν λέοντα τιμῶσιν Αἰγύπτιοι. — *αὐτόθ.* 368 F: Πάλαι τὰς μεγίστας ἐν Αἰγύπτῳ τιμὰς ὁ κύων ἔσχεν. — *Στράβων* 17, 19, σελ. 802: Μένδη πόλις . . ὅπου τὸν Πᾶνα τιμῶσι καὶ τῶν ζώων τράγον. — *αὐτόθ.* 17, 38, σελ. 811: Ἐν Ἀρσινόῃ . . σφόδρα ἐν τῷ νομῷ τούτῳ τιμῶσι τὸν κροκόδειλον. — *αὐτόθ.* 17, 39, σελ. 812: Ἡρακλέους πόλις, ἐν ᾗ ὁ ἰχνεύμων τιμᾶται. — *αὐτόθ.* 17, 40, σελ. 812: Τινὰ τῶν ζώων ἅπαντες κοινῇ τιμῶσιν Αἰγύπτιοι, καθάπερ τῶν μὲν πεζῶν τρία, βοῦν κύνα αἴλουρον, τῶν δὲ πτηνῶν δύο, ἱέρακα καὶ ἶδιν, τῶν δὲ ἐνύδρων δύο, λεπιδωτὸν ἰχθὺν καὶ ὀξύρυγχον· ἄλλα δ' ἐστὶν ἃ τιμῶσι καθ' ἑαυτοὺς ἕκαστοι . . πρόβατον — λάτον ἰχθὺν — λύκον — κυνοκέφαλον — κῆβον — ἀετὸν — λέοντα — αἶγα — τράγον — μυγαλῆν, ἄλλοι δ' ἄλλο τι. — *Πορφύριος*, περὶ ἀποχ. κτλ. 4, 10: Αἰγύπτιοι ἐτίμησαν τὰ ζῶα. — *Μάξιμος ὁ Τύριος*, λόγ. 8, 5: Μέμφομαι καὶ τῶν Αἰγυπτίων νόμον. Βοῦν ἐκεῖνοι τιμῶσι καὶ ὄρνιν καὶ τράγον καὶ τοῦ ποταμοῦ τοῦ Νείλου τὰ θρέμματα, ὧν θνητὰ μὲν τὰ σώματα, θεῖοι δὲ οἱ βίοι, ταπεινὴ δὲ ἡ ὄψις, ἀγεννὴς δὲ ἡ θεραπεία, αἰσχρὰ δὲ ἡ τιμή. Ἀποθνήσκει θεὸς Αἰγυπτίοις, καὶ πενθεῖται θεός, καὶ δείκνυται παρ' αὐτοῖς ἱερὸν θεοῦ καὶ τάφος θεοῦ. — *Αἰλιανός*, ἔνθ. ἀν. 12, 40: Τιμῶσι δ' ἄρα Δελφοὶ μὲν λύκον . . Σάμιοι δὲ πρόβατον . . Ἀμπρακιῶται λέαιναν. — *Πλούταρχος*, περὶ Ἴσιδος κτλ. 380 E: Ἐτίμησαν Λήμνιοι κορύδους . . Θεσσαλοὶ πελαργούς.

2) *Ἡρόδοτος*, 2, 65-74: Ἐοῦσα Αἴγυπτος ὅμουρος τῇ Λιβύῃ οὐ μάλα θηριώδης ἐστί· τὰ δ' ἐόντα σφι ἅπαντα ἱρὰ νενόμισται (ἶδις, ἱέραξ, αἴλουρος, κύνες, ἰχνεύμονες, μυγαλῆ, ἄρκτοι, λύκοι, κροκόδειλοι, ἵπποι οἱ ποτάμιοι, ἔνυδρίες ποτάμιοι, ἰχθὺς ὁ λεπιδωτός, ἔγχελυς, χναλώπεκες, φοῖνιξ). — *Πλούταρχος*, περὶ Ἴσιδος κτλ. 380 E: Ὁ γὰρ Ἆπις δοκεῖ μετ' ὀλίγων ἄλλων ἱερὸς εἶναι Ὀσίριδος. — *αὐτόθ.* 379 D: Ἕλληνες νομίζουσιν ἱερὸν Ἀφροδίτης ζῶον εἶναι τὴν περιστερὰν καὶ τὸν δράκοντα τῆς Ἀθηνᾶς καὶ τὸν κόρακα τοῦ Ἀπόλλωνος καὶ τὸν κύνα τῆς Ἀρτέμιδος. — *Παυσανίας* 2, 28, 1: Δράκοντες ἱεροὶ τοῦ Ἀσκληπιοῦ νομίζονται. — *Ἡρόδοτος* 2, 74: Εἰσὶ δὲ περὶ Θήβας (τὰς Αἰγυπτιακὰς) ἱροὶ ὄφεις. — *αὐτόθ.* 8, 41: Λέγουσιν Ἀθηναῖοι ὄφιν μέγαν φύλακα τῆς Ἀκροπόλεως ἐνδιαιτᾶσθαι ἐν τῷ ἱρῷ . . λέγουσί τε ταῦτα καὶ δὴ ὡς ἐόντι ἐπιμηνίᾳ ἐπιτελέουσι προτιθέντες· τὰ δὲ ἐπιμηνία μελιτόεσσά ἐστι. — *Πορφύριος*, ἔνθ. ἀν. 4, 9: Αἰγύπτιοι σέβονται . . πάντα τὰ ζῶα. — *Ἡρόδοτος* 2, 41:

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Θεοῦ καὶ τῆς θείας αὐτοῦ δυνάμεως 1), τὸ λατρεύειν αὐτὰ ὡς θεούς 2), τὸ ἀνεγείρειν εἰς αὐτὰ ναοὺς καὶ ἱδρύειν ξόανα καὶ ἀγάλ-

Βοῦς τὰς θηλείας Αἰγύπτιοι πάντες ὁμοίως σέβονται προβάτων πάντων μάλιστα μακρῷ. — *Μάξιμος ὁ Τύριος*, λόγ. 8, 6: Ἀλέξανδρος .. Πέρσας ἑλὼν .. ἦλθεν εἰς τὴν Ἰνδῶν γῆν .. Ἐπεδείκνυεν Ἀλεξάνδρῳ Ταξίλης τὰ θαυμαστὰ τῆς Ἰνδῶν γῆς .. ἐν δὲ τοῖς ἔδειξε καὶ ζῶον ὑπερφυές .. ᾧ Ἰνδοὶ ἔθυον· δράκων ἦν μῆκος πεντάπλεθρον, ἐτρέφετο δὲ ἐν χωρίῳ κοίλῳ, ἐν κρημνῷ βαθεῖ, τείχει ὑψηλῷ ὑπὲρ τῶν ἄκρων περιβεβλημένος· καὶ ἀνήλισκε τὰς Ἰνδῶν ἀγέλας, χορηγούντων αὐτῷ τροφήν. βοῦς καὶ ὄϊς, καθάπερ τυράννῳ μᾶλλον ἢ θεῷ. — *Πλούταρχος*, Συμποσ. προβλ. 703 A: Λέγεται .. Αἰγυπτίων ἐνίους μὲν τὸ κυνῶν γένος ἅπαν σέβεσθαι καὶ τιμᾶν, ἐνίους δὲ τῶν λύκων ἢ κροκοδείλων. — *Αἰλιανός*, ἔνθ. ἀν. 12, 7: Λέοντας ἐν Αἰγύπτῳ σέβεσθαι. — *αὐτόθ.* 12, 11: Σέβουσι δ' Αἰγύπτιοι καὶ μέλανα ταῦρον. — *Στράβων*, 17, 39: Ἀρσινοΐται .. κροκοδείλους σέβονται καὶ ἀπέχονται αὐτῶν. — *Πορφύριος*, ἔνθ. ἀν. 4, 10: Διὰ τῶν ζώων Αἰγύπτιοι τοὺς θεοὺς ἐσέφθησαν. — *Αἰλιανός*, ἔνθ. ἀν. 12, 5: Αἰγύπτιοι μὲν οὖν σέβοντές τε καὶ ἐκθεοῦντες γένη ζώων διάφορα γέλωτα ὀφλισκάνουσι παρά γε τοῖς πολλοῖς· Θηβαῖοι δὲ σέβουσιν Ἕλληνες ὄντες, ὡς ἀκούω, γαλῆν .. οἱ δὲ τὴν ἀμαξιτὸν τῆς Τρῳάδος κατοικοῦντες μῦν σέβουσιν. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 2, ἔκδ. Potter, σελ. 34, : Ἀλλ' οὖν γε Αἰγύπτιοι .. κατὰ τὰς θρησκείας τὰς σφῶν ἐσκέδανται· σέβουσι δέ .. φάγρον τὸν ἰχθύν, μαιώτην δὲ ὃς ἄλλος οὗτος ἰχθὺς .. ὀξύρυγχον .. ἰχνεύμονα .. πρόβατον .. λύκον .. κύνα .. τὸν Ἄπιν .. τὸν τράγον· ὑμεῖς δὲ .. οἳ τοὺς Αἰγυπτίους ὀσημέραι γελῶντες οὐ παύεσθε, ὁποῖοί τινες καὶ περὶ τὰ ἄλογα ζῶα; Θεσσαλοὶ μὲν ὑμῶν τοὺς πελαργοὺς τετιμήκασι .. Θηβαῖοι δὲ τὰς γαλᾶς .. Θετταλοὶ μύρμηκας .. τοὺς ἀμφὶ τὴν Τρῳάδα (ἱστοροῦσι) τοὺς ἐπιχωρίους μῦς, οὓς σμίνθους καλοῦσι θρησκεύειν .. περὶ τὴν Ἀκαρνανίαν, ἔνθα τὸ Ἄκτιόν ἐστιν ἀκρωτήριον .. ταῖς μυίαις προθύουσι βοῦν .. πρόβατον σέβουσι Σάμιοι.

1) *Πορφύριος*, περὶ ἀποχ. 4, 9: Κάνθαρον Αἰγύπτιοι ἐσέφθησαν ὡς *εἰκόνα* ἡλίου ἔμψυχον. — *Πλούταρχος*, περὶ Ἴσιδος κτλ. 362 D: Ὡς ἔμμορφον *εἰκόνα* γῆ νομίζειν τῆς Ὀσίριδος ψυχῆς τὸν Ἄπιν. — *αὐτόθ.* 366 E: Βοῦν Ἴσιδος *εἰκόνα* καὶ γῆς νομίζουσιν. — *αὐτόθ.* 380 F: Αἰγύπτιοι ἐτίμησαν .. ἀσπίδα καὶ γαλῆν καὶ κάνθαρον, *εἰκόνας* τινὰς ἐν αὐτοῖς ἀμαυρὰς ὥσπερ ἐν σταγόσιν ἡλίου τῆς τῶν θεῶν δυνάμεως κατιδόντες. — *αὐτόθ.* 368 E: Ὁ δὲ τούτων ὑποφαύων καὶ καλούμενος ὁρίζων κύκλος .. Ἀνουβὶς κέκληται καὶ κυνὶ *τὸ εἶδος ἀπεικάζεται*. — *αὐτόθ.* 359 B: Λέγουσιν .. ἐν Μέμφει τρέφεσθαι τὸν Ἄπιν *εἴδωλον* ὄντα τῆς Ὀσίριδος ψυχῆς, ὅπου καὶ τὸ σῶμα κεῖσθαι. — *αὐτόθ.* 381 B: Ὁ κροκόδειλος *μίμημα* τοῦ θεοῦ λέγεται γεγονέναι, μόνος .. ἄγλωσσος ὤν .. φωνῆς γὰρ ὁ θεῖος λόγος ἀπροσδεής ἐστι. — *Ἡρόδοτος* 2, 65: Αἰγύπτιοι εὐχόμενοι τῷ θεῷ τοῦ ἂν ᾖ τὸ θηρίον. — *Πορφύριος*, ἔνθ. ἀν. 4, 9: Τὴν γὰρ ἐπὶ πάντα δύναμιν τοῦ θεοῦ διὰ τῶν συννόμων ζώων ὧν ἕκαστος τῶν θεῶν *παρέσχεν* ἐθρήσκευσαν.

2) *Εὐσέβιος*, Προπαρασκευὴ Εὐαγγελική 3, 4, 4: Θέα εἰς οἷα Αἰγυπτίων καταπέπτωκεν ἡ θεολογία, τὴν ἄψυχον οὐσίαν καὶ τὰ νεκρὰ καὶ ἄλογα σώματα θειάζουσα. — *Πορφύριος*, ἔνθ. ἀν. 4, 9: Αἰγύπτιοι εἰς τὴν θεοποιίαν παρέλαβον πᾶν ζῶον. — *Εὐσέβιος*, ἔνθ. ἀν. 3, 5, 1: Δοκεῖν Αἰγυπτίοις θεοὺς ἀνηγορεῦσαι τὰ θηρία. — *Στράβων*, 17, 22: Οἱ Μωμεμῥῖται τὴν Ἀφροδίτην τιμῶσι καὶ τρέφεται θήλεια βοῦς ἱερά, καθάπερ ἐν Μέμφει ὁ Ἄπις, ἐν Ἡλίου δὲ πόλει ὁ Μνεῦις. οὗτοι μὲν οὖν θεοὶ νομίζονται,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ματα αὐτῶν 1), ὅπως ἀπὸ καταβολῆς κόσμου, ἀπὸ τῶν ἀρχαιοτάτων ἤδη χρόνων 2) μέχρι τῶν καθ' ἡμᾶς χρόνων πάμπολλοι τῆς γῆς λαοὶ διατελοῦσι πράττοντες 3), εἶνε τοῦ λογισμοῦ παράπτωμα δει-

— *Πορφύριος*, ἔνθ. ἀν. 4, 9: Ὁ λέων ὡς θεὸς θρησκεύεται, καὶ μέρος τι τῆς Αἰγύπτου, ὃ καλοῦσι νομόν, ἐπώνυμον ἔχει Λεοντοπολίτην, ἄλλο δὲ Βουσειρίτην, ἄλλο δὲ Λυκοπολίτην. — *Διόδωρος*, 1, 18: Αἰγύπτιοι τὸν τράγον ἀπεθέωσαν.

1) *Στράβων* 17, 28: Μετὰ δὲ τὰ προπύλαια ὁ νεὼς πρόναον ἔχων μέγαν καὶ ἀξιόλογον, τὸν δὲ σηκὸν σύμμετρον, ξόανον δ' οὐδέν, ἢ οὐκ ἀνθρωπόμορφον, ἀλλὰ τῶν ἀλόγων ζώων τινός. — *αὐτόθ.* 17, 40: Ἑξῆς δ' ἐστὶν ὁ Κυνοπολίτης νομὸς καὶ κυνῶν πόλις, ἐν ᾗ ὁ Ἄνουβις τιμᾶται καὶ τοῖς κυσὶ τιμὴ καὶ σίτισις τέτακταί τις ἱερά. ἐν δὲ τῇ περαίᾳ Ὀξύρυγχος πόλις καὶ νομὸς ὁμώνυμος· τιμῶσι δὲ τὸν ὀξύρυγχον καὶ ἔστιν αὐτοῖς ἱερὸν ὀξυρύγχου. — *αὐτόθ.* 17, 37: Ἐγγὺς δὲ καὶ ἡ Μέμφις αὐτὴ τὸ βασίλειον τῶν Αἰγυπτίων . . ἔχει δὲ ἱερὰ τό τε τοῦ Ἄπιδος, ὅπου ὁ βοῦς ὁ Ἄπις ἐν σηκῷ τινι τρέφεται, θεὸς ὡς ἔφην νομιζόμενος . . ἔστι δ' αὐλὴ προκειμένη τοῦ σηκοῦ, ἐν ᾗ ἄλλος σηκὸς τῆς μητρὸς τοῦ βοός.

2) Πλὴν τῶν μικρὸν ἀνωτέρω περὶ τῆς *ζωολατρείας* μνημονευομένων χωρίων ἴδ. προσέτι καὶ *Ἡρόδοτ.* 2, 37. 65. *Πλούταρχ.* περὶ Ἴσιδ. καὶ Ὀσίρ. 353 C. 358 B. 359 D. 362 D. 368 C. 379 B - 382 C. *Στράβ.* 17, 27. 40. 47. *Διόδωρ.* 1, 21. 86 - 88. *Εὐσέβ.* Προπαρ. Εὐαγγ. 3, 2, 7 - 3, 8. *Ὠριγένην* κατὰ Κέλσου, βιβλ. 4 ἐν τέλει. *Αἰλιαν.* 16, 39. Περὶ δὲ τῆς *ὀφιολατρείας* ἐν γένει καὶ τῆς αἱρέσεως τῶν Ὀφιανῶν ἢ Ὀφιτῶν ἰδίως ἴδ. *Δανιὴλ* 12, 23. *Βασιλειῶν Δ'* 18, 4. *Κλήμεντα τὸν Ἀλεξανδρέα*, Στρωμ. 7, 17, ἔκδ. Potter, σελ. 900. Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 2, ἔκδ. Potter, σελ. 11. 19. 2ᵘ. *Ὠριγέν.* κατὰ Κέλσου βιβλ. 3 ἐν ἀρχῇ. Τοῦ αὐτοῦ κατὰ πασῶν αἱρέσ. ἔλεγχος βιβλ. 8 ἐν τέλει.

Πρέπει δὲ τοῖς ὄντως ἄρχουσι πάντα πείθεσθαι τοὺς ἀρχομένους, καὶ ὑπακούειν προθύμως, καὶ τιμᾶν ὡς μετὰ θεὸν εὐεργέτας.. Εἰ δὲ ὀνόματι μόνον τύχωσιν ἄρχοντες, τὰ τοῖς ἄρχουσι προσήκοντα μὴ πράττοντες· καὶ οὕτως, ὡς μὲν μοχθηρῶν χρὴ καταγινώσκειν, τὸ δὲ τῇ ἀρχῇ προσῆκον ἀποδιδόναι, πρωτείων παραχωροῦντας, καὶ πειθομένους ἐφ' οἷς κατὰ τὴν ψυχὴν οὐ βλαπτόμεθα.

18. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 3, 24, 105.

Μέγα γὰρ ἐπὶ πάντων τό, Ἥδειν θνητὸν γεγεννηκώς. Οὕτω γὰρ ἐρεῖς καὶ σύ, ὅτι ἤδειν θνητὸς ὤν, ἤδειν ἀποδημητικὸς ὤν, ἤδειν ἔκβλητος ὤν, ἤδειν εἰς φυλακὴν ἀπακτὸς ὤν. Εἶτ', ἂν ἐπιστραφῇς κατὰ σαυτόν, καὶ ζήτησῃς τὴν χώραν, ἐξ ἧς ἐστι τὸ συμβεβηκός, εὐθὺς ἀναμνησθήσῃ ὅτι ἐκ τῆς τῶν ἀπροαιρέτων, τῶν οὐκ ἐμῶν. Τί οὖν πρός ἐμέ; Εἶτα τὸ κυριώτατον· Τίς δ' αὐτὸ καὶ ἐπιπέπομφεν; Ὁ ἡγεμών, ἢ ὁ στρατηγός, ἡ πόλις, ὁ τῆς πόλεως νόμος. Δὸς οὖν αὐτό· δεῖ γάρ με ἀεὶ τῷ νόμῳ πείθεσθαι ἐν παντί.

19. Πλάτων, Κρίτων 51 Ε.

Τὸν μὴ πειθόμενον — ἡμῖν τοῖς νόμοις — τριχῇ φαμὲν ἀδικεῖν, ὅτι τε γεννηταῖς οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν πείθεσθαι οὔτε πείθεται οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν, προτιθέντων ἡμῶν καὶ οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν ἃ ἂν κελεύωμεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

20. Ξενοφῶν, Κύρου Παιδεία 8, 1, 2.

Ἐννοήσατε γὰρ δή, τίς ἂν πόλις πολεμία ὑπὸ μὴ πειθομένων ἁλοίη; τίς δ' ἂν φιλία ὑπὸ μὴ πειθομένων διαφυλαχθείη; ποῖον δ' ἂν ἀπειθούντων στράτευμα νίκης τύχοι; πῶς δ' ἂν μᾶλλον ἐν μάχαις ἡττῷντο ἄνθρωποι, ἢ ἐπειδὰν ἄρξωνται ἰδίᾳ ἕκαστος περὶ τῆς σωτηρίας βουλεύεσθαι; τί δ' ἂν ἄλλο ἀγαθὸν τελεσθείη ὑπὸ μὴ πειθομένων; ποῖαι δὲ πόλεις νομίμως ἂν οἰκήσειαν; ἢ ποῖοι οἶκοι σωθείησαν; πῶς δ' ἂν νῆες ὅποι δεῖ ἀφίκοιντο; . . εἰ τοίνυν μέγιστον ἀγαθὸν τὸ πειθαρχεῖν φαίνεται εἰς τὸ καταπράττειν τἀγαθά, οὕτως εὖ ἴστε ὅτι αὐτὸ τοῦτο καὶ εἰς τὸ διασώζειν ἃ δεῖ μέγιστον ἀγαθόν ἐστιν.

21. Τιμαίῳ Λοκρῷ, περὶ ψυχῆς κόσμω καὶ φύσιος 104 B.

Οὗτος γάρ ἐστιν ὅρος σωφροσύνης, εὐπείθειά τε καὶ καρτερία.

22. Αἰσχύλος, Ἑπτὰ ἐπὶ Θήβας 225.

Πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας
μήτηρ, γονῆς σωτῆρος.

23. Σοφοκλῆς, Ἀντιγόνη 672.

Ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακόν.
αὕτη πόλεις ὄλλυσιν, ἠδ' ἀναστάτους
οἴκους τίθησιν· ἥδε συμμάχου δορὸς
τροπὰς καταρρήγνυσι· τῶν δ' ὀρθουμένων
σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία.

24. Πλάτων, Νόμοι 942 C.

Τοῦτο καὶ ἐν εἰρήνῃ μελετητέον εὐθὺς ἐκ τῶν παίδων, ἄρχειν τε ἄλλων ἄρχεσθαί θ' ὑφ' ἑτέρων· τὴν δ' ἀναρχίαν ἐξαιρετέον ἐκ παντὸς τοῦ βίου ἁπάντων τῶν ἀνθρώπων τε καὶ τῶν ὑπ' ἀνθρώπους θηρίων.

25. Δίδυμος ὁ Πυθαγόρειος (Mullach 2, 80).

Πειθαρχικὸς μόνος ὁ σπουδαῖός ἐστιν, ἀκολουθητικὸς ὢν ἄρχοντι. Τῶν δ' ἀφρόνων οὐδεὶς τοιοῦτος· οὔτε γὰρ ἄρχειν οὔτε ἄρχεσθαι οἷός ἐστιν ὁ ἄφρων, αὐθάδης τις ὤν, καὶ ἀνάγωγος 1).

---

1) Ἔτι καὶ *Γένεσις* 3, 17 καὶ ἑξ.—*Μακκαβαίων Δ'*. 5, 16. 9, 2. 15, 9. 10.—*Βασιλειῶν Α'*. 2, 25.—*Λουκᾶς*, 2, 51.—*Παῦλος*, πρὸς Ρωμαίους 1, 30.—*Ὅμηρος*, Ὀδυσ. ι 44 καὶ ἑξ.—*Ἡσίοδος*, Ἔργα καὶ ἡμέραι 85 κἑξ.—*Ἡρόδοτος* 7, 104.—*Σοφο-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

2. ΑΛΗΘΕΙΑ ΚΑΙ ΨΕΥΔΟΣ

Θάνατος τῆς ψυχῆς τὸ ψεῦδος. Βδελυρὰ τὰ ψευδῆ χείλη. Ὀλέθριον τὸ ψεῦδος καὶ ἐπίμεμπτον. Οἱ ἀπαίδευτοι ψεύδονται. Προτιμότερον κλέπτης παρὰ ψεύστης. Ὁ ἐρειδόμενος ἐπὶ ψεύδεσι διώκει ὄρνεα πετόμενα Ἐν ἀληθείᾳ ἔστω ἡ ζωή σου. Θεοφιλὴς ὁ λαλῶν ἀλήθειαν καὶ ὁ μὴ ἀθετῶν τὰς ὑποσχέσεις αὐτοῦ· οἱ τοιοῦτοι εὐοδοῦνται ἐν τοῖς ἔργοις αὐτῶν. Ἕως θανάτου ἀγωνίσθητι ὑπὲρ τῆς ἀληθείας καὶ Κύριος ὁ Θεὸς πολεμήσει ὑπὲρ σοῦ. Ὑπὲρ πάντα νικᾷ ἡ ἀλήθεια. Ἔστω ὁ λόγος ὑμῶν Ναὶ ναί, Οὒ οὔ. Μισεῖ ὁ Θεὸς τὸ ψεῦδος. Ὁ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῶσι τὰ ἔργα αὐτοῦ ὅτι εἶνε ἐν Θεῷ εἰργασμένα.— Τέκνον τοῦ Θεοῦ εἶνε ἡ ἀλήθεια· μόνη αὕτη συνδιαιτᾶται μετ' αὐτοῦ. Ὅμοιοι τῷ Θεῷ οἱ ἀληθεύοντες. Θειότητος ὄρεξις ἡ τῆς ἀληθείας ἔρευνα. Ἡ ἀλήθεια τὸ μέγιστον τῶν θείων δώρων καὶ ἡ μεγίστη τῷ Θεῷ παρὰ τῶν ἀνθρώπων προσφορά. Θεία ἰδιότης ἡ ἀλήθεια. Ἀθάνατον χρῆμα ἡ ἀλήθεια καὶ ἀΐδιον, διακρίνουσα τὰ δίκαια καὶ τὰ νόμιμα ἀπὸ τῶν ἀδίκων καὶ ἀνόμων. Εἶδος τῆς δικαιοσύνης ἡ ἀλήθεια. Σεβαστὸν τοῖς ἀνθρώποις τὸ ἀληθές. Πάντων μέγιστον καὶ ὀρθότατον καὶ ἰσχυρότατον καὶ κράτιστον καὶ ἀνίκητον ἡ ἀλήθεια. Αὕτη ὑπὲρ πᾶν ἄλλο ἀσφαλίζει τὸν βίον. Ἡ ἀλήθεια οὐδέποτε μένει κεκρυμμένη μέχρι τέλους. Τὸ κάλλος αὐτῆς εἶνε ἔκλαμπρον. Ἄνασσα καὶ ἀρχὴ μεγάλων ἀρετῶν ἡ ἀλήθεια. Ἐν ταύτῃ κεῖται τῶν ἀνδρῶν ἡ ἀρετή. Ἄνευ αὐτῆς οὐδὲν ὄφελος τῆς ἐμπειρίας καὶ ἀγχινοίας. Λέγε πάντοτε τὴν ἀλήθειαν· τοῦτο εἶνε δικαιότατον. Ἐπὶ τῆς ἀληθείας καὶ τῆς πίστεως ἑδράζεται ἡ εὐκοσμία τοῦ κοινωνικοῦ βίου. Πανταχοῦ καὶ πάντοτε ὁ εὐθύγλωσσος εὐδαιμονεῖ. Χαριέστατον τὸ νὰ ἀπέλθῃ τις ἐκ τοῦδε τοῦ βίου ἄγευστος ψευδολογίας καὶ ὑποκρίσεως.— Τὸ ψεῦδος μισεῖται καὶ ὑπὸ τοῦ Θεοῦ καὶ ὑπὸ τῶν ἀνθρώπων· τοῦτο εἶνε τῆς ἀνοήτου καὶ ἀλόγου φύσεως. Ὁ ψευδόμενος ἀσεβεῖ πρὸς τὸν Θεόν. Κιβδηλεία, ψεῦδος καὶ ἀπάτη εἶνε ἓν καὶ τὸ αὐτό, πάντα δὲ θεομισέστατα. Ὑβρίζει τὴν ἑαυτοῦ ψυχήν, ὅταν τις ἀναλήθως λέγῃ τι ἢ ποιῇ. Νόσημα αἴσχιστον οἱ σύνθετοι λόγοι. Ἀνελεύθερον τὸ ψεῦδος καὶ βαρβάρων ἴδιον. Ἀναιδέστατος καὶ θεοκατάρατος ὁ ψευδόμενος. Τὸ ψεῦδος δὲν λανθάνει ἐπὶ μακρόν. Οὐδὲν ὄφελος ἐκ τῶν ψευδῶν λόγων. Ἐν ἀρχῇ τὸ ψεῦδος εὐδοκιμεῖ πως, πάντως ὅμως σὺν τῷ χρόνῳ καταφωρᾶται καὶ καταισχύνεται. Ἀπεχθὴς ὁ ψεύστης.— Τιμητέα ὑπὸ τῆς πολιτείας ἡ ἀλήθεια καὶ τιμωρητέον τὸ ψεῦδος. Οἱ ψεῦσται παραίτιοι πάντων τῶν ἐν τοῖς ἀνθρώποις ἁμαρτημάτων καὶ ἀδικημάτων. Τὸ ψεύδεσθαι ἀνελεύθερον, ἡ ἀλήθεια γενναῖον. Τῆς ἀληθείας τὸ φῶς. Λέγε πάντοτε τὴν ἀλήθειαν. Οὐδείς ποτε ὑπὸ τῆς ἀληθείας ἐβλάβη. Ἀσθενὲς τὸ ψεῦδος· ἀφαιρεῖ τὴν τόλμην, ἀποστρέφει τὴν γλῶσσαν, ἐμφράττει τὸ στόμα, ἄγχει, σιωπᾶν ποιεῖ. Ἡ ἀλήθεια τὸ ὑπέρτατον τῶν ἀγαθῶν. Ἄπιστος καὶ ἄνους ὁ ψεύστης. Ἕκαστος τιμάτω τὸ καλὸν καὶ τὸ ἀληθὲς καὶ μισείτω τὸ αἰσχρὸν καὶ τὸ ψεῦδος. Ἐκ παίδων κολαστέον τοὺς φιλοψευδεῖς καὶ φιλητέον τοὺς φιλαλήθεις.

κλῆς, Αἴας 1069-1084. Ἀντιγ. 666 κέξ.—*Πλάτων*, Νόμ. 718 C. 762 E. 942 A.—*Δημοσθένης*, Κατὰ Ἀριστογείτονος Β, 25, σελ. 808.—*Ξενοφῶν*, Κύρου Παιδεία 1, 2, 8. 4, 1, 3. 8, 1, 29.—*Πολύβιος* 6, 4, 5. 24, 8 6, 1 καὶ 2.—*Πλούταρχος*, Κεφαλαίων καταγραφή, 273 F. Βίος Λυκούργου, κεφ. 16 καὶ 30, σελ. 50 καὶ 58.—Ἐπίκτητος Διατριβ. 2, 6, 15.—*Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 2, 6, 15. 2, 10, 8. 4, 1, 118 καὶ 159

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οὐδὲν τῆς ἀληθείας οἰκειότερον τῇ σοφίᾳ. Ἡγουμένης τῆς ἀληθείας οὐδὲν κακὸν εἶνε δυνατόν ποτε νὰ ἐπισυμβῇ. Ὁ φιλαλήθης ἀποκτᾷ ὑγιὲς καὶ δίκαιον ἦθος καὶ γίνεται σώφρων.

1. Σοφία Σολομῶντος 1, 11.

Στόμα καταψευδόμενον ἀναιρεῖ ψυχήν.

2. Παροιμίαι 12, 22.

Βδέλυγμα Κυρίου χεῖλη ψευδῆ· ὁ δὲ ποιῶν πίστεις δεκτὸς παρ' αὐτῷ.

3. Σιρὰχ 7, 12.

Μὴ ἀροτρία ψεῦδος ἐπ' ἀδελφῷ σου, μηδὲ φίλῳ τὸ ὅμοιον ποίει. Μὴ θέλε ψεύδεσθαι πᾶν ψεῦδος· ὁ γὰρ ἐνδελεχισμὸς αὐτοῦ οὐκ εἰς ἀγαθόν.

4. Σιρὰχ 20, 24 - 27.

Μῶμος πονηρὸς ἐν ἀνθρώπῳ ψεῦδος· ἐν στόματι ἀπαιδεύτων ἐνδελεχισθήσεται. Αἱρετὸν κλέπτης ἢ ὁ ἐνδελεχίζων ψεύδει· ἀμφότεροι δὲ ἀπώλειαν κληρονομήσουσιν. Ἦθος ἀνθρώπου ψευδοῦς ἀτιμία, καὶ ἡ αἰσχύνη αὐτοῦ μετ' αὐτοῦ ἐνδελεχῶς.

5. Παροιμίαι 9, 12.

Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους, ὁ δ' αὐτὸς διώξεται ὄρνεα πετόμενα· ἀπέλειπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος, τοὺς δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται· διαπορεύεται δὲ δι' ἀνύδρου ἐρήμου καὶ γῆν διατεταμένην ἐν διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν.

6. Σιρὰχ 5, 11.

Ἔστω ἐν ἀληθείᾳ ἡ ζωή σου.

7. Ψαλτήριον 14, 1 καὶ ἑξ.

Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου, ἢ τίς κατασκηνώσει ἐν ὄρει τῷ ἁγίῳ σου; Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην· λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ· ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ . . ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ, καὶ οὐκ ἀθετῶν . . ὁ ποιῶν ταῦτα, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

8, Τωβὶτ 4, 6.

Παιδίον . . ποιοῦντός σου τὴν ἀλήθειαν, εὐοδίαι ἔσονται ἐν τοῖς ἔργοις σου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

9. Σιρὰχ 4, 25. 28.

Μὴ ἀντέλεγε τῇ ἀληθείᾳ κατὰ μηδὲ ἕν, καὶ περὶ ψεύσματος τῆς ἀπαιδευσίας σου ἐντράπηθι . . Ἕως θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας, καὶ Κύριος ὁ Θεὸς πολεμήσει ὑπὲρ σοῦ.

10. Ὁ Ἱερεύς, 3, 12 καὶ 4, 34-41.

Ὑπὲρ πάντα νικᾷ ἡ ἀλήθεια . . Ἄνδρες . . μεγάλη ἡ γῆ, καὶ ὑψηλὸς ὁ οὐρανός, καὶ ταχὺς τῷ δρόμῳ ὁ ἥλιος, ὅτι στρέφεται ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ, καὶ πάλιν ἀποτρέχει εἰς τὸν ἑαυτοῦ τόπον ἐν μιᾷ ἡμέρᾳ. Οὐχὶ μέγας ὃς ταῦτα ποιεῖ; καὶ ἡ ἀλήθεια μεγάλη καὶ ἰσχυροτέρα παρὰ πάντα. Πᾶσα ἡ γῆ τὴν ἀλήθειαν καλεῖ, καὶ ὁ οὐρανὸς αὐτὴν εὐλογεῖ, καὶ πάντα τὰ ἔργα σείεται καὶ τρέμει, καὶ οὐκ ἔστι μετ' αὐτῆς ἄδικον οὐδέν . . Ἡ ἀλήθεια μένει καὶ ἰσχύει εἰς τὸν αἰῶνα, καὶ ζῇ καὶ κρατεῖ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ οὐκ ἔστι παρ' αὐτῇ λαμβάνειν πρόσωπα, οὐδὲ διάφορα, ἀλλὰ τὰ δίκαια ποιεῖ, ἀπὸ πάντων τῶν ἀδίκων καὶ πονηρῶν ἀπέχεται· καὶ πάντες εὐδοκοῦσι τοῖς ἔργοις αὐτῆς. Καὶ οὐκ ἔστιν ἐν τῇ κρίσει αὐτῆς οὐδὲν ἄδικον· καὶ αὕτη, ἡ ἰσχύς, καὶ τὸ βασίλειον, καὶ ἡ ἐξουσία, καὶ ἡ μεγαλειότης τῶν πάντων αἰώνων. Εὐλογητὸς ὁ Θεὸς τῆς ἀληθείας.

11. Ματθαῖος 5, 37.

Ἔστω δὲ ὁ λόγος ὑμῶν, Ναὶ ναί, Οὒ οὔ.

12, Ζαχαρίας, 8, 16.

Λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, ἀλήθειαν καὶ κρίμα εἰρηνικὸν κρίνετε ἐν ταῖς πύλαις ὑμῶν . . ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε· διότι ταῦτα πάντα ἐμίσησα, λέγει Κύριος παντοκράτωρ.

13. Παῦλος, πρὸς Ἐφεσίους 4, 25.

Ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ· ὅτι ἐσμὲν ἀλλήλων μέλη.

14. Ἰωάννης 3, 19.

Τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς· ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ· ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν Θεῷ ἐστιν εἰργασμένα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἡ ἀλήθεια.

15. Πίνδαρος, Ὀλυμπιονικῶν 10, 3.

Θυγάτηρ Ἀλάθεια Διός.

16. Στοβαῖος, Ἀνθολ. 11, 2. Ὀλυμπιάδος.

Ἀλάθεια θεῶν ὁμόπολις, μόνα θεοῖς συνδιαιτωμένα.

17. Αὐτόθι 11, 25. Πυθαγόρου.

Πυθαγόρας ἐρωτηθεὶς τί ποιοῦσιν ἄνθρωποι θεοῖς ὅμοιον, ἔφη « ἐὰν ἀληθεύωσιν ».

18. Δημόκριτος, ἀπ. 45 (Mullach, 1, 382).

Θεῷ ὅμοιον ἔχει ἄνθρωπος τὸ εὖ ποιεῖν, ὅταν τὸ εὖ ποιεῖν μὴ καπηλεύηται, καὶ τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.

19. Πλούταρχος, περὶ Ἴσιδος καὶ Ὀσίριδος 351 Ε.

Θειότητος ὄρεξίς ἐστιν ἡ τῆς ἀληθείας . . ἔφεσις.

20. Ἰσοκράτης, ἀποσπάσματα, III Ἀποφθέγματα α'. 7.

Οἱ ἄνθρωποι τότε γίνονται βελτίους, ὅταν θεῷ προσέρχωνται· ὅμοιον δ' ἔχουσι θεῷ τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.

21. Πλούταρχος, περὶ Ἴσιδος καὶ Ὀσίριδος 351 C.

Οὐδὲν ἀνθρώπῳ λαβεῖν μεῖζον οὐδὲ χαρίσασθαι θεῷ σεμνότερον ἀληθείας.

22. Ὅμηρος, Ἰλιὰς Α 524.

Εἰ δ' ἄγε τοι κεφαλῇ κατανεύσομαι, ὄφρα πεποίθῃς·
τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον
τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν
οὐδ' ἀτελεύτητον, ὅτι κεν κεφαλῇ κατανεύσω.

23. Δημόκριτος, ἀπ. 38 (Mullach, 1, 381).

Ἀθάνατον χρῆμα ἡ ἀλήθεια καὶ ἀίδιον, παρέχει δὲ ἡμῖν οὐ κάλλος χρόνῳ μαραινόμενον, οὔτε παρρησίαν ἀφαιρεῖ τὴν ὑπὸ δίκης· ἀλλὰ τὰ δίκαια καὶ τὰ νόμιμα, διακρίνουσα ἀπ' αὐτῶν τὰ ἄδικα καὶ ἀπελέγχουσα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

24. Ἀριστοτέλης, περὶ ἀρετῶν καὶ κακιῶν 1250, 6, 16.

Δικαιοσύνης δ' ἐστὶ . . καὶ τὸ ἀληθεύειν ἐν τῷ διαφέροντι, καὶ τὸ διαφυλάττειν τὰς ὁμολογίας.

25. Δημόκριτος, ἀπ. 238 (Mullach, 1, σελ. 355).

Ἀνθρώποισι πᾶσι σεβαστά ἐστι τὸ ἀγαθὸν καὶ ἀληθές· ἡδὺ δὲ ἄλλω ἄλλο.

26. Αὐτόθι, ἀπ. 37 (Mullach, 1, 381).

Μηδὲν τῆς ἀληθείας τιμιώτερον ἔστω.

27. Κλήμης ὁ Ἀλεξανδρεύς, Στρωμ. 7, 16, ἔκδ. Potter σελ. 897.

Ἀληθείας δὲ μεῖζον οὐδέν.

28. Σοφοκλῆς, Ἀντιγόνη 1195.

Ὀρθὸν ἀλήθει' ἀεί.

29. Αἰσχίνης, Κατὰ Τιμάρχου, 84.

Οὕτως ἰσχυρόν ἐστιν ἡ ἀλήθεια, ὥστε πάντων ἐπικρατεῖ τῶν ἀνθρωπίνων λογισμῶν.

30. Μένανδρος, ἀπ. 487 (Kock, τόμ. 3, σελ. 141).

Ἀεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν.
ἐν παντὶ καιρῷ τοῦτ' ἐγὼ παρεγγυῶ
εἰς ἀσφάλειαν τῷ βίῳ πλεῖστον μέρος.

31. Σοφοκλῆς, ἀπ. 513.

Θάρσει· λέγων τἀληθὲς οὐ σφαλεῖ ποτε.

32. Αὐτόθι, ἀπ. 692.

Τἀληθὲς ἀεὶ πλεῖστον ἰσχύει λόγου.

33. Κλήμης ὁ Ἀλεξανδρεύς, Στρωμ. 6, 10, ἔκδ. Potter σελ. 780.

Ἀνίκητος γάρ, φασίν, ἡ ἀλήθεια· ψευδοδοξία δὲ καταλύεται.

34. Μένανδρος, ἀπ. 823 (Kock, 3, 222).

Ἀδύνατον, ὡς ἔοικε, τἀληθὲς λαθεῖν.

35. Πολύβιος 13, 5, 4.

Καί μοι δοκεῖ μεγίστην θεὸν τοῖς ἀνθρώποις ἡ φύσις ἀποδεῖξαι τὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλήθειαν καὶ μεγίστην αὐτῇ προσθεῖναι δύναμιν. πάντων γοῦν αὐτὴν καταγωνιζομένων, ἐνίοτε καὶ πασῶν τῶν πιθανοτήτων μετὰ τοῦ ψεύδους ταττομένων, οὐκ οἶδ' ὅπως αὐτὴ δι' αὑτῆς εἰς τὰς ψυχὰς εἰσδύεται τῶν ἀνθρώπων, καὶ ποτὲ μὲν παραχρῆμα δείκνυσι τὴν αὐτῆς δύναμιν, ποτὲ δὲ καὶ πολὺν χρόνον ἐπισκοτισθεῖσα, τέλος αὐτὴ δι' ἑαυτῆς ἐπικρατεῖ καὶ καταγωνίζεται τὸ ψεῦδος.

36. Φιλήμων, ἀπόσπ. 77 (Kock, 2, 497).

Οὐκ ἔστιν οὔτε ζωγράφος, μὰ τοὺς θεούς,
οὔτ' ἀνδριαντοποιός, ὅστις ἂν πλάσαι
κάλλος τοιοῦτον, οἷον ἀλήθει' ἔχει.

37. Πλάτων, Νόμοι 663 Ε.

Καλὸν . . ἡ ἀλήθεια . . καὶ μόνιμον.

38. Πίνδαρος, ἀπ. 205.

Ἀρχὰ μεγάλας ἀρετᾶς, ὦνασσ' Ἀλάθεια, μὴ πταίσῃς ἐμὰν
σύνθεσιν τραχεῖ ποτὶ ψεύδει.

39. Βακχυλίδης, ἀπόσπ. 22 (Bergk, 3, 576).

Λυδία μὲν γὰρ λίθος μανύει χρυσόν,
ἀνδρῶν δ' ἀρετὰν σοφίαν τε παγκρατὴς ἐλέγχει ἀλάθεια.

40. Κωμικῶν ἀδέσποτα, ἀπ. 347 α (Kock, 3, 474).

Ἀληθείας . .
ἧς μὴ παρούσης οὐδέν ἐστ' ἐμπειρίας
οὐδ' ἀγχινοίας ὄφελος.

41. Πίνδαρος, Πυθιονικῶν 1, 86.

Ἀψευδεῖ δὲ πρὸς ἄκμονι
χάλκευε γλῶσσαν.

42. Μίμνερμος, ἀπόσπ. 8 (Bergk, 2, 28).

Ἀληθείη δὲ παρέστω
σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον.

43. Σιμπλίκιος, Ἐξήγησις εἰς Ἐπικτήτου Ἐγχειρίδ. κεφ. 40 (ἔκδ. Dübner, σελ. 134, στίχ. 36).

Τὰς ἐπὶ τοῖς τυχοῦσιν ὁμολογίας παραβαίνειν ἄτοπον καὶ ἀσεβὲς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δοκεῖ, ὡς τῆς ἀληθείας καὶ τῆς πίστεως, δι' ὧν τὰ πάντα ὑφίσταται καὶ μένει, ὅσον ἐφ' ἡμῖν, ἀκυρουμένων.

44. Πίνδαρος, Πυθιονικῶν 2, 86.

Ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει,
παρὰ τυραννίδι, χὠπόταν ὁ λάβρος στρατός,
χῶταν πόλιν οἱ σοφοὶ τηρέωντι.

45. Μάρκος Ἀντωνῖνος, Τῶν εἰς ἑαυτὸν 9, 2.

Χαριεστέρου μὲν ἂν ἦν ἀνδρός, ἄγευστον ψευδολογίας καὶ πάσης ὑποκρίσεως καὶ τρυφῆς καὶ τύφου γενόμενον, ἐξ ἀνθρώπων ἀπελθεῖν.

Τὸ ψεῦδος.

46. Πλάτων, Πολιτεία 382 C.

Τὸ μὲν δὴ τῷ ὄντι ψεῦδος οὐ μόνον ὑπὸ θεῶν ἀλλὰ καὶ ὑπ' ἀνθρώπων μισεῖται.

47. Ὅμηρος, Ἰλ. Δ 235.

Οὐ γὰρ ἐπὶ ψευδέσσι πατὴρ Ζεὺς ἔσσετ' ἀρωγός.

48. Φιλόλαος, ἀπ. 13 (Mullach, 2, 4).

Τᾶς ἀπείρω καὶ ἀνοήτω καὶ ἀλόγω φύσιος τὸ ψεῦδος . . ἐστί.

49. Μάρκος Ἀντωνῖνος, Τῶν εἰς ἑαυτὸν 9, 1.

Ὁ ἀδικῶν, ἀσεβεῖ. Τῆς γὰρ τῶν ὅλων φύσεως κατεσκευακυίας τὰ λογικὰ ζῶα ἕνεκεν ἀλλήλων, ὥστε ὠφελεῖν μὲν ἄλληλα κατ' ἀξίαν, βλάπτειν δὲ μηδαμῶς, ὁ τὸ βούλημα ταύτης παραβαίνων, ἀσεβεῖ δηλονότι εἰς τὴν πρεσβυτάτην τῶν θεῶν. Καὶ ὁ ψευδόμενος δὲ ἀσεβεῖ περὶ τὴν αὐτὴν θεόν. Ἡ γὰρ τῶν ὅλων φύσις ὄντων ἐστὶ φύσις. Τὰ δέ γε ὄντα πρὸς τὰ ὑπάρχοντα πάντα οἰκείως ἔχει. Ἔτι δὲ καὶ ἀλήθεια αὕτη ὀνομάζεται, καὶ τῶν ἀληθῶν ἁπάντων πρώτη αἰτία ἐστίν. Ὁ μὲν οὖν ἑκὼν ψευδόμενος ἀσεβεῖ, καθόσον ἐξαπατῶν ἀδικεῖ· ὁ δὲ ἄκων καθόσον διαφωνεῖ τῇ τῶν ὅλων φύσει, καὶ καθόσον ἀκοσμεῖ, μαχόμενος τῇ τοῦ κόσμου φύσει· μάχεται γὰρ ὁ ἐπὶ τἀναντία τοῖς ἀληθέσι φερόμενος παρ' ἑαυτόν· ἀφορμὰς γὰρ προειλήφει παρὰ τῆς φύσεως, ὧν ἀμελήσας οὐχ οἷός τέ ἐστι νῦν διακρίνειν τὰ ψευδῆ ἀπὸ τῶν ἀληθῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

50. Πλάτων, Νόμοι 916 D-917 B.

Κιβδηλείαν δὲ χρὴ πάντα ἄνδρα διανοηθῆναι καὶ ψεῦδος καὶ ἀπάτην ὡς ἕν τι γένος ὄν . . ψεῦδος μηδεὶς μηδὲν μηδ' ἀπάτην μηδέ τι κίβδηλον, γένος ἐπικαλούμενος θεῶν, μήτε λόγῳ μήτε ἔργῳ πράξειεν, ὁ μὴ θεομισέστατος ἔσεσθαι μέλλων· οὗτος δ' ἐστὶν ὃς ἂν ὅρκους ὀμνὺς ψευδεῖς μηδὲν φροντίζῃ θεῶν, δεύτερος δὲ ὃς ἂν ἐναντίον τῶν κρειττόνων αὐτοῦ ψεύδηται. κρείττους δὲ οἱ ἀμείνους τῶν χειρόνων πρεσβῦταί τε ὡς ἐπὶ τὸ πᾶν εἰπεῖν τῶν νέων, διὸ καὶ γονεῖς κρείττους ἐκγόνων . . ἄρχοντές τε ἀρχομένων· οὓς αἰδεῖσθαι πᾶσι πάντας πρέπον ἂν εἴη . . πᾶς . . τῶν κατ' ἀγορὰν ὁ κιβδηλεύων τι ψεύδεταί καὶ ἀπατᾷ . . οὔτε ἀνθρώπους αἰδούμενος οὔτε θεοὺς σεβόμενος.

51. Μάρκος Ἀντωνῖνος, Τῶν εἰς ἑαυτόν, βιβλ. 2, 16.

Ὑβρίζει ἑαυτὴν ἡ τοῦ ἀνθρώπου ψυχή . . ὅταν ὑποκρίνηται, καὶ ἐπιπλάστως καὶ ἀναλήθως τι ποιῇ ἢ λέγῃ.

52. Αἰσχύλος, Προμηθεὺς 685.

Νόσημα γὰρ
αἴσχιστον εἶναί φημι συνθέτους λόγους.

53. Σοφοκλῆς, Τραχίνιαι 453.

Ἀλλ' εἰπὲ πᾶν τἀληθές· ὡς ἐλευθέρῳ
ψευδεῖ καλεῖσθαι κὴρ πρόσεστιν οὐ καλή.

54. Ἡρόδοτος 8, 142.

Ἐπισταμένοισι ὡς βαρβάροισί ἐστι οὔτε πιστὸν οὔτ' ἀληθὲς οὐδέν.

55. Ὅμηρος, Ἰλιὰς Ι 372.

Αἰὲν ἀναιδείην ἐπιειμένος. οὐδ' ἂν ἐμοί γε
τετλαίη κύνεός περ ἐὼν εἰς ὦπα ἰδέσθαι.
οὐδὲ τί οἱ βουλὰς συμφράσσομαι, οὐδὲ μὲν ἔργον·
ἐκ γὰρ δή μ' ἀπάτησε καὶ ἤλιτεν. οὐδ' ἂν ἔτ' αὖτις
ἐξαπάφοιτ' ἐπέεσσιν· ἄλις δέ οἱ. ἀλλ' ἔκπλος
ἐρρέτω· ἐκ γὸρ εὐ φρένας εἵλετο μητίετα Ζεύς.

56. Σοφοκλῆς, ἀπόσπ. 59.

Ἀλλ' οὐδὲν ἕρπει ψεῦδος ἐς γῆρας χρόνου.

57. Σοφοκλῆς, ἀπόσπ. 717.

Οὐκ ἐξάγουσιν καρπὸν οἱ ψευδεῖς λόγοι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

58. Θέογνις 607 (Bergk, 2, 173).

Ἀρχῇ ἔπι ψεύδους μικρὴ χάρις· ἐς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακόν, ἀμφότερον,
γίνεται· οὐδ' ἔπι καλόν, ὅτῳ ψεῦδος προσομαρτῇ
ἀνδρὶ καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

59. Δημοσθένης, Ὀλυνθιακὸς Β' 10, σελ. 20.

Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι, ἀλλὰ τὰ τοιαῦτα εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει, καὶ σφόδρα γε ἤνθισεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ, τῷ χρόνῳ δὲ φωράται καὶ περὶ αὐτὰ καταρρεῖ. ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει.

60. Ὅμηρος, Ἰλιὰς Ι 312.

Ἐχθρός γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.

61. Πλάτων, Πολιτεία 389 Β-D.

Ἀλλὰ μὴν καὶ ἀλήθειάν γε περὶ πολλοῦ ποιητέον . . Ἂν ἄρα . . τινὰ λαμβάνῃ — ὁ ἄρχων — ψευδόμενον ἐν τῇ πόλει . . κολάσει ὡς ἐπιτήδευμα εἰσάγοντα πόλεως ὥσπερ νεὼς ἀνατρεπτικόν τε καὶ ὀλέθριον.

62. Πλούταρχος, Ἀποφθέγματα Λακωνικά. Ἐπαινέτου 220 C.

Ἐπαίνετος πάντων ἔφη τοὺς ψεύστας τῶν ἁμαρτημάτων καὶ τῶν ἀδικημάτων αἰτίους εἶναι.

---

63. Στοβαῖος. Ἀνθολ. 11, 20. Ἀπολλωνίου.

Ψεύδεσθαι ἀνελεύθερον, ἀλήθεια γενναῖον.

64. Εὐριπίδης, Ἰφιγένεια ἐν Ταύροις 1026.

Κλεπτῶν γὰρ ἡ νύξ, τῆς δ' ἀληθείας τὸ φῶς.

65. Φωκυλίδης, Γνῶμαι, 7 (Bergk, 2, 82).

Ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντ' ἀγορεύειν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

66. Μάρκος Ἀντωνῖνος, Τῶν εἰς ἑαυτὸν 6, 21.

Ζητῶ τὴν ἀλήθειαν, ὑφ' ἧς οὐδεὶς πώποτε ἐβλάβη. Βλάπτεται δὲ ὁ ἐπιμένων ἐπὶ τῆς ἑαυτοῦ ἀπάτης καὶ ἀγνοίας.

67. Δημοσθένης, περὶ τῆς Παραπρεσβείας 208, σελ. 406.

Τἀληθὲς ἰσχυρόν, καὶ τοὐναντίον ἀσθενὲς τὸ συνειδέναι πεπρακόσιν αὐτοῖς τὰ πράγματα. τοῦτο παραιρεῖται τὴν θρασύτητα τὴν τούτων, τοῦτ' ἀποστρέφει τὴν γλῶτταν, ἐμφράττει τὸ στόμα, ἄγχει, σιωπᾶν ποιεῖ.

68. Πλάτων, Νόμοι 730 Β.

Ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δ' ἀνθρώποις· ἧς ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἶη, ἵνα ὡς πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ. πιστὸς γάρ· ὁ δὲ ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον· ὅτῳ δ' ἀκούσιον, ἄνους. ὧν οὐδέτερον ζηλωτόν· ἄφιλος γὰρ δὴ πᾶς ὅ τε ἄπιστος καὶ ἀμαθής, χρόνου δὲ προϊόντος γνωσθεὶς εἰς τὸ χαλεπὸν γῆρας ἐρημίαν αὑτῷ πᾶσαν κατεσκευάσατο ἐπὶ τέλει τοῦ βίου, ὥστε ζώντων καὶ μὴ ἑταίρων καὶ παίδων σχεδὸν ὁμοίως ὀρφανὸν αὑτῷ γενέσθαι τὸν βίον.

69. Χαρώνδας, 9 (Mullach, 1, 540).

Τιμάτω δὲ ἕκαστος τὸ καλὸν καὶ τὸ ἀληθές, καὶ μισείτω τὸ αἰσχρὸν καὶ τὸ ψεῦδος· ταῦτα γὰρ ἀρετῆς σημεῖα καὶ κακίας. Διὸ χρὴ συνεθίζειν ἐκ παίδων κολάζοντας μὲν τοὺς φιλοψευδεῖς, φιλοῦντας δὲ τοὺς φιλαλήθεις, ἵν' ἐμφυσιῶται ἑκάστῳ τὸ κάλλιστον καὶ σπερματωδέστατον τῆς ἀρετῆς.

70. Πλάτων, Πολιτεία 485 Β.

Τόδε τοίνυν μετὰ τοῦτο σκόπει εἰ ἀνάγκη ἔχειν πρὸς τοῦτο ἐν τῇ φύσει, οἵ ἂν μέλλωσιν ἔσεσθαι οἵους ἐλέγομεν. Τὸ ποῖον; Τὴν ἀψευδειαν καὶ τὸ ἑκόντας εἶναι μηδαμῇ προσδέχεσθαι τὸ ψεῦδος, ἀλλὰ μισεῖν, τὴν δ' ἀλήθειαν στέργειν. Εἰκός γ', ἔφη. Οὐ μόνον γε, ὦ φίλε, εἰκός, ἀλλὰ καὶ πᾶσα ἀνάγκη . . Ὀρθῶς, ἔφη. Ἦ οὖν οἰκειότερον σοφίᾳ τι ἀληθείας ἂν εὕροις. Καὶ πῶς; ἦ δ' ὅς. Ἦ οὖν δυνατὸν εἶναι τὴν αὐτὴν φύσιν φιλόσοφόν τε καὶ φιλοψευδῆ; Οὐδαμῶς γε. Τὸν ἄρα τῷ ὄντι φιλομαθῆ πάσης ἀληθείας δεῖ εὐθὺς ἐκ νέου ὅ τι μάλιστα ὀρέγεσθαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

71. Πλάτων, Πολιτεία 490 Β.

Τί οὖν; τούτῳ τι μετέσται ψεῦδος ἀγαπᾶν ἢ πᾶν τοὐναντίον μισεῖν; Μισεῖν, ἔφη. Ἡγουμένης δὴ ἀληθείας οὐκ ἄν ποτε, οἶμαι, φαῖμεν αὐτῇ χορὸν κακῶν ἀκολουθήσει. Πῶς γάρ; Ἀλλ' ὑγιές τε καὶ δίκαιον ἦθος, ᾧ καὶ σωφροσύνην ἕπεσθαι 1).

---

3. ΛΑΙΜΑΡΓΙΑ ΚΑΙ ΓΑΣΤΡΟΣ ΕΓΚΡΑΤΕΙΑ

Τό τέλος ἀπώλεια ὧν ὁ θεὸς ἡ κοιλία. Φάγε ὡς ἄνθρωπος τὰ παρακείμενά σοι. Ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ τὸ ὀλίγον. Ὕπνος ὑγείας ἐν ἐντέρῳ μετρίῳ. Δι' ἀπληστίαν πολλοὶ ἐτελεύτησαν. Ἀνδραποδῶδες τὸ νὰ ἐξουσιάζηται τις ὑπὸ τῆς κοιλίας. Ἡ βασιλεία τοῦ Θεοῦ οὐκ ἔστι βρῶσις καὶ πόσις ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν Πνεύματι ἁγίῳ.— Ἡ λαιμαργία εἶνε πάθος ἐν τῇ ὑπερβολῇ τῆς ἀπολαύσεως σιτίων καὶ ὄψων κείμενον. Τὸ χρηστὸν δὲν κεῖται ἐν βορᾷ γαστρός. Ὁ λαίμαργος παραμελεῖ τὰ πρὸς τοὺς γονεῖς καὶ τὴν πολιτείαν καθήκοντα αὐτοῦ, γίνεται ἀμβλύνους, ἀποβαναυσοῦται, ἀποκτηνοῦται, ἀποθηριοῦται, κινεῖ τὴν βδελυγμίαν τῶν ἀνθρώπων, γίνεται νωθρὸς τὴν ψυχήν, νοσηρὸς τὸ σῶμα, βάναυσος καὶ βδελυρὸς εἰς τὰς ἐπιθυμίας αὐτοῦ, ὑπὸ βαναύσων καὶ βδελυρῶν περιστοιχούμενος, δυσπαθὴς πρὸς τὸ καλόν, ἀμβλύνους, ἄφρων, ἐγατορωρυγμένον εἰς τὴν κοιλίαν τὸν νοῦν διατηρῶν. Φυγαδευτέον ὅθεν πάσῃ μηχανῇ καὶ περικοπτέον πυρὶ καὶ σιδήρῳ καὶ μηχαναῖς παντοίαις ἀπὸ κοιλίας πολυτέλειαν. Ἐθιστέον δὲ καὶ διδακτέον ἐγκράτειαν γαστρὸς καὶ ποτοῦ ἔτι ἐν γάλαξιν ὄντας τοὺς παῖδας, καὶ δὴ διὰ πάν-

1) Ἔτι καὶ *Γένεσις* 20, 16.— *Βασιλειῶν* Δ' 20, 3.— *Παραλειπομένων* Β' 19, 10.— *Λευιτικὸν* 19. 11.— *Παροιμίαι* 14, 5. 19, 5. 22. 20, 17. 28. 21, 3. 6. 28. 24, 22. 26, 28. 28, 6.— *Σοφία Σιράχ* 5, 14. 15, 8. 25, 2. 26, 5. 27, 9. 31, 8. 36, 19. 37, 15. 41, 17.— *Νεεμίας* 7, 2.— *Τωβὶτ* 13, 6. 14, 7.— *Ἡσαΐας* 26, 2. 38, 3. — *Ἔπειτα· Ὅμηρος*, Ἰλ. Γ 106. Ε 831. Ζ 163. Ω 261. Ὀδυσ. γ 20. 328. λ 364. — *Πίνδαρος*, Νεμεον. 8, 25. 8, 35. Ὀλυμπιον. 10, 13. Πυθιον. 4, 105. Ἰσθμιον. 6, 72. — *Αἰσχύλος*, Ἀγαμέμνων 620. Ἀπόσπ. 173.— *Σοφοκλῆς*, Ἀντιγ. 180. Φιλοκτ. 108. 843. Οἰδ. Τύραν. 356. 369. Ἀπόσπ. 323. — *Εὐριπίδης*, Ἀνδρομάχη 321. Φοίνισσαι 469. Ἰφιγένεια ἐν Ταύρ. 1064. — *Πλάτων*, Πολιτ. 389 D. 382 A καὶ ἑξ. 508 D - 509 A. 535 D καὶ ἑξ. Νόμοι 738 E. 667 C. — *Λυσίας*, ἀπαράσημα, ἀριθμ. 86. — *Πολύβιος*, 6, 2 α. 19. — *Μέναδρος*, ἀπόσπ. 778 (Kock 3, 216).— *Πλούταρχος*, Περὶ τοῦ βίου καὶ τῆς ποιήσ. Ὁμήρου, κεφ. 186. Περὶ Ἴσιδος καὶ Ὀσίριδος 378 Β.— *Πορφύριος*, πρὸς Μάρκελλαν 14. — *Ἐπίκτητος*, Ἐγχειρίδ. κεφ. 52, 1. Ἀπόσπ. 40. 139. 140. — *Κέβης ὁ Θηβαῖος*, πίναξ, κεφ. 18.— *Μάρκος Ἀντωνῖνος*, Τῶν εἰς ἑαυτὸν 11, 1. — *Γαληνός*, περὶ ψυχῆς παθῶν, βιβλ. 1 κεφ. 7, ἔκδ. Kuhn, τόμ. 5, σελ. 39. ἔκδ. Marquardt, τόμ. 1, σελ. 30. — Περὶ ψυχῆς ἁμαρτημάτων, βιβλ. 2, κεφ. 2, ἔκδ. Kuhn, τόμ. 5, σελ. 65. ἔκδ. Marquardt, τόμ. 1, σελ. 50. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς βιβλ. 5, κεφ. 14, ἔκδ. Potter, σελ. 707. 6, 10, Potter, σελ. 781. 7, 8, Potter, σελ. 862-863, — *Ἰωάννης ὁ Στοβαῖος*, Ἀνθολογ. 11, 1-25. 12, 1-26.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

των τῶν παιδευτικῶν καὶ διδακτικῶν μέσων, διὰ τοῦ φόβου καὶ τοῦ νόμου καὶ τοῦ ἀληθοῦς λόγου καὶ τῆς ἐπικλήσεως τῆς ἄνωθεν συναντιλήψεως. Βδελυρὸν καὶ ὀλέθριον τὸ πάθος τῆς λαιμαργίας· στρέφει τὴν τῆς ψυχῆς ὄψιν πρὸς τὰ κάτω, ἀπαμβλύνει τὸ γάνωμα τῆς ψυχῆς καὶ τὸ φέγγος, ἀφαιρεῖ ἀπ' αὐτῆς τὴν αὐγὴν καὶ τὸν τόνον, καθιστᾷ αὐτὴν ἀνίκανον νὰ κατευθυνθῇ ποτε πρὸς τὰ λεπτὰ καὶ δυσθεώρητα τέλη τῶν πραγμάτων. Ὁ ἐπὶ γαστέρα βίος εἶνε ὅ τι ἄσεμνον καὶ ἐπονείδιστον καὶ εἰδεχθὲς καὶ καταγέλαστον, αὐτόχρημα ἀλλοτριώτατον τῆς θείας φύσεως.

1. Παῦλος, πρὸς Φιλιππησίους 3, 19.

Τὸ τέλος ἀπώλεια, ὧν ὁ θεὸς ἡ κοιλία.

2. Σιρὰχ 34, 16 καὶ ἑξ.

Φάγε ὡς ἄνθρωπος τὰ παρακείμενά σοι, καὶ μὴ διαμασῶ, μὴ μισηθῇς· παῦσαι πρῶτος χάριν παιδείας, καὶ μὴ ἀπληστεύου μήποτε προσκόψῃς· καὶ εἰ ἀναμέσον πλειόνων ἐκάθισας, πρότερος αὐτῶν μὴ ἐκτείνῃς τὴν χεῖρά σου. Ὡς ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ τὸ ὀλίγον, καὶ ἐπὶ τῆς κοίτης αὐτοῦ οὐκ ἀσθμαίνει. Ὕπνος ὑγιείας ἐπὶ ἐντέρῳ μετρίῳ· ἀνέστη πρωί, καὶ ἡ ψυχὴ αὐτοῦ μετ' αὐτοῦ· πόνος ἀγρυπνίας καὶ χολέρα καὶ στρόφος μετ' ἀνδρὸς ἀπλήστου.

3. Σιρὰχ 37, 29.

Μὴ ἀπληστεύου ἐν πάσῃ τρυφῇ, καὶ μὴ ἐκχυθῇς ἐπὶ ἐδεσμάτων· ἐν πολλοῖς γὰρ βρώμασιν ἔσται νόσος, καὶ ἡ ἀπληστία ἐγγιεῖ ἕως χολέρας· δι' ἀπληστίαν πολλοὶ ἐτελεύτησαν, ὁ δὲ προσέχων προσθήσει ζωήν.

4. Παῦλος, πρὸς Κορινθίους Α' 6, 12-13.

Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος. Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει.

5. Παῦλος, πρὸς Ρωμαίους 14, 17.

Οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν Πνεύματι Ἁγίῳ.

---

6. Πλούταρχος, Ἐρωτικὸς 750 D.

Ἐπὶ σιτίον ἄγει καὶ ὄψον ἡ φύσις μετρίως καὶ ἱκανῶς τὴν ὄρεξιν, ἡ δ' ὑπερβολὴ πάθος ἐνεργασαμένη λαιμαργία τις ἢ φιλοψία καλεῖται·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

7. Κωμικῶν ἀδέσποτα, ἀπ. 617 (Kock 3, 519).

Οὐ γὰρ ἐν γαστρὸς βορᾷ
τὸ χρηστόν ἐστιν.

8. Ἄλεξις, ἀπόσπ. 25 (Kock 2, 306).

Γαστρὸς οὐδὲν ἴδιον.
αὕτη πατήρ σοι καὶ πάλιν μήτηρ μόνη.
ἀρεταὶ δὲ πρεσβεῖαί τε καὶ στρατηγίαι
κόμποι κενοὶ ψοφοῦσιν ἀντ' ὀνειράτων.

9. Κωμικῶν ἀδέσποτα, Ἀπόσπ. 1234 (Kock 3, 613).

Παχεῖα γαστὴρ λεπτὸν οὐ τίκτει νόον.

10. Πλάτων, Πολιτεία 586 Α.

Οἱ .. εὐωχίαις καὶ τοῖς τοιούτοις ἀεὶ ξυνόντες .. βοσκημάτων δίκην κάτω ἀεὶ βλέποντες καὶ κεκυφότες εἰς γῆν καὶ εἰς τραπέζας βόσκονται χορταζόμενοι καὶ ὀχεύοντες, καὶ ἕνεκα τῆς τούτων πλεονεξίας λακτίζοντες καὶ κυρίττοντες ἀλλήλους σιδηροῖς κέρασί τε καὶ ὁπλαῖς ἀποκτυννίασι δι' ἀπληστίαν, ἅτε οὐχὶ τοῖς οὖσιν οὐδὲ τὸ ὂν οὐδὲ τὸ στέγον ἑαυτῶν πιμπλάντες.

11. Μάξιμος ὁ Τύριος, Λόγος 4, 8.

Ἄφελε τὴν γαστρὸς ἐπιθυμίαν, καὶ ἀφεῖλες τοῦ ἀνθρώπου τὸ θηρεῖον· ἄφελε τὴν αἰδοίων ἐπιθυμίαν, καὶ διέκοψας τὸ θηρίον. Μέχρι δὲ ταῦτά τῳ συζῇ καὶ συντρέφεται, καὶ πρὸς αὐτὰ τῇ θεραπείᾳ νένευκεν, ἀνάγκη τὰς ἐκείνων ὀρέξεις κρατεῖν, καὶ βοᾶν τὴν ψυχὴν τὰς ἐκείνων φωνάς.

12. Ἄλεξις, ἀπ. 212 (Kock 2, 374).

Μάθοις τ' ἂν οἷον ἀνθρώποις κακόν
ἔστιν ἡ γαστήρ, διδάσκει δ' οἷ', ἀναγκάζει θ' ὅσα.
εἴ τις ἀφέλοι τοῦτ' ἀφ' ἡμῶν τὸ μέρος ἀπὸ τοῦ σώματος,
οὔτ' ἂν ἀδικοῖτ' οὐδὲν οὐδεὶς οὔθ' ὑβρίζοι τἂν ἑκών.
νῦν δὲ διὰ ταύτην ἅπαντα γίνεται τὰ δυσχερῆ.

13. Πλάτων, Πολιτεία 354 Β.

Οἱ λίχνοι τοῦ ἀεὶ παραφερομένου ἀπογεύονται ἁρπάζοντες, πρὶν τοῦ προτέρου μετρίως ἀπολαῦσαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

14. Λουκιανός, Τίμων ἢ μισάνθρωπος, κεφ. 54 καὶ 55.

Ἀλλὰ τί τοῦτο; οὐ Θρασυκλῆς ὁ φιλόσοφος οὑτός ἐστιν; οὐ μὲν οὖν ἄλλος . . οὗτος ἐπειδὴ λουσάμενος ἀφίκοιτο ἐπὶ τὸ δεῖπνον . . προαρπάζων ὥσπερ ἵκτινος τὸ ὄψα καὶ τὸν πλησίον παραγκωνιζόμενος, καρύκης τὸ γένειον ἀνάπλεως, κυνηδὸν ἐμφορούμενος, ἐπικεκυφώς, καθάπερ ἐν ταῖς λοπάσι τὴν ἀρετὴν εὑρήσειν προσδοκῶν, ἀκριβῶς τὰ τρύβλια τῷ λιχανῷ ἀποσμήχων, ὡς μηδὲ ὀλίγον τοῦ μυττωτοῦ καταλίποι. μεμψίμοιρος ἀεί, κἂν τὸν πλακοῦντα ὅλον ἢ τὸν σῦν μόνος τῶν ἄλλων λάβοι, ὅ τι περ λιχνείας καὶ ἀπληστίας ὄφελος.

15. Μένανδρος, ἀπ. 1086 (Kock 3, 264).

Γαστὴρ ὅλον τὸ σῶμα, πανταχῆ βλέπων
ὀφθαλμός, ἕρπον τοῖς ὀδοῦσι θηρίον.

16. Κλήμης ὁ Ἀλεξανδρεύς, Παιδαγωγός, λόγ. 2, κεφ. 1 (ἔκδ. Potter, σελ. 167-177).

Ἀγαθὴ κουροτρόφος αὐτάρκεια . . ἡ δ' ὑπερβλύζουσα τὴν αὐτάρκειαν δίαιτα, τὸν ἄνθρωπον κακοῖ· νωθῆ μὲν τὴν ψυχήν, ἐπισφαλὲς δὲ εἰς τὴν νόσον ἐργαζομένη τὸ σῶμα· ναὶ μὴν προστρίβονται βλασφημίας δυσανασχετοῦσαι περὶ τὰς καρυκείας ἡδοναί· λιχνείαν, λαιμαργίαν, ὀψοφαγίαν, ἀπληστίαν, ἀδηφαγίαν. Μυῖαι τούτοις οἰκεῖαι τοῖς ὀνόμασι καὶ γαλαῖ, κόλακές τε καὶ μονομάχοι καὶ τὰ ἄγρια τῶν παρασίτων φῦλα· γαστρὸς ἡδονῆς οἱ μὲν τὸν λόγον, οἱ δὲ τὴν φιλίαν, οἱ δὲ τὸ ζῆν ἀποδιδόμενοι, ἐπὶ γαστέρας ἕρποντες, θηρία ἀνδρείκελα . . ἦ γὰρ οὐχ οὗτοι οἱ περὶ τὰς λοπάδας ἀσχολούμενοι καὶ τὰς μεμορημένας τῶν ἡδυσμάτων περιεργίας, οἱ ταπεινόφρονες, χαμαιγενεῖς, τὸν ἐφήμερον διώκοντες βίον, ὡς οὐ ζησόμενοι; . . Ἔστι γὰρ ὁρᾶν τοὺς τοιούτους ὑσὶν ἢ κυσὶ διὰ τὴν λαβρότητα μᾶλλον ἢ ἀνθρώποις ὡμοιωμένους, τοὺς χορτάζεσθαι σπεύδοντας, ὡς καὶ γνάθους ἅμα ἄμφω ἐξογκοῦσθαι, τῶν περὶ τὸ πρόσωπον ἀγγείων προσεπαιρομένων . . Πανταχῆ δὲ κακὸν οὖσα ἡ ἀμετρία, περὶ τὰς τροφὰς μάλιστα διελέγχεται. Ἡ γοῦν ὀψοφαγία οὐδὲν ἕτερόν ἐστιν ἢ ἀμετρία περὶ χρῆσιν ὄψου· καὶ ἡ λαιμαργία μανία περὶ τὸν λαιμόν· καὶ ἡ γαστριμαργία ἀκρασία περὶ τὴν τροφήν· ὡς δὲ καὶ τοὔνομα περιέχει, μανία ἐπὶ γαστέρα· ἐπεὶ μάργος ὁ μεμηνώς . . Οἱ ἀνέδην ἐσθίοντες, οἱ ἄπληστοι, ἑαυτοὺς καταισχύνουσιν . . Τῶν δὲ ἀμφὶ τὰς φλεγμαινούσας κυπταζόντων τραπέζας, τὰ σφέτερα τιθηνουμένων πάθη, δαίμων καθη-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γεῖται λιχνότατος, ὃν ἔγωγε οὐκ ἂν αἰσχυνθείην κοιλιοδαίμονα προσειπεῖν, καὶ δαιμόνων κάκιστον καὶ ἐξωλέστατον . . Δυσπάθειαν καὶ λήθην καὶ ἀφροσύνην ἡ πολυτροφία ἐντίκτει τῇ ψυχῇ . . Σώφρων δ' οὐκ ἂν μελλήσαι ποτὲ γενέσθαι ὁ χρώμενος αὐτῇ, τὸν νοῦν ἐγκατορύξας τῇ κοιλίᾳ, τῷ ἰχθύϊ τῷ καλουμένῳ ὄνῳ τὰ μάλιστα ἐοικώς· ὃ δή φησιν Ἀριστοτέλης μόνον τῶν ἄλλων ζώων ἐν τῇ γαστρὶ τὴν καρδίαν ἔχειν . . Τοιοῦτοι τῶν ἀνθρώπων οἱ εἰς γαστέρα πεπιστευκότες «ὧν θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες». Τούτοις οὐκ ἀγαθὰ προεθέσπιζεν ὁ Ἀπόστολος, «Ὧν τὸ τέλος, εἰπών, ἡ ἀπώλεια».

17. Πορφύριος, Βίος Πυθαγόρου 22.

Φυγαδευτέον πάσῃ μηχανῇ καὶ περικοπτέον πυρὶ καὶ σιδήρῳ καὶ μηχαναῖς παντοίαις ἀπὸ μὲν σώματος νόσον, ἀπὸ δὲ ψυχῆς ἀμαθίαν, κοιλίας δὲ πολυτέλειαν, πόλεως δὲ στάσιν, οἴκου δὲ διχοφροσύνην, ὁμοῦ δὲ πάντων ἀμετρίαν.

18. Ξενοφῶν, Κύρου Παιδεία 1, 2, 8.

Ἐν Πέρσαις . . διδάσκουσι καὶ ἐγκράτειαν γαστρὸς καὶ ποτοῦ.

19. Τὰ τῶν Πυθαγορείων χρυσᾶ ἔπη, 9 (Mullach, 1, 193).

Ταῦτα μὲν οὕτως ἴσθι· κρατεῖν δ' εἰθίζεο τῶνδε·
γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου λαγνείης τε
καὶ θυμοῦ.

20. Πλάτων, Νόμοι 782 D - 783 B.

Ὁρῶ πάντα τοῖς ἀνθρώποις ἐκ τριττῆς χρείας καὶ ἐπιθυμίας ἠρτημένα, δι' ὧν ἀρετή τε αὐτοῖς ἀγομένοις ὀρθῶς καὶ τοὐναντίον ἀποβαίνει κακῶς ἀχθεῖσι. ταῦτα δ' ἐστὶν ἑδωδὴ μὲν καὶ πόσις εὐθὺς γενομένοις, ἣν πέρι ἅπασαν πᾶν ζῶον ἔμφυτον ἔρωτα ἔχον μεστὸν οἴστρου τ' ἐστὶ καὶ ἀνηκουστίας τοῦ λέγοντος ἄλλο τι δεῖν πράττειν, πλὴν τὰς ἡδονὰς καὶ ἐπιθυμίας τὰς περὶ ἅπαντα ταῦτα ἀποπληροῦντα λύπης τῆς ἀπάσης ἀεὶ δεῖν σφᾶς ἀπαλλάττειν· τρίτη δ' ἡμῖν καὶ μεγίστη χρεία καὶ ἔρως ὀξύτατος ὕστατος μὲν ὁρμᾶται, διαπυρωτάτους δὲ τοὺς ἀνθρώπους μανίαις ἀπεργάζεται πάντως, ὁ περὶ τὴν τοῦ γένους σπορὰν ὕβρει πλείστῃ καόμενος. ἃ δὴ δεῖ τρία νοσήματα τρέποντα εἰς τὸ βέλτιστον παρὰ τὸ λεγόμενον ἥδιστον τρισὶ μὲν τοῖς μεγίστοις πειρᾶσθαι κατέχειν, φόβῳ καὶ νόμῳ καὶ τῷ ἀληθεῖ λόγῳ,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

προσχρωμένους μέντοι Μούσαις τε καὶ ἀγωνίοισι θεοῖς, σθεννύντων τὴν αὔξην τε καὶ ἐπιρροήν.

21. Πλάτων, Πολιτεία 518 D - 519 B.

Αἱ μὲν τοίνυν ἄλλαι ἀρεταὶ καλούμεναι ψυχῆς κινδυνεύουσιν ἐγγύς τι εἶναι τῶν τοῦ σώματος· τῷ ὄντι γὰρ οὐκ ἐνοῦσαι πρότερον ὕστερον ἐμποιεῖσθαι ἔθεσί τε καὶ ἀσκήσεσιν· ἡ δὲ τοῦ φρονῆσαι παντὸς μᾶλλον θειοτέρου τινὸς τυγχάνει, ὡς ἔοικεν, οὖσα, ὃ τὴν μὲν δύναμιν οὐδέποτε ἀπόλλυσιν, ὑπὸ δὲ τῆς περιαγωγῆς χρήσιμον καὶ ὠφέλιμον καὶ ἄχρηστον αὖ καὶ βλαβερὸν γίγνεται. ἢ οὔπω ἐννενόηκας, τῶν λεγομένων πονηρῶν μέν, σοφῶν δέ, ὡς δριμὺ μὲν βλέπει τὸ ψυχάριον καὶ ὀξέως διορᾷ ταῦτα ἐφ' ἃ τέτραπται, ὡς οὐ φαύλην ἔχον τὴν ὄψιν, κακίᾳ δ' ἠναγκασμένον ὑπηρετεῖν, ὥστε ὅσῳ ἂν ὀξύτερον βλέπῃ, τοσούτῳ πλείω κακὰ ἐργαζόμενον; Πάνυ μὲν οὖν, ἔφη. Τοῦτο μέντοι, ἦν δ' ἐγώ, τὸ τῆς τοιαύτης φύσεως εἰ ἐκ παιδὸς εὐθὺς κοπτόμενον περιεκόπη τὰς τῆς γενέσεως ξυγγενεῖς ὥσπερ μολυβδίδας, αἳ δὴ ἐδωδαῖς τε καὶ τοιούτων ἡδοναῖς τε καὶ λιχνείαις προσφυεῖς γιγνόμεναι κάτω στρέφουσι τὴν τῆς ψυχῆς ὄψιν· ὧν εἰ ἀπαλλαγὲν περιεστρέφετο εἰς τἀληθῆ, καὶ ἐκεῖνα ἂν τὸ αὐτὸ τοῦτο τῶν αὐτῶν ἀνθρώπων ὀξύτατα ἑώρα, ὥσπερ καὶ ἐφ' ἃ νῦν τέτραπται.

22. Πλούταρχος, περὶ σαρκοφαγίας 995 F καὶ ἑξ.

Οὕτω δὴ καὶ διὰ σώματος θολεροῦ καὶ διακόρου καὶ βαρυνομένου τροφαῖς ἀσυμφύλοις πᾶσα ἀνάγκη τὸ γάνωμα τῆς ψυχῆς καὶ τὸ φέγγος ἀμβλύτητα καὶ σύγχυσιν ἔχειν καὶ πλανᾶσθαι καὶ φέρεσθαι, πρὸς τὰ λεπτὰ καὶ δυσθεώρητα τέλη τῶν πραγμάτων αὐγὴν καὶ τόνον οὐκ ἐχούσης.

23. Κλήμης ὁ Ἀλεξανδρεύς, Παιδαγωγός, βιβλ. 3, κεφ. 7 (Potter, σελ. 276).

Φύσει ὁ ἄνθρωπος ὑψηλόν ἐστι ζῶον καὶ γαῦρον καὶ τοῦ καλοῦ ζητητικόν, ἅτε τοῦ Μόνου δημιούργημα. Ὁ δὲ ἐπὶ γαστέρα αὐτῷ βίος ἄσεμνός τε καὶ ἐπονείδιστος, καὶ εἰδεχθής, καὶ καταγέλαστος. Ἀλλοτριώτατον δὲ τῆς θείας φύσεως ἡ φιληδονία 1).

---

1) Ἔτι *Μακαβαίων* Δ' 1, 27. — *Παῦλος*, πρὸς Κορινθίους Α' 10, 21. Πρὸς Κολοσσαεῖς 2, 21. — *Λουκᾶς*, 17, 37. — *Πλάτων*, Πολιτεία 389 E - 390 B. 619 B.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4. ΚΛΟΠΗ ΚΑΙ ΤΙΜΙΟΤΗΣ

Σφόδρα ἐπαίσχυντον τὸ κλέπτειν. Μισεῖ τὴν ἑαυτοῦ ψυχὴν ὁ βοηθῶν τοὺς κλέπτας καὶ ὁ μετέχων τοῦ ἀτίμου ἔργου αὐτῶν. Θεία ἐντολὴ τὸ μὴ κλέπτειν καὶ ὕψιστον καθῆκον τὸ ἐργάζεσθαι τὸ ἀγαθόν. Οἱ κλέπται, οἱ πλεονέκται, οἱ μέθυσοι εἶνε ἐλεεινοὶ καὶ ἄθλιοι· εἶνε παραβάται τῶν θείων ἐντολῶν· εἶναι εἰς ἀφανισμὸν προωρισμένοι.— Τὸ κλέπτειν ἐν γένει εἶνε ἀνελεύθερον, κακὸν καὶ αἰχρόν. Ἡ ἀξία τοῦ κλεπτομένου πράγματος δὲν ὁρίζει τὸν βαθμὸν τῆς ἀνηθικότητος τῆς πράξεως· ἡ ὄρεξις τοῦ κλέπτειν, ἐν ᾗ κεῖται ἡ ἀνηθικότης, εἶνε ἡ αὐτὴ καὶ εἰς τὸν μεγάλα καὶ εἰς τὸν μικρὰ κλέπτοντα. Ψεῦσται, ἀπατεῶνες, ἅρπαγες, κλέπται ὑπάρχουσι πολλοὶ εἰς τὸν κόσμον. Ὑπάρχουσιν ἄρθονοι τοιοῦτοι ἐν τῇ κοινωνίᾳ· ὑπάρχουσιν ὅμως ὄχι ὀλίγοι τοιοῦτοι καὶ μεταξὺ τῶν παίδων. Καὶ τιμωροῦνται μὲν πᾶσαι αὗται αἱ ἀνηθικότητες ἅμα ἐκφανεῖσαι, ἀλλ' εἶνε προτιμότερον ἡ ἀνατροφὴ τῶν παίδων νὰ ῥυθμισθῇ ἐξ ἀρχῆς οὕτως ὥστε οὐ μόνον αἱ τοιαῦται ἀνηθικότητες ποτὲ νὰ μὴ συμβῶσιν, ἀλλὰ καὶ ἡ ἐπιθυμία πρὸς τοιαύτας ὅλως νὰ ἐκλείπῃ. Ἀνωφελὲς γενομένην τὴν κλοπὴν νὰ τιμωρῇς· σωτήριον νὰ ἐκκόψῃς τὴν πρὸς τοιαύτας πράξεις ἐπιθυμίαν. Τοῦτο συντελεῖ εἰς τὸ νὰ μὴ ἀποβῶσιν οἱ παιδευόμενοι ὠμοὶ καὶ παράνομοι. Τοῦτο ἀπεργάζεται τὸ ἦθος αὐτῶν εὐμενὲς καὶ φιλάνθρωπον, πρᾶον καὶ φιλόνομον.

1. Σιρὰχ 5, 14.

Ἐπὶ τῷ κλέπτῃ ἐστὶν αἰσχύνη μοχθηρά.

2. Παροιμίαι 29, 24.

Ὃς μερίζεται κλέπτῃ, μισεῖ τὴν ἑαυτοῦ ψυχήν.

3. Ἔξοδος 20, 15.

Οὐ κλέψεις.

4. Παῦλος, πρὸς Ἐφεσίους 4, 28.

Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσίν.

Νόμοι 888 Α. Ἐπιστολὴ 7, 335 Β. — *Ἰσοκράτης*, περὶ Εἰρήνης 109, σελ. 181 c. — *Ἀντιφάνης ὁ κωμικός*, ἀπ. 271 (Kock 2, 123).—*Εὔβουλος ὁ κωμικός*, ἀπ. 39. ἀπ. 53. ἀπ. 66. (Kock 2, 177. 181. 187).— *Πλούταρχος*, Ἠθικ. 54 Β. 127 Ε. 730 Β. 991 C.— *Πορφύριος*, περὶ ἀποχῆς ἐμψύχων 1, 53. — *Γαληνός*, Ὅτι ταῖς τοῦ σώματος κράσεσιν αἱ τῆς ψυχῆς δυνάμεις ἕπονται, κεφ. 1 (ἔκδ. Kuhn, τόμ. 4, σελ. 768. ἔκδ. Ivan Müller, τόμ. 2, σελ. 31). Περὶ ψυχῆς παθῶν, βιβλ. 1, κεφ. 7 (ἔκδ. Kuhn, τόμ. 5, σελ. 38. ἔκδ. Marquardt, τόμ. 1, σελ. 29).—*Ἱεροκλῆς*, εἰς τὰ τῶν Πυθαγορείων χρυσᾶ ἔπη ὑπόμνημα, 8, 9-11. (Mullach, τόμ. 1, σελ. 431-432).— *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς, βιβλ. 7, κεφ. 7, ἔκδ. Potter, σελ. 852. Παιδαγωγός, βιβλ. 2, ὅλον τὸ πρῶτον κεφάλαιον, ἔκδ. Potter, σελ. 164 - 177 εἶτα 2, 7. σελ. 202. 2, 10, σελ. 232.— *Ἰωάννης ὁ Στοβαῖος*, Ἀνθολ. 18, 1-38.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5. Παῦλος, πρὸς Κορινθίους Α' 6, 9.

Μὴ πλανᾶσθε· οὔτε . . κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι . . βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.

---

6. Πλάτων, Νόμοι 941 B - D.

Κλοπὴ μὲν χρημάτων ἀνελεύθερον, ἁρπαγὴ δὲ ἀναίσχυντον . . μηδεὶς οὖν . . κλέπτων ἢ βιαζόμενος οἰέσθω μηδὲν αἰσχρὸν ποιεῖν . . ὁ μὲν οὖν πεισθεὶς ἡμῶν τῷ λόγῳ εὐτυχεῖ τε καὶ εἰς χρόνον ἅπαντα εὐτυχοῖ, ὁ δὲ ἀπιστήσας τὸ μετὰ ταῦτα τοιῷδέ τινι ἐνεχέσθω νόμῳ· ἐάν τίς τι κλέπτῃ δημόσιον μέγα ἢ καὶ σμικρόν, τῆς αὐτῆς δίκης δεῖ. σμικρόν τε γὰρ ὁ κλέπτων ἔρωτι μὲν ταὐτῷ, δυνάμει δὲ ἐλάττονι κέκλοφεν, ὅ τε τὸ μεῖζον κινῶν οὐ καταθέμενος ὅλον ἀδικεῖ.

7. Πλάτων, Γοργίας 508 D.

Οὔ φημι, ὦ Καλλίκλεις, τὸ τύπτεσθαι ἐπὶ κόρρης ἀδίκως αἴσχιστον εἶναι, οὐδέ γε τὸ τέμνεσθαι οὔτε τὸ σῶμα τὸ ἐμὸν οὔτε τὸ βαλάντιον, ἀλλὰ τὸ τύπτειν καὶ ἐμὲ καὶ τὰ ἐμὰ ἀδίκως καὶ τέμνειν καὶ αἴσχιον καὶ κάκιον, καὶ κλέπτειν γε ἅμα καὶ ἀνδραποδίζεσθαι καὶ τοιχωρυχεῖν καὶ συλλήβδην ὁτιοῦν ἀδικεῖν καὶ ἐμὲ καὶ τὰ ἐμὰ τῷ ἀδικοῦντι καὶ κάκιον καὶ αἴσχιον εἶναι ἢ ἐμοὶ τῷ ἀδικουμένῳ.

8. Λυσίας, κατὰ Νικομάχου 25, σελ. 185.

Ἀναμνήσθητε δὲ ὅτι πολλοὺς ἤδη τῶν πολιτῶν ἐπὶ κλοπῇ χρημάτων ἀπεκτείνατε.

Ὅμηρος, Ὀδύσσ. λ. 362.

Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
«ὦ Ὀδυσσεῦ, τὸ μὲν οὔ τί σ' εἰσκομεν εἰσορόωντες,
ἠπεροπῆά τ' ἔμεν καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς
βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους,
ψεύδεά τ' ἀρτύνοντας, ὅθεν κέ τις οὐδὲ ἴδοιτο·
σοὶ δ' ἔπι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί.

10. Ξενοφῶν, Κύρου Παιδεία 1, 2, 6.

Γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους ὥσπερ ἀνδράσιν ἐγκλήματα καὶ κλοπῆς καὶ ἁρπαγῆς καὶ βίας καὶ ἀπάτης καὶ κακολογίας

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ἄλλων οἷων δὴ εἰκός. οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται.

11. Ξενοφῶν, Κύρου Παιδεία 1, 2, 2.

Αἱ μὲν γὰρ πλεῖσται πόλεις ἀφεῖσαι παιδεύειν ὅπως τις ἐθέλει τοὺς ἑαυτοῦ παῖδας . . ἔπειτα προστάττουσιν αὐτοῖς μὴ κλέπτειν, μὴ ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν ὃν μὴ δίκαιον . . μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἆλλα τὰ τοιαῦτα ὡσαύτως· ἢν δέ τις τούτων τι παραβαίνῃ, ζημίαν αὐτοῖς ἐπέθεσαν. οἱ δὲ Περσικοὶ νόμοι προλαβόντες ἐπιμέλονται, ὅπως τὴν ἀρχὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται οἷοι πονηροῦ τινος ἢ αἰσχροῦ ἔργου ἐφίεσθαι.

12. Πίνδαρος, Ὀλυμπιονικῶν 1, 54.

Εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμπου σκοποὶ
ἐτίμασαν, ἦν Τάνταλος οὗτος· ἀλλὰ γὰρ καταπέψαι
μέγαν ὄλβον οὐκ ἐδυνάσθη, κόρῳ δ' ἔλεν
ἄταν ὑπέροπλον, ἅν οἱ πατὴρ ὕπερ
κρέμασε καρτερὸν αὐτῷ λίθον,
τὸν ἀεὶ μενοινῶν κεφαλᾶς βαλεῖν εὐφροσύνας ἀλᾶται.
ἔχει δ' ἀπάλαμνον βίον τοῦτον ἐμπεδόμοχθον,
μετὰ τριῶν τέταρτον πόνον, ἀθανάτων ὅτι κλέψαις
ἀλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον
ἔθεσαν. εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεται λελαθέμεν ἔρδων, ἁμαρτάνει.

13. Πλάτων, Νόμοι 823 D.

Λέγωμεν τοίνυν τὸ μετὰ τοῦτο ἑξῆς προσαγορεύοντες δι' εὐχῆς τοὺς νέους· ὦ φίλοι, εἴθ' ὑμᾶς μήτε τις ἐπιθυμία μήτ' ἔρως τῆς περὶ θάλατταν θήρας ποτὲ λάβοι . . μηδ' αὖ ἄγρας ἀνθρώπων κατὰ θάλατταν λῃστείας τε ἵμερος ἐπελθὼν ὑμῖν θηρευτὰς ὠμοὺς καὶ ἀνόμους ἀποτελοῖ· κλωπείας δ' ἐν χώρᾳ καὶ πόλει μηδ' εἰς τὸν ἔσχατον ἐπέλθοι νοῦν ἅψασθαι 1).

---

1) Ἔτι *Λευιτικὸν* 19, 11.— *Δευτερονόμιον* 5, 19.— *Τωβὶτ* 2, 13.— *Σιρὰχ* 20, 25. 41, 19.— *Παροιμίαι* 24, 2, 9.— *Ἱερεμίας* 2, 26. — *Σολων*, ἀπ. 4, στίχ. 13, (Bergk τόμ. 2, σελ. 36).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5. ΕΥΣΕΒΕΙΑ ΤΩΝ ΤΕΚΝΩΝ ΠΡΟΣ ΤΟΥΣ ΓΟΝΕΙΣ

Ποιεῖτε τὸ ἀρεστὸν τῇ μητρὶ καὶ μὴ λυπῆτε αὐτήν. Ὁ τιμῶν πατέρα εὐφρανθήσεται ὑπὸ τέκνων. Ὁ φοβούμενος τὸν Θεὸν τιμᾷ τὸν πατέρα καὶ τὴν μητέρα καὶ ὡς εἰς δεσπότας δουλεύει εἰς αὐτούς. Γηροτροφεῖτε τοὺς γονεῖς καὶ εὐφραίνετε αὐτοὺς κατὰ τὴν διάρκειαν τῆς ζωῆς αὐτῶν. Καὶ ἀπομωρανθέντας τοὺς γονεῖς τιμᾶτε. Βλάσφημος ὁ ἐγκαταλιπὼν πατέρα καὶ κατηραμένος παρὰ Κυρίου ὁ παροργίζων μητέρα. Εὐδοκιμεῖ ἐν τῷ βίῳ ὁ τιμῶν τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ. Πανάθλιος καὶ θεοκατάρατος ὁ καταγελῶν τὸν πατέρα αὐτοῦ καὶ ὁ μὴ τιμῶν τὴν μητέρα αὐτοῦ.

Ἡ εὐσέβεια συνίσταται εἰς τὴν ἐκπλήρωσιν τῶν πρὸς τὸν Θεόν, τὴν πατρίδα, τοὺς γονεῖς καὶ τοὺς ἀποιχομένους καθηκόντων. Οὐδὲν πατρὸς καὶ μητρὸς ἄμεινον, οὐδὲν φίλτερον. Θεὸς μέγιστος τοῖς φρονοῦσιν οἱ γονεῖς. Κόσμημα τῶν ἐθνῶν καὶ σωτηρία αὐτῶν ἡ πρὸς τοὺς γονεῖς καὶ τοὺς πρεσβυτέρους εὐταξία τῶν νέων. Οὐδὲν γλύκιον τῆς πατρίδος καὶ τῶν γονέων εἰς τοὺς μακρὰν τῆς πατρικῆς αὐτῶν ἑστίας διαμένοντας. Οἱ ὀρθῶς γινώσκοντες τὴν θείαν τοῦ κόσμου διάταξιν οὐδὲν ὑπολαμβάνουσι μεῖζον τῆς μητρός. Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν. Πρῶτα Θεόν τίμα μετέπειτα δὲ τοὺς γονεῖς σου. Τὰ εὐσεβῆ τέκνα προκινδυνεύουσι καὶ θνήσκουσιν ὑπὲρ τῆς σωτηρίας τῶν γονέων. Οὐδεὶς μόχθος, οὐδεὶς κίνδυνος ὑπὲρ τῶν γονέων εἶνε ἐκδούλευσις· τοῦτο εἶνε καθῆκον ἁπλοῦν. Ὄλβιος ὁ πατὴρ ὁ ἔχων τέκνα, ὄλβιος δ' ὅμως καὶ ὁ υἱὸς ὁ τιμῶν καὶ φιλοφρονούμενος τὸν πατέρα. Ὁ φοβούμενος καὶ αἰσχυνόμενος τὸν πατέρα γίνεται πολίτης ἀγαθὸς καὶ στρατιώτης γενναῖος. Ὁ σεβόμενος τοὺς γονεῖς εἶνε καὶ ζῶν καὶ θανὼν φίλος τῷ Θεῷ· κατηραμένος δὲ ὁ μὴ σεβόμενος αὐτούς. Ἐπιδλέπει ὁ Θεὸς πάντα ταῦτα καὶ ἀμείδει καὶ τιμωρεῖ ἐπαξίως τῶν γιγνομένων. Ἄπιστος καὶ ἐχθρὸς καὶ τῷ Θεῷ καὶ τοῖς ἀνθρώποις ὁ ἀμελῶν τῶν γονέων. Οἱ ἀπορούντες ἂν πρέπῃ νὰ τιμῶσι τοὺς θεοὺς καὶ τοὺς γονεῖς κολάσεως δέονται. Καὶ τὰ ζῶα ἀκόμη τιμῶσι καὶ σέδονται τοὺς γονεῖς αὐτῶν. Ὁ νέος ὁ μὴ γηροτροφῶν τοὺς γονεῖς αὐτοῦ εἶνε κλάδος ἄκαρπος ἀπὸ ρίζης, εἶνε θεοκατάρατος. Ὅπου οἱ γονεῖς δὲν τιμῶνται, τὸ ἔθνος ἐκεῖνο εἶνε σαπρόν. Μεῖζων ἀδικία καὶ ἁμαρτία δὲν ὑπάρχει τῆς εἰς τοὺς γονεῖς ἀσεδείας. Ὁ λοιδορῶν τοὺς γονεῖς ἐκμελετᾷ τὴν εἰς τὸ θεῖον βλασφημίαν. Πολίτης κάκιστος καὶ πολιτικὸς παγκάκιστος καὶ ὀλέθριος τῇ πατρίδι ὁ μὴ τιμῶν τοὺς γονεῖς αὐτοῦ· ὁ ἄθλιος οὗτος ἐπισύρει τὴν ὀργὴν τοῦ Θεοῦ, ἀτιμάζεται ὑπὸ τῶν συμπολιτῶν αὐτοῦ καὶ ἐγκαταλείπεται ὑπὸ τῶν ἀνθρώπων ἄφιλος καὶ ἔρημος. Τὸ τιμᾶν τοὺς γονεῖς εὐχάριστον τῷ Θεῷ, δυσάρεστον δὲ τὸ ὀλιγωρεῖν αὐτῶν. Καὶ δύστροποι καὶ κακοὶ ἂν εἶνε οἱ γονεῖς, πρέπει νὰ ἀποδίδωνται εἰς αὐτοὺς αἱ προσήκουσαι τιμαί· καὶ τύπτοντας καὶ λοιδοροῦντας καὶ ὑβρίζοντας πρέπει νὰ ἀνέχωνται αὐτοὺς τὰ τέκνα. Ὡς τινα θεῖα ἀγάλματα ἐν τῷ οἴκῳ σεμνότατα καὶ τιμιώτατα πρέπει νὰ θεωρῶνται οἱ γέροντες γονεῖς καὶ προπάτορες, «οὓς ὅταν ἀγάλλῃ τις τιμαῖς, γέγηθεν ὁ Θεός».

1. Τωβὶτ 4, 3.

Παιδίον, ἐὰν ἀποθάνω, θάψον με, καὶ μὴ ὑπερίδῃς τὴν μητέρα σου· τίμα αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ ποίει τὸ ἀρεστὸν αὐτῇ, καὶ μὴ λυπήσῃς αὐτήν. Μνήσθητι, παιδίον, ὅτι πολλοὺς κινδύνους ἑώρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

2. Σιρὰχ 3, 1-17.

Ἐμοῦ τοῦ πατρὸς ἀκούσατε τέκνα, καὶ οὕτως ποιήσατε, ἵνα σωθῆτε· ὁ γὰρ Κύριος ἐδόξασε πατέρα ἐπὶ τέκνοις, καὶ κρίσιν μητρὸς ἐστερέωσεν ἐφ' υἱοῖς. Ὁ τιμῶν πατέρα, ἐξιλάσκεται ἁμαρτίας· καὶ ὡς ἀποθησαυρίζων, ὁ δοξάζων μητέρα αὐτοῦ. Ὁ τιμῶν πατέρα, εὐφρανθήσεται ὑπὸ τέκνων, καὶ ἐν ἡμέρᾳ προσευχῆς αὐτοῦ εἰσακουσθήσεται. Ὁ δοξάζων πατέρα μακροημερεύσει, καὶ ὁ εἰσακούων Κυρίου ἀναπαύσει μητέρα αὐτοῦ Ὁ φοβούμενος τὸν Κύριον τιμήσει πατέρα καὶ ὡς δεσπόταις δουλεύσει τοῖς γεννήσασιν αὐτόν. Ἐν ἔργῳ καὶ λόγῳ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, ἵνα ἐπέλθῃ σοι εὐλογία παρ' αὐτῶν. Εὐλογία γὰρ πατρὸς στηρίζει οἴκους τέκνων, κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια . . Τέκνον, ἀντιλαβοῦ ἐν γήρᾳ πατρός σου, καὶ μὴ λυπήσῃς αὐτὸν ἐν τῇ ζωῇ αὐτοῦ. Καὶ ἐὰν ἀπολείπῃ σύνεσιν, συγγνώμην ἔχε, καὶ μὴ ἀτιμάσῃς αὐτόν . . Ὡς βλάσφημος ὁ ἐγκαταλιπὼν πατέρα, καὶ κεκατηραμένος παρὰ Κυρίου ὁ παροργίζων μητέρα αὐτοῦ.

3. Ἔξοδος 20, 12.

Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι.

4. Παροιμίαι 24, 17.

Ὀφθαλμὸν καταγελῶντα πατρός, καὶ ἀτιμάζοντα γῆρας μητρός, ἐκκολάψαισαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων καὶ καταφάγοισαν αὐτὸν νεοσσοὶ ἀετῶν.

---

5. Ἀριστοτέλης, περὶ ἀρετῶν καὶ κακιῶν 1250, 6, 19.

Ἔστι δὲ πρώτη τῶν δικαιοσυνῶν πρὸς τοὺς θεούς, εἶτα πρὸς δαίμονας, εἶτα πρὸς πατρίδα καὶ γονεῖς, εἶτα πρὸς τοὺς κατοιχομένους, ἐν οἷς ἐστιν ἡ εὐσέβεια.

6. Εὐριπίδης, ἀπ. 219.

Τρεῖς εἰσιν ἀρεταί, τὰς χρεών σ' ἀσκεῖν, τέκνον,
θεούς τε τιμᾶν τούς τε θρέψαντας γονεῖς
νόμους τε κοινοὺς Ἑλλάδος· καὶ ταῦτα δρῶν
κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

7. Αἰσχύλος, Ἱκέτιδες 707.

Τὸ γὰρ τεκόντων σέβας
τρίτον τόδ' ἐν θεσμίοις
Δίκας γέγραπται μεγιστοτίμου.

8. Θέογνις 131.

Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον
ἔπλεθ', ὅτοις ὁσίη, Κύρνε, μέμπλε δίκη.

9. Πίνδαρος, Ἰσθμιονικῶν 1, 5.

Τί φίλτερον κεδνῶν τοκέων ἀγαθοῖς;

10. Δικαιογένης, ἀπ. 5 (Nauck, σελ. 602).

Θεὸς μέγιστος τοῖς φρονοῦσιν οἱ γονεῖς.

11. Δημοσθένης, κατὰ Ἀριστογείτονος Α'. 24, σελ. 776.

Πάντα γὰρ τὰ σεμνὰ καὶ καλά, καὶ δι' ὧν ἡ πόλις κοσμεῖται καὶ σώζεται, ἡ σωφροσύνη, ἡ πρὸς τοὺς γονέας καὶ τοὺς πρεσβυτέρους ὑμῶν παρὰ τῶν νέων αἰσχύνη, ἡ εὐταξία, τῇ τῶν νόμων προσθήκῃ τῶν αἰσχρῶν περίεστι, τῆς ἀναισχυντίας, τῆς θρασύτητος, τῆς ἀναιδείας. ἰταμὸν γὰρ ἡ πονηρία καὶ τολμηρὸν καὶ πλεονεκτικόν, καὶ τοὐναντίον ἡ καλοκἀγαθία ἡσύχιον καὶ ὀκνηρὸν καὶ βραδὺ καὶ δεινὸν ἐλαττωθῆναι.

12. Ὅμηρος, Ὀδυσ. ι 34 καὶ ἑξ.

Οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων
γίγνεται, εἴ περ καί τις ἀπόπροθι πίονα οἶκον
ναίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων.

13. Ἄλεξις, ἀπ. 267 (Kock 2, 395).

Τοῖς . . ὀρθῶς εἰδόσιν
τὰ θεῖα μείζω μητρὸς οὐκ ἔστιν ποτέ.

14. Εὐριπίδης, ἀπ. 360.

Οὐκ ἔστι μητρὸς οὐδὲν ἥδιον τέκνοις·
ἐρᾶτε μητρός, παῖδες, ὡς οὐκ ἔστ' ἔρως
τοιοῦτος ἄλλος ὅστις ἡδίων ἐρᾶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

15. Μένανδρος, ἀπ. 805 (Kock 3, 220).

Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν.

16. Ἀριστοτέλης, Ἠθικὰ Νικομάχεια 1165, α, 17. 24.

Ἑκάστοις τὰ οἰκεῖα καὶ τὰ ἁρμόττοντα ἀπονεμητέον . . καὶ τιμὴν δὲ γονεῦσι καθάπερ θεοῖς.

17. Ἰωάν. ὁ Στοβαῖος, Ἀνθολ. 44, 20—Ζαλεύκου.

Μετὰ θεοὺς καὶ δαίμονας καὶ ἥρωας γονεῖς τε καὶ νόμοι καὶ ἄρχοντες σύνεγγύς εἰσι ταῖς τιμαῖς παρ' ἀνθρώποις νοῦν ἔχουσι καὶ σωθησομένοις.

18. Φωκυλίδης, Γνῶμαι, στίχ. 8.

Πρῶτα θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας.

19. Πίνδαρος, Πυθιονικῶν 6, 23.

Μάλιστα μὲν Κρονίδαν,
βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,
θεῶν σέβεσθαι·
ταύτας δὲ μήποτε τιμᾶς
ἀμείρειν γονέων βίον πεπρωμένον.

20. Ὅμηρος, Ὀδύσ. π 213.

Ὣς ἄρα φωνήσας κατ' ἄρ' ἕζετο, Τηλέμαχος δὲ
ἀμφιχυθεὶς πατέρ' ἐσθλὸν ὀδύρετο, δάκρυα λείβων,
ἀμφοτέροισι δὲ τοῖσιν ὑφ' ἵμερος ὦρτο γόοιο,
κλαῖον δὲ λιγέως.

21. Σοφοκλῆς, Αἴας 845.

Σὺ δ', ὦ τὸν αἰπὸν οὐρανὸν διφρηλατῶν
Ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν
ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ' ἐμὸν
γέροντι πατρὶ τῇ τε δυστήνῳ τροφῷ.
ἣ που τάλαινα, τήνδ' ὅταν κλύῃ φάτιν,
ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

22. Σοφοκλῆς, Οἰδίπους ἐπὶ Κολωνῷ 345-352.

Ἡ μὲν ἐξ ὅτου νέας
τροφῆς ἔλαβε καὶ κατίσχυσεν δέμας,
ἀεὶ μεθ' ἡμῶν δύσμορος πλανωμένη,
γερονταγωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν
ὕλην ἄσιτος νηλίπους τ' ἀλωμένη,
πολλοῖσι δ' ὄμβροις ἠλίου τε καύμασι
μοχθοῦσα τλήμων δεύτερ' ἠγεῖται τὰ τῆς
οἴκοι διαίτης, εἰ πατὴρ τροφὴν ἔχοι.

23. Πίνδαρος, Πυθιονικῶν 6, 28.

Ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς
νόημα τοῦτο φέρων,
ὃς ὑπερέφθιτο πατρός, ἐναρίμβροτον
ἀναμείναις στράταρχον Αἰθιόπων
Μέμνονα. Νεστόρειον γὰρ ἵππος ἅρμ' ἐπέδα
Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ' ἔφεπεν
κραταιὸν ἔγχος·
Μεσσανίου δὲ γέροντος
δονηθεῖσα φρὴν βόασε παῖδα ὅν
χαμαιπετὲς δ' ἄρ' ἔπος οὐκ ἀπέριψεν· αὐτοῦ
μένων ὁ θεῖος ἀνὴρ
πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,
ἐδόκησέν τε τῶν πάλαι γενεᾷ
ὁπλοτέροισιν, ἔργον πελώριον τελέσαις,
ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.

24. Σοφοκλῆς, Οἰδίπους ἐπὶ Κολωνῷ 508.

Τοῖς τεκοῦσι . .
οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.

25. Ὅμηρος, Ὀδυσ. λ 448.

Πάις δέ οἱ ἦν ἐπὶ μαζῷ
νήπιος, ὃς που νῦν γε μετ' ἀνδρῶν ἴζει ἀριθμῷ,
ὄλβιος· ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθών,
καὶ κεῖνος πατέρα προσπτύξεται, ἥ θέμις ἐστίν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

26. Αἰσχύλος, Εὐμενίδες 537.

Ἐς τὸ πᾶν δέ σοι λέγω,
βωμὸν αἰδεσαι δίκας·
μηδέ νιν κέρδος ἰδὼν ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς· ποινὰ γὰρ
πρὸς τάδε τις τοκέων σέβας εὖ προτίων [ἐπέσται.
καὶ ξενοτίμους
ἐπιστροφὰς δωμάτων
αἰδόμενός τις ἔστω.
ἐκὼν δ' ἀνάγκας ἄτερ δίκαιος ὢν οὐκ ἄνολβος ἔσται,
πανώλεθρος δ' οὔποτ' ἂν γένοιτο.

27. Τιμοκλῆς, ἀπ. 34 (Kock 2, 465).

Ὅστις φοβεῖται τὸν πατέρα κἀσχύνεται,
οὗτος πολίτης ἀγαθὸς ἔσται κατὰ λόγον,
καὶ τοὺς πολεμίους δυνάμενος κακῶς ποιεῖν.

28. Εὐριπίδης, ἀπ. 848.

Ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,
ὅδ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος·
ὅστις δὲ τὼ φύσαντε μὴ τιμᾶν θέλῃ,
μή μοι γένοιτο μήτε συνθύτης θεοῖς
μήτ' ἐν θαλάσσῃ κοινόπλουν στέλλοι σκάφος.

29. Ὀρφικά, ἀπ. 11 (Mullach 1, 174),

Ζεὺς δ' ἐφορᾷ γονέων ὁπόσοι τίουσι θέμιστας,
ἠδ' ὅσοι οὐκ ἀλέγουσιν, ἀναιδέα θυμὸν ἔχοντες·
καὶ τοῖς μὲν πρόφρων τε καὶ ἤπιος ἐσθλὰ δίδωσι,
τοῖς δὲ κακὰ φρονέων νεμεσίζεται Εὐμενίδεσσι.
δειναὶ γὰρ κατὰ γαῖαν Ἐριννύες εἰσὶ τοκήων.

30. Δημοσθένης, κατὰ Ἀριστογείτονος Α'. 66, σελ. 790.

Ἐγὼ μὲν γὰρ ἄπιστον καὶ θεοῖς ἐχθρόν, οὐ μόνον ἀνθρώποις, ὑπολαμβάνω τὸν τῶν γονέων ἀμελοῦντα.

31. Ἀριστοτέλης, Τοπικά 105, α, 5.

Οἱ ἀποροῦντες πότερον δεῖ τοὺς θεοὺς τιμᾶν καὶ τοὺς γονέας ἀγαπᾶν ἢ οὔ κολάσεως δέονται.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

32. Δημοσθένης, κατὰ Ἀριστογείτονος Α'. 65, σελ. 790.

Τῆς φύσεως νόμος, ὃς καὶ ἀνθρώποις καὶ θηρίοις εἷς καὶ ὁ αὐτὸς ἅπασιν ὥρισται, στέργειν τοὺς γονέας.

33. Σοφοκλῆς, Ἠλέκτρα 1058.

Τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς
ἐσορώμενοι τροφᾶς κηδομένους ἀφ' ὧν τε βλάστωσιν
ἀφ' ὧν τ' ὄνασιν εὔρωσι, τάδ' οὐκ ἐπὶ ἴσας τελοῦμεν;
ἀλλ' οὐ τὰν Διὸς ἀστραπὰν
καὶ τὴν οὐρανίαν Θέμιν
δαρὸν οὐκ ἀπόνητοι.

34. Μένανδρος, ἀπ. 716 (Kock 3, 204).

Ὁ μὴ τρέφων τεκοῦσαν ἐκ τέχνης νέος
ἄκαρπος οὗτός ἐστ' ἀπὸ ῥίζης κλάδος.

35. Ἡσίοδος, Ἔργα καὶ Ἡμέραι 327 καὶ ἑξ.

Ἴσον δ' ὅς θ' ἱκέτην ὅς τε ξεῖνον κακὸν ἔρξῃ . .
ὅς τε δι' ἀφραδίης ἀλιταίνεται ὀρφανὰ τέκνα,
ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
νεικείῃ χαλεποῖσι καθαπτόμενος ἐπέεσσιν·
τῷ δ' ἤτοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν
ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.

36. Σοφοκλῆς, ἀπ. 674 α.

Ὅπου γὰρ οἱ φύσαντες ἠσσῶνται τέκνων,
οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις.

37. Περικτιόνη ἢ Πυθαγορεία, ἀπ. 6'. (Mullach 2, 33).

Οὔτε λέξαι δεῖ κακὸν γονέας οὔτε ἔρξαι, πείθεσθαι δὲ ἐν σμικροῖσί τε καὶ μεγάλοισι γονεῦσιν . . μέζων γὰρ ἁμαρτίη καὶ ἀδικίη ἀνθρώπων οὐκ ἂν γένοιτο ἢ ἐς πατέρας ἀσεβέειν.

38. Μένανδρος, ἀπ. 715 (Kock 3, 203).

Ὁ λοιδορῶν τὸν πατέρα δυσφήμῳ λόγῳ
τὴν εἰς τὸ θεῖον ἐκμελετᾷ βλασφημίαν.

39. Θεόγνις 821.

Οἳ δ' ἀπὸ γηράσκοντας ἀτιμάζουσι τοκῆας,
τούτων τοι χώρη, Κύρν', ὀλίγη τελέθει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

40. Αἰσχίνης, κατὰ Τιμάρχου 27.

Ὁ νομοθέτης διαρρήδην ἀπέδειξεν, οὓς χρὴ δημηγορεῖν καὶ οὓς οὐ δεῖ λέγειν ἐν τῷ δήμῳ . . καὶ διὰ τοῦτο πολλάκις ἐπερωτᾷ, τίς ἀγορεύειν βούλεται. τίνας δ' οὐκ ᾤετο δεῖν λέγειν; τοὺς αἰσχρῶς βεβιωκότας· τούτους οὐκ ἐᾷ δημηγορεῖν. καὶ ποῦ τοῦτο δηλοῖ; δοκιμασία, φησί, ῥητόρων· ἐάν τις λέγῃ ἐν τῷ δήμῳ τὸν πατέρα τύπτων ἢ τὴν μητέρα, ἢ μὴ τρέφων, ἢ μὴ παρέχων οἴκησιν· τοῦτον οὐκ ἐᾷ λέγειν. νὴ Δία καλῶς γε, ὡς ἐγώ φημι. διὰ τί; ὅτι, εἴ τις, οὓς ἐξ ἴσου δεῖ τιμᾶν τοῖς θεοῖς, εἰς τούτους ἐστὶ φαῦλος, τί ποτε, φησίν, ὑπ' αὐτοῦ πείσονται οἱ ἀλλότριοι καὶ ἡ πόλις ὅλη;

41. Ξενοφῶν, Ἀπομνημονεύματα 2, 2, 14.

Σὺ οὖν, ὦ παῖ, ἂν σωφρονῇς, τοὺς μὲν θεοὺς παραιτήσῃ συγγνώμονάς σοι εἶναι, εἴ τι παρημέληκας τῆς μητρός, μή σε καὶ οὗτοι νομίσαντες ἀχάριστον εἶναι οὐκ ἐθελήσωσιν εὖ ποιεῖν, τοὺς δὲ ἀνθρώπους φυλάξῃ, μή σε αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα πάντες ἀτιμάσωσιν, εἶτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς. εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονεῖς ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν εὖ σε ποιήσας χάριν ἀπολήψεσθαι.

42. Πλούταρχος, περὶ φιλαδελφίας 479 F.

Πάντες . . λέγουσι γοῦν καὶ ᾄδουσιν, ὡς γονεῦσι τιμὴν μετὰ θεοὺς πρώτην καὶ μεγίστην ἥ τε φύσις ὅ τε τὴν φύσιν σῴζων νόμος ἀπέδωκε· καὶ οὐκ ἔστιν ὅ τι μᾶλλον ἄνθρωποι κεχαρισμένον θεοῖς δρῶσιν, ἢ τοκεῦσιν αὐτῶν καὶ τροφεῦσι « παλαιὰς ἐπὶ νέαις δανεισθείσας » χάριτας εὐμενῶς καὶ προθύμως ἐκτίνοντες. οὐδ' αὖ πάλιν μείζων ἐπίδειξις ἀθέου γέγονε τῆς περὶ γονεῖς ὀλιγωρίας καὶ πλημμελείας.

43. Σιμπλίκιος, Ἐξήγησις εἰς Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 30 (ἔκδ. Dübner, σελ. 85, στίχ. 1 καὶ ἑξ.).

Κἂν τύχῃ οὖν ὁ πατὴρ κακός, ἀλλὰ τὰ τῷ πατρὶ καθήκοντα ἀποδοτέον. Χρὴ οὖν ἐπιμελεῖσθαι παντοίως αὐτοῦ, καὶ ὅτι αἴτιος ἡμῖν μετὰ θεὸν τοῦ εἶναι γέγονε, καὶ ὅτι διὰ τὰς ἐπιμελείας αὐτοῦ καὶ συμπαθείας ἐτράφημέν τε, καὶ μέχρι τοῦδε προήλθομεν· καί, ὡς δανεισαμένους παρὰ τῶν γονέων τὴν ἐπιμέλειαν, ἀποδιδόναι μετὰ τόκων αὐτοῖς εὐγνωμόνως προσήκει, καὶ τοῖς ἐπιτάγμασιν αὐτῶν προθύμως ὑπουργεῖν πᾶσιν, ὅσα μὴ πρὸς κακίαν ψυχῆς ἐκκαλεῖται. Ταῦτα γὰρ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀβαρῶς αὐτοῖς κατὰ τὸ δυνατὸν παραιτητέον, ὡς τῷ πατρὶ τῶν ψυχῶν ἀπαρέσκοντα· καὶ τῶν ἄλλων δὲ χρὴ παραχωρεῖν ἁπάντων, ἢ σώματος, ἢ τῶν ἐκτός . . ὥστε καὶ τυπτόντων ἀνέχεσθαι . . καὶ λοιδορούντων . . καὶ ὑβριζόντων . . . Οἱ δὲ ἔτι παλαιότεροι τοσοῦτον τοὺς γονέας ἐσέφθησαν, ὡς καὶ θεοὺς αὐτοὺς ὁρμῆσαι καλεῖν . . Χρὴ δὲ ἐν τοῖς εἰς τοὺς γονέας καθήκουσι μάλιστα μὲν δι' αὐτὸ τὸ ἀγαθὸν ποιεῖν αὐτά, καὶ διὰ τὸ κατὰ φύσιν ἔχουσαν τὴν ἑαυτῶν προαίρεσιν διατηρεῖν· ἤδη δὲ καὶ κατὰ τὴν θείαν ἔννοιαν δίκην, ὅτι τοιούτους εἰκὸς περὶ ἡμᾶς τοὺς ἡμετέρους παῖδας γενέσθαι, ὁποῖοί τινες ἡμεῖς πρὸς τοὺς γονέας γεγόναμεν.

44, Πλάτων, Νόμοι 930E - 931D.

Γονέων δὲ ἀμελεῖν οὔτε θεὸς οὔτε ἄνθρωπος νοῦν ἔχων ξύμβουλός ποτε γένοιτ' ἂν οὐδεὶς οὐδενί· φρονῆσαι δὲ χρὴ περὶ θεῶν θεραπείας τριόνδε προοίμιον ἂν γενόμενον, εἰς τὰς τῶν γεννησάντων τιμάς τε καὶ ἀτιμίας ὀρθῶς συντεταγμένον· νόμοι περὶ θεοὺς ἀρχαῖοι κεῖνται παρὰ πᾶσι διχῇ· τοὺς μὲν γὰρ τῶν θεῶν ὁρῶντες σαφῶς τιμῶμεν, τῶν δ' εἰκόνας ἀγάλματα ἱδρυσάμενοι, οὓς ἡμῖν ἀγάλλουσι καίπερ ἀψύχους ὄντας ἐκείνους ἡγούμεθα τοὺς ἐμψύχους θεοὺς πολλὴν διὰ ταῦτα εὔνοιαν καὶ χάριν ἔχειν. πατὴρ οὖν ὅτῳ καὶ μήτηρ ἢ τούτων πατέρες ἢ μητέρες ἐν οἰκίᾳ κεῖνται κειμήλιοι ἀπειρηκότες γήρᾳ, μηδεὶς διανοηθήτω ποτὲ ἄγαλμα αὐτῷ, τοιοῦτον ἐφέστιον ἵδρυμα ἐν οἰκίᾳ ἔχων, μᾶλλον κύριον ἔσεσθαι, ἐὰν δὴ κατὰ τρόπον γε ὀρθῶς αὐτὸ θεραπεύῃ ὁ κεκτημένος . . ὡς οὐδὲν πρὸς θεῶν τιμιώτερον ἄγαλμ' ἂν κτησαίμεθα πατρὸς καὶ προπάτορος παρειμένων γήρᾳ καὶ μητέρων τὴν αὐτὴν δύναμιν ἐχουσῶν, οὓς ὅταν ἀγάλλῃ τις τιμαῖς, γέγηθεν ὁ Θεός. 1).

---

1) Τὰ αὐτὰ καὶ *Γένεσις* 46, 29. 50, 1. 10.— *Λευιτικόν* 19, 3. 20, 9.— *Δευτερονόμιον* 5, 16. — *Κριταί* 11, 36. 39. — *Βασιλειῶν Α'*, 22, 3. *Βασιλειῶν Γ'*, 2, 19-20. 19, 20.— *Τωβίτ* 6, 15. 9, 4. 10, 7.— *Μακκαβαίων Α'*, 13, 27-30. *Δ'*, 15,10.— *Σιράχ* 7, 27-29.— *Παροιμίαι* 4, 3. 10, 1. 15, 5. 20. 17, 21. 19, 26-27. 20, 20. 23, 22. 28, 24.— *Ἱερεμίας* 42, 10-19.— *Μαλαχίας* 1, 6.— *Ἰωάννης* 19, 26-28. *Ματθαῖος* 15, 4-6.—*Λουκᾶς* 2, 51.—*Παῦλος*, πρὸς Ρωμαίους 1, 28-32.—Ἔτι *Ὅμηρος*, Ἰλιάδ. Γ 140. Δ 22. 477. Ζ 264. 446. Η 334. Ο 663. Ω 486-492. 507. 511. Ὀδύσσ. δ 130. δ 114. ε 394. λ 494. ο 8. π 149. σ 267. τ 416. υ 343, ω 236.— *Ὕμνοι Ὁμηρικοί*, 5, 35. 344. 360-371. — *Ἡσίοδος*, Ἀσπὶς Ἡρακλέους 239. — *Πίνδαρος*, Πυθιονικῶν 4, 218. — *Παροιμιογράφοι*. Ζηνόδιος 1, 94 καὶ Ἀποστόλιος 9, 19 c. — *Τῶν Πυθαγορείων χρυσᾶ ἔπη*, στίχ. 4 (Mullach 1, 193). — *Αἰσχύ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

6. ΦΙΛΑΔΕΛΦΙΑ

Ἡ ἀδελφότης ἔχει πολλὰ φίλτρα, ἅτινα ἡ θεία πρόνοια διὰ τῶν πατέρων τοῖς γεννωμένοις ἐμέρισε καὶ διὰ τῆς μητρῴας γαστρὸς ἐφύτευσεν. Πολυτιμότατον κτῆμα ὁ ἀδελφός, πρὸς οὐδὲν τῶν ἐπὶ τῆς γῆς δυνάμενον νὰ ἀντικαταλλαγῇ. Τῆς ἐν ἀνθρώποις σοφίας ἔκφανσις ἡ ὁμόνοια ἡ ἀδελφική. Οἱ ἀδελφοὶ χρήσιμοι ἐν ταῖς ἀνάγκαις. Εὐδοκιμεῖ ὁ βίος τῶν ἐν ὁμονοίᾳ συζώντων ἀδελφῶν. Ἡ ἀφιλοκέρδεια καὶ ἡ ἐλευθεριότης δέον νὰ ἐπικρατῶσιν εἰς τὰς μεταξὺ ἀδελφῶν σχέσεις. Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρὰ καὶ ὑψηλή.—Πολὺ συντελεῖ πρὸς φιλίαν τὸ ἐκ τῶν αὐτῶν φῦναι καὶ τὸ ὁμοῦ τραφῆναι. Κατὰ θείαν εὐδοκίαν εὑρίσκονται ἐν τῷ κόσμῳ τούτῳ οἱ ἀδελφοὶ ὑπὲρ πάντας τοὺς λοιποὺς ἀνθρώπους οἰκειότατοι πρὸς ἀλλήλους· φυτεύονται ἐκ τοῦ αὐτοῦ σπέρματος, τρέφονται ὑπὸ τῆς αὐτῆς μητρός, αὐξάνουσιν ἐν τῇ αὐτῇ οἰκίᾳ, ἀγαπῶνται ὑπὸ τῶν αὐτῶν γονέων, προσαγορεύουσι τοὺς αὐτοὺς πατέρα καὶ μητέρα. Ὁ Θεὸς ἐποίησε τοὺς ἀδελφοὺς ὠφελιμωτέρους ἀλλήλοις ἢ τὰς δύο χεῖρας καὶ τοὺς δύο πόδας καὶ τοὺς δύο ὀφθαλμοὺς καὶ τὰ ἄλλα ὅσα ἀδελφὰ ἔφυσε τοῖς ἀνθρώποις. Εὐφραίνονται οἱ γονεῖς βλέποντες τὰ τέκνα αὐτῶν ἀγαπῶντα ἄλληλα. Εὐχαριστοῦνται βλέποντες τὰ τέκνα αὐτῶν εὐφρανόμενα ἐπὶ τῷ μεγίστῳ δώρῳ, ὅπερ ἐδωρήσαντο αὐτοῖς, πορίσαντες τοῖς τέκνοις αὐτῶν ἀπόκτημα πολύτιμον ἐν τῷ βίῳ, ἀδελφόν. Ἡ ἀγάπη τῶν ἀδελφῶν πρὸς ἀλλήλους ἅμα μὲν ἀποδεικνύει τὴν ἀγάπην πρὸς τὸν πατέρα καὶ τὴν μητέρα αὐτῶν, ἅμα δὲ καὶ διδάσκει καὶ παραδειγματίζει τὰ τεκνα αὐτῶν εἰς τὴν πρὸς ἄλληλα ἀγάπην. Πρὸς τοὺς ἀδελφοὺς ὀφείλεται παραγώρησις, εὐπείθεια, εὐφημία καὶ ἐλευθεριότης· ὁ μεταχειριζόμενος ὡς ἐχθρὸν τὸν ἀδελφὸν αὐτοῦ ἐκτρίβει ἐξ ἑαυτοῦ μίαν τῶν εὐγενεστάτων ἀνθρωπίνων ἰδιοτήτων, τὴν ἀδελφότητα. Ὁ ἐν ἀδελφοῖς ἔρως τῆς ὁμονοίας γλυκύτατον. Ὁμονοούντων ἀδελφῶν συμβίωσις παντὸς τείχους ἰσχυροτέρα. Πάντα κοινὰ τὰ τῶν ἀδελφῶν. Ἐκ τῶν τῶν ἐν ἀνθρώποις πολυτιμοτάτων κτημάτων εἶνε ὁ φίλος καὶ ὁ ἀδελφός· ἀλλὰ τούτων πάλιν πολυτιμότερον ὁ ἀδελφός. Ὁ ἀδελφὸς εἶνε πολυτιμότερος καὶ τῶν συζύγων καὶ τῶν τέκνων. Εἰς τὰς ἀπορφανι-

λος, Χοηφόροι 106. 180. — *Σοφοκλῆς*, Αἴας 506. Ἀντιγόνη 635 - 704. 755. Ἠλέκτρα 94. 102. 133. 145. 241. 257. 283. 399. 462. 892. Οἰδίπ. ἐπὶ Κολωνῷ 324. 332. 361. 1367. — *Εὐριπίδης*, Ἱκέτιδ. 507. — *Πλάτων*, Πολιτεία 378 B. 386 A. 425 B. Νόμοι 717 B -718 A. 880 E.— *Πολύβιος* 6, 4, 5. 6, 6, 2. 7, 8, 9. — *Πέμπελος* ὁ Πυθαγόρειος, ἀπόσπ.12, (Mullach 2, 32).—*Κόνων*, Διηγήσεις, 43.— *Ἀνθολογία* 3, 17.— *Παυσανίας* 10, 28, 2, σελ. 867.— *Ἀριστοτέλης*, περὶ κόσμου πρὸς Ἀλέξανδρον 400, α, 33. — *Στοβαῖος*, Ἀνθολόγιον, 1, 66. 44, 20. 21. ὅλον τὸ κεφάλ. 79. — *Λυκοῦργος*, κατὰ Λεωκράτους 15. 94-98.— *Ξενοφῶν*, Ἀπομνημ. 2, 2, 1 καὶ ἑξ. 4, 4, 20. Κυνηγετικός 1, 15.— *Δημοσθένης*, πρὸς Εὐβουλίδην 70, σελ. 1320. — *Ἀντιφάνης*, ἀπ. 261. 262. 263 (Kock 2, 121). — *Φιλήμων*, ἀπ. 199 (Kock 2, 531). — *Μένανδρος*, ἀπ. 659. 806, (Kock 3, 193. 220).— *Πλούταρχος*, περὶ τοῦ βίου καὶ τῆς ποιήσ. Ὁμήρ. κεφ. 184. 185. Πῶς ἄν τις διακρίνειε τὸν κόλακα τοῦ φίλου 59 F. — *Ἱεροκλέους* εἰς τὰ τῶν Πυθαγορείων χρυσᾶ ἔπη ὑπόμνημα 5, 4, (Mullach 1, 426-428).— *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 3, 7, 26. 3, 11, 5. 3, 21, 5.—*Σιμπλίκιος*, Ἐξήγ. εἰς Ἐπικτ. Ἐγχειρίδ. κεφ. 30 (ἔκδ. Dübner, σελ. 83, στίχ. 26 καὶ ἑξ. σελ. 86, στίχ. 14 καὶ ἑξ.).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σθείσας ἀδελφὰς ὁ ἀδελφός εἶνε τὸ πᾶν· εἶνε πατήρ, μήτηρ, ἀδελφή, ἀδελφός, τὸ πᾶν. Οἱ ἀγαθοὶ ἀδελφοὶ συγκινοῦνται, δακρύουσιν, ὀλοφύρονται ἐπὶ ταῖς δυστυχίαις τῶν ἀδελφῶν, ἀναδέχονται τὰ δεινότατα ὑπὲρ αὐτῶν, θυσιάζουσι τὰ πάντα, ῥίπτονται τυφλῶς εἰς τοὺς μεγίστους τῶν κινδύνων ὑπὲρ τῆς σωτηρίας αὐτῶν. Ἡ ὑπὲρ τῶν ἀδελφῶν αὐταπάρνησις καὶ ἐθελοθυσία εἶνε εὐκλεέστατον.

1. Μακκαβαίων Δ', 13, 19.

Οὐκ ἀγνοεῖτε δὲ τὰ τῆς ἀδελφότητος φίλτρα, ἅπερ ἡ θεία καὶ πάνσοφος πρόνοια διὰ τῶν πατέρων τοῖς γεννωμένοις ἐμέρισε, καὶ διὰ τῆς μητρῴας φυτεύσασα γαστρός· ἐν ᾗ τὸν ἴσον ἀδελφοὶ κατοικήσαντες χρόνον, καὶ ἐν τῷ αὐτῷ χρόνῳ πλασθέντες, καὶ ἀπὸ τοῦ αὐτοῦ αἵματος αὐξηθέντες, καὶ διὰ τῆς αὐτῆς ψυχῆς τελεσφορηθέντες, καὶ διὰ τῶν ἴσων ἀποτεχθέντες χρόνων, καὶ ἀπὸ τῶν αὐτῶν γαλακτοποτοῦντες πηγῶν, ἀφ' ὧν συντρέφονται ἐν ἀγκάλαις μαστῶν φιλάδελφοι ψυχαί· καὶ αὔξοντες σφοδρότερον διὰ τῆς συντροφίας, καὶ τῆς καθ' ἡμέραν συνηθείας, καὶ τῆς ἄλλης παιδείας, καὶ τῆς ἡμετέρας ἐν νόμῳ Θεοῦ ἀσκήσεως.

2. Σιρὰχ 7, 18.

Μὴ ἀλλάξῃς φίλον διαφόρου κατὰ μηδὲ ἕν, μηδὲ ἀδελφὸν γνήσιον ἐν χρυσίῳ Ὠφείρ.

3. Σιρὰχ 25, 1.

Ἐν τρισὶν ὡραίσθην καὶ ἀνέστην ὡραία (ἡ σοφία δηλ.) ἔναντι Κυρίου καὶ ἀνθρώπων· ὁμόνοια ἀδελφῶν, καὶ φιλία τῶν πλησίον, καὶ ἀνὴρ καὶ γυνὴ ἑαυτοῖς συμπεριφερόμενοι.

4. Παροιμίαι 17, 17.

Εἰς πάντα καιρὸν φίλος ὑπαρχέτω σοι, ἀδελφοὶ δὲ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν· τούτου γὰρ χάριν γεννῶνται.

5. Ψαλτήριον 132, 1-3.

Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπιτοαυτό. . ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν αὐτοῦ καὶ ζωὴν ἕως τοῦ αἰῶνος.

6. Δευτερονόμιον 23, 19 καὶ ἑξ.

Οὐκ ἐκτοκιεῖς τόκον ἀργυρίου τῷ ἀδελφῷ σου, καὶ τόκον βρωμάτων, καὶ τόκον παντὸς πράγματος, οὗ ἂν ἐκδανείσῃς . . τῷ ἀδελφῷ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σου οὐκ ἐκτοκιεῖς, ἵνα εὐλογήσῃ σε Κύριος ὁ Θεός σου ἐν πᾶσι τοῖς ἔργοις σου ἐπὶ τῆς γῆς.

7. Λευιτικὸν 25, 35-36. 39.

Ἐὰν δὲ πένηται ὁ ἀδελφός σου . . ἀντιλήψῃ αὐτοῦ ὡς προσηλύτου καὶ παροίκου, καὶ ζήσεται ὁ ἀδελφός σου μετὰ σοῦ. Οὐ λήψῃ παρ' αὐτοῦ τόκον . . καὶ φοβηθήσῃ τὸν Θεόν σου — Ἐὰν δὲ ταπεινωθῇ ὁ ἀδελφός σου παρὰ σοί . . οὐ δουλεύσει σοι δουλείαν οἰκέτου.

8. Παροιμίαι 18, 19.

Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ ὑψηλή, ἰσχύει δὲ ὥσπερ τεθεμελιωμένον βασίλειον.

---

9. Ξενοφῶν, Ἀπομνημονεύματα 2, 3, 4.

Καὶ μὴν πρὸς φιλίαν μέγα μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν φῦναι, μέγα δὲ τὸ ὁμοῦ τραφῆναι, ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρόφων.

10. Ξενοφῶν, Κύρου Παιδεία 8, 7, 14-17.

Καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι καὶ σύσσιτοι ἀποσκήνων· οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; μὴ οὖν ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα ἀδελφοῖς μάταια ποιήσητε, ἀλλ' ἐπὶ ταῦτα εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ οὕτως ἀεὶ ἀνυπέρβλητος ἄλλοις ἔσται ἡ ὑμετέρα φιλία. ἑαυτοῦ τοι κήδεται ὁ προνοῶν ἀδελφοῦ . . ἀλλὰ πρὸς θεῶν πατρῴων, ὦ παῖδες τιμᾶτε ἀλλήλους.

11. Ξενοφῶν, Ἀπομνημονεύματα 2, 3, 19.

Καὶ μὴν ἀδελφώ γε, ὡς ἐμοὶ δοκεῖ, ὁ Θεὸς ἐποίησεν ἐπὶ μείζονι ὠφελείᾳ ἀλλήλοιν ἢ χεῖρέ τε καὶ πόδε καὶ ὀφθαλμὼ καὶ τἆλλα, ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώποις. χεῖρες μὲν γάρ, εἰ δέοι αὐτὰς τὰ πλέον ὀργυιᾶς διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν δύναιντο, πόδες δὲ οὐδ' ἂν ἐπὶ τὰ ὀργυιὰν διέχοντα ἔλθοιεν ἅμα, ὀφθαλμοὶ δέ, οἱ καὶ δοκοῦντες ἐπὶ πλέον ἐξικνεῖσθαι, οὐδ' ἂν τῶν ἔτι ἐγγυτέρω ὄντων τὰ ἔμπροσθεν ἅμα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ τὰ ὄπισθεν ἰδεῖν δύναιντο· ἀδελφὼ δέ, φίλω ὄντε, καὶ πολὺ διεστῶτε πράττετον ἅμα καὶ ἐπ' ὠφελείᾳ ἀλλήλοιν.

12. Πλούταρχος, περὶ φιλαδελφίας 480 A. E. F.

Τίς οὖν ἐστι παρὰ παίδων γονεῦσιν ἡ πρᾶξις ἡ χάρις ἡ διάθεσις μᾶλλον εὐφραίνειν δυναμένη τῆς πρὸς ἀδελφὸν εὐνοίας βεβαίου καὶ φιλίας; — χρηστοὶ δὲ καὶ δίκαιοι παῖδες οὐ μόνον διὰ τοὺς γονεῖς ἀγαπήσουσι μᾶλλον ἀλλήλους, ἀλλὰ καὶ τοὺς γονεῖς δι' ἀλλήλους· οὕτως ἀεὶ καὶ φρονοῦντες καὶ λέγοντες, ὅτι τοῖς γονεῦσιν ἀντὶ πολλῶν χάριν ὀφείλοντες μάλιστα διὰ τοὺς ἀδελφοὺς ὀφείλουσιν, ὡς τοῦτο δὴ κτημάτων ἁπάντων τιμιώτατον καὶ ἥδιστον ἔχοντες παρ' αὐτῶν. εὖ γέ τοι καὶ Ὅμηρος πεποίηκε Τηλέμαχον ἐν συμφορᾷ τὸ ἀνάδελφον τιθέμενον·

« ὣδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων ».

.. πρὸς μὲν οὖν γονεῖς ἡ φιλαδελφία τοιοῦτόν ἐστιν, ὥστε τὸ φιλεῖν ἀδελφὸν εὐθὺς ἀπόδειξιν εἶναι τοῦ καὶ τὴν μητέρα φιλεῖν καὶ τὸν πατέρα· πρὸς δὲ παῖδας αὐτοῦ δίδαγμα καὶ παράδειγμα φιλαδελφίας, οἷον οὐδὲν ἄλλο.

13. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 2, 10, 8. 12-16.

Μετὰ τοῦτο ἴσθι, ὅτι καὶ ἀδελφὸς εἶ. Καὶ πρὸς τοῦτο δὲ τὸ πρόσωπον ὀφείλεται παραχώρησις, εὐπείθεια, εὐφημία, μηδέποτε ἀντιποιήσασθαί τινος πρὸς αὐτὸν ἀπροαιρέτων, ἀλλ' ἡδέως ἐκεῖνα προίεσθαι, ἵν' ἐν τοῖς προαιρετικοῖς πλέον ἔχῃς. — Ἐὰν δ' ἀπελθὼν ψέγῃς σου τὸν ἀδελφόν, λέγω σοι, Ἐπελάθου τίς εἶ, καὶ τί σοι ὄνομα. Εἶτα εἰ μὲν χαλκεὺς ὢν ἐχρῷ τῇ σφύρᾳ ἄλλως, ἐπιλελησμένος ἂν ἦς τοῦ χαλκέως· εἰ δὲ τοῦ ἀδελφοῦ ἐπελάθου καὶ ἀντὶ ἀδελφοῦ ἐχθρὸς ἐγένου, οὐδὲν ἀντ' οὐδενὸς ἠλλάχθαι φανῇς ἐπ' αὐτῷ; Εἰ δ' ἀντὶ ἀνθρώπου, ἡμέρου ζώου καὶ κοινωνικοῦ, θηρίον γέγονας βλαβερόν, ἐπίβουλον, δηκτικόν, οὐδὲν ἀπολώλεκας, ἀλλὰ δεῖ σε κέρμα ἀπολέσαι, ἵνα ζημιωθῇς· ἄλλου δ' οὐδενὸς ἀπώλεια ζημιοῖ τὸν ἄνθρωπον . . εἰ δ' αἰδῶ καὶ καταστολὴν καὶ ἡμερότητα ἀποβαλεῖς, οὐδὲν ἡγῇ τὸ πρᾶγμα;

14. Μένανδρος, ἀπ. 809 (Kock 3, 220).

Ἡδύ γ' ἐν ἀδελφοῖς ἐστιν ὁμονοίας ἔρως.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

15. Ἀντισθένης, ἀπ. 101 (Mullach 2, 290).

Ὁμονοούντων ἀδελφῶν συμβίωσιν παντὸς ἔφη τείχους ἰσχυροτέραν εἶναι.

16. Ἀριστοτέλης, Ἠθικὰ Νικομάχεια 1165, α, 17 καὶ 29.

Ἑκάστοις τὰ οἰκεῖα καὶ τὰ ἁρμόττοντα ἀπονεμητέον . . πρὸς ἑταίρους δ' αὖ καὶ ἀδελφοὺς παρρησίαν καὶ ἁπάντων κοινότητα.

17. Ὅμηρος, Ὀδύσ. θ 582.

Γαμβρὸς ἢ πενθερός; οἵ τε μάλιστα
κήδιστοι τελέθουσι μεθ' αἷμά τε καὶ γένος αὐτῶν.
ἦ τίς που καὶ ἑταῖρος ἀνήρ, κεχαρισμένα εἰδώς,
ἐσθλός; ἐπεὶ οὐ μέν τι κασιγνήτοιο χερείων
γίγνεται, ὅς κεν ἑταῖρος ἐὼν πεπνυμένα εἰδῇ.

18. Ἡσίοδος, Ἔργα καὶ Ἡμέραι 707.

Εὖ δ' ὅπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.
Μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον·

19. Αἰσχύλος, Χοηφόροι 235.

Ὦ φίλτατον μέλημα δώμασιν πατρός,
δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου,
ἀλκῇ πεποιθὼς δῶμ' ἀνακτήσει πατρός.
ὦ τερπνὸν ὄμμα τέσσαρας μοίρας ἔχον
ἐμοί· προσαυδᾶν δ' ἔστ' ἀναγκαίως ἔχον
πατέρα τε καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει
στέργηθρον — ἡ δὲ πανδίκως ἐχθαίρεται —
καὶ τῆς τυθείσης νηλεῶς ὁμοσπόρου·
πιστὸς δ' ἀδελφὸς ἦσθ', ἐμοὶ σέβας φέρων.
μόνον κράτος τε καὶ Δίκη σὺν τῷ τρίτῳ
πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό σοι.

20. Σοφοκλῆς, Ἀντιγόνη 902.

Νῦν δὲ Πολύνεικες, τὸ σὸν
δέμας περιστέλλουσα τοιάδ' ἄρνυμαι.
καίτοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ.
οὐ γάρ ποτ' οὔτ' ἂν εἰ τέκνων μήτηρ ἔφυν
οὔτ', εἰ πόσις μοι κατθανὼν ἐτήκετο,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βίᾳ πολιτῶν τόνδ' ἂν ἠρόμην πόνον.
τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;
πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν,
καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἠμπλακον,
μητρὸς δ' ἐν Ἅιδου καὶ πατρὸς κεκευθότοιν
οὔκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.
τοιῶδε μέντοι σ' ἐκπροτιμήσασ' ἐγὼ
νόμῳ, Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν
καὶ δεινὰ τολμᾶν, ὦ κασίγνητον κάρα.

21. Ὅμηρος, Ἰλ. Ω 159.

Ὣς ἔφατ', ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα,
ἷξεν δ' ἐς Πριάμοιο, κίχεν δ' ἐνοπήν τε γόον τε.
παῖδες μὲν πατέρ' ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆς
δάκρυσιν εἵματ' ἔφυρον . .
θυγατέρες δ' ἀνὰ δώματ' ἠδὲ νυοὶ ὠδύροντο 1),

22. Ὅμηρος, Ὀδύσσ. δ 538.

Ὣς ἔφατ', αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ·
κλαῖον δ' ἐν ψαμάθοισι καθήμενος, οὐδὲ νύ μοι κῆρ
ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενος τε 'κορέσθην,
δὴ τότε με προσέειπε γέρων ἅλιος νημερτής·
«μηκέτι, Ἀτρέος υἱέ, πολὺν χρόνον ἀσκελὲς οὕτως
κλαῖ', ἐπεὶ οὐκ ἄνυσίν τινα δήομεν· ἀλλὰ τάχιστα
πείρα, ὅπως κεν δὴ σὴν πατρίδα γαῖαν ἵκηαι.
ἦ γάρ μιν ζωόν γε κιχήσειε, ἥ κεν Ὀρέστης
κτεῖνεν ὑποφθάμενος, σὺ δέ κεν τάφου ἀντιβολήσαις».
ὣς ἔφατ', αὐτὰρ ἐμοὶ κραδίη καὶ θυμὸς ἀγήνωρ
αὖτις ἐνὶ στήθεσσι καὶ ἀχνυμένῳ περ ἰάνθη 2)·

23. Αἰσχύλος, Ἑπτὰ ἐπὶ Θήβας 1026.

Ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω,
ἣν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ,
ἐγώ σφε θάψω κἀνὰ κίνδυνον βαλῶ

1) Ἐπὶ τῷ θανάτῳ τοῦ Ἕκτορος, υἱοῦ τοῦ Πριάμου.
2) Οὕτως ὠδύρετο καὶ τοιαῦτα ἔλεγεν ὁ Μενέλαος μαθὼν παρὰ τοῦ Πρωτέως τὴν ὑπὸ τοῦ Αἰγίσθου δολοφονίαν τοῦ ἀδελφοῦ αὐτοῦ Ἀγαμέμνονος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θάψασ' ἀδελφὸν τὸν ἐμόν, οὐδ' αἰσχύνομαι
ἔχουσ' ἄπιστον τήνδ' ἀναρχίαν πόλει.
δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν,
μητρὸς ταλαίνης κἀπὸ δυστήνου πατρός.
τοιγὰρ θέλουσ' ἄκοντι κοινώνει κακῶν
ψυχή, θανόντι ζῶσα συγγόνῳ φρενί.
τούτου δὲ σάρκας . .
οὐδὲ κοιλογάστορες
λύκοι σπάσονται· μὴ δοκησάτω τινί.
τάφον γὰρ αὐτὴ καὶ κατασκαφὰς ἐγώ,
γυνὴ περ οὖσα, τῷδε μηχανήσομαι.

24. Πίνδαρος, Νεμεονικῶν 10, 73.

Ταχέως δ' ἐπ' ἀδελφεοῦ βίαν πάλιν χώρησεν ὁ Τυνδαρίδας,
καί νιν οὔπω τεθναότ', ἄσθματι δὲ φρίσσοντα ἔκιχεν.
θερμὰ τέγγων δάκρυ' ὑπὸ στοναχαῖς
ὄρθιον φώνασε· Πάτερ Κρονίων, τίς δὴ λύσις
ἔσσεται πενθέων; καὶ ἐμοὶ θάνατον σὺν τῷδε ἐπίτειλον, ἄναξ.
οἴχεται τιμὰ φίλων τατωμένῳ φωτί· παῦροι δ' ἐν πόνῳ πιστοὶ
καμάτου μεταλαμβάνειν. [βροτῶν

25. Ὅμηρος, Ἰλιάδ. Λ 248.

Τὸν δ' ὡς οὖν ἐνόησε Κόων ἀριδείκετος ἀνδρῶν,
πρεσβυγενὴς Ἀντηνορίδης, κρατερὸν ῥά ἑ πένθος
ὀφθαλμοὺς ἐκάλυψε κασιγνήτοιο πεσόντος.
στῆ δ' εὐρὺς σὺν δουρὶ λαθὼν Ἀγαμέμνονα δῖον,
νύξε δέ μιν κατὰ χεῖρα μέσην, ἀγκῶνος ἔνερθεν,
ἀντικρὺ δὲ διέσχε φαεινοῦ δουρὸς ἀκωκή.
ῥίγησέν τ' ἄρ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ἀλλ' οὐδ' ὣς ἀπέληγε μάχης ἠδὲ πτολέμοιο,
ἀλλ' ἐπόρουσε Κόωνι ἔχων ἀνεμοτρεφὲς ἔγχος.
ἦ τοι ὁ Ἰφιδάμαντα κασίγνητον καὶ ὄπατρον
ἕλκε ποδὸς μεμαώς, καὶ ἀΰτει πάντας ἀρίστους·
τὸν δ' ἕλκοντ' ἀν' ὅμιλον ὑπ' ἀσπίδος ὁμφαλοέσσης
οὔτησε ξυστῷ χαλκήρεϊ, λῦσε δὲ γυῖα·
τοῖο δ' ἐπ' Ἰφιδάμαντι κάρη ἀπέκοψε παραστάς.
ἔνθ' Ἀντήνορος υἷες ὑπ' Ἀτρεΐδῃ βασιλῆι
πότμον ἀναπλήσαντες ἔδυν δόμον Ἄιδος εἴσω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

26. Σοφοκλῆς, Ἀντιγόνη 693.

Τὴν παῖδα ταύτην οἵ' ὀδύρεται πόλις,
πασῶν γυναικῶν ὡς ἀναξιωτάτη
κάκιστ' ἀπ' ἔργων εὐκλεεστάτων φθίνει,
ἥτις τὸν αὐτῆς αὐτάδελφον ἐν φοναῖς
πεπτῶτ' ἄθαπτον μήθ' ὑπ' ὠμηστῶν κυνῶν
εἴασ' ὀλέσθαι μηθ' ὑπ' οἰωνῶν τινος,
οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς λαχεῖν; 1).

---

7. ΣΚΑΙΟΤΗΣ ΚΑΙ ΦΙΛΟΦΡΟΣΥΝΗ

Οἱ ἄνθρωποι εἰς τὰς πρὸς ἀλλήλους σχέσεις αὐτῶν πρέπει νὰ εἶνε ταπεινόφρονες, πραΐοι, μακρόθυμοι, οἰκτίρμονες, χρηστοί, ἀνεκτικοί, συγγνώμονες, ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες. — Τὸ νὰ εἶνέ τις πρὸς πάντας μείλιχος καὶ τὸ νὰ ἐπικοινωνῇ τις πρὸς πάντας προσφιλῶς καὶ κεχαρισμένως εἶνε ἀποτέλεσμα εὐπαιδευσίας. Ἡ σκαιότης εἶνε τεκμήριον σαφὲς ἀπαιδευσίας καὶ ἀμαθείας καὶ θρασύτητος. Χαριέστατον τὸ νὰ εἶνε τις ἀρεστὸς εἰς τοὺς μεθ' ὧν συζῇ· οἱ αὐθάδεις τρόποι συνεπάγονται βλάβας ἀνηκέστους. Σκαιότης εἶνε οἱ τραχεῖς τρόποι καὶ βάρβαροι, ἡ ἀναισθησία πρὸς πᾶσαν τρυφερότητα, οἱ ἀπότομοι λόγοι, ἡ αἰσχρολογία καὶ ἡ αὐθάδης συμπεριφορά. Ὅταν τὸ ἐν τῷ ἀνθρώπῳ φιλομαθὲς δὲν καλλιεργῆται διὰ τῶν μαθημάτων καὶ τῶν λοιπῶν ἀνθρωπικῶν παιδευμάτων, τότε γίνεται τοῦτο ἀσθενὲς καὶ κωφὸν καὶ τυφλόν, ὁ δὲ τοιοῦτος ἄνθρωπος μισολόγος καὶ ἄμουσος, βίαιος καὶ

1) Ἔτι *Γένεσις* 24, 60. 33, 4. 9. 43, 29. 45, 14-15. 50, 17-23. — *Λευιτικὸν* 19, 17. — *Δευτερονόμιον* 22, 1-5. — *Βασιλειῶν* Α', 22, 1. — *Μακκαβαίων* Α', 3, 2. 9, 42. 13, 5, 25-30. Δ', 9, 23. 10, 16. 13, 18. 23-27. — *Σιράχ* 29, 10. 40, 24. — *Παῦλος*, Πρὸς Ἑβραίους 13, 1. Πρὸς Ρωμαίους 12, 10. — *Πέτρος*, Ἐπιστολὴ καθολικὴ Α'. 1, 22. 2, 17. 3, 8. — *Ἰωάννης*, Ἐπιστολὴ Α'. 4, 20. — *Ὅμηρος*, Ἰλιάδ. Δ 148. 153. 154. 155. 169. 189-191. Ε 20. 358. Ζ 238. Η 108-120. Θ 330. Ι 567 καὶ ἑξ. 632. Κ 240. Λ 427. Ξ 483. Σ 294-301. Ὀδύσ. δ 186. θ 546. ω 434. — *Πίνδαρος*, Νεμεονικῶν 10, 49-90. — *Αἰσχύλος*, Ἑπτὰ ἐπὶ Θήβας 681. 734. — *Σοφοκλῆς*, Αἴας 974. 977. 980-1039. 1308-1312. Ἀντιγόνη 71-76. 80. 423-435. 466. 503. 511. 517. 527. 536. 540. 545. 548. 566. 817. Ἠλέκτρα 677. 788. 807-811. 865. 1118. 1126-1170. 1225-1233. Οἰδίπους ἐπὶ Κολωνῷ 324. 1333. 1410. 1438-1446. — *Εὐριπίδης*, Ἰφιγένεια ἐν Ταύροις 473-475. — *Ἡρόδοτος*, 3, 119. — *Ξενοφῶν*, Κύρου Παιδ. 8, 7, 14-25. Ἀπομνημονεύματα 2, 3, 1-19. — *Πολύβιος* 24, 8 6, 3. — *Πλούταρχος*, περὶ φιλαδελφίας 478-492. — *Ἐπικτήτου* ἐγχειρίδ. κεφ. 43. — *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 3, 11, 6. 3, 21, 5. — *Συμπλίκιος*, Ἐξήγ. εἰς Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 30, ἔκδ. Dübner, σελ. 85, στίχ. 37 καὶ ἑξ. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς, βιβλ. 2, κεφ. 18, ἔκδ. Potter, σελ. 473. — *Ἰωάννης ὁ Στοβαῖος*, Ἠθικά, βιβλ. 2, κεφάλ. 6, ἀπόσπ. 7, σελ. 250.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄγριος ὡς θηρίον, διάγων τὸν βίον αὐτοῦ ἐν ἀμαθίᾳ καὶ σκαιότητι μετ' ἀρρυθμίας καὶ ἀχαριστίας. Ὁ εὖ ἡγμένος αἰσχύνεται ἐπὶ τοῖς αἰσχροῖς, εἶνε σφόδρα φιλότιμος, σέβεται τοὺς πρεσβυτέρους, εἶνε φιλόφρων πρὸς τοὺς γονεῖς αὐτοῦ, οὐδὲν αἰσχρὸν πράττει, εἶνε αἰδημονέστατος, ἔχει τὴν γλῶσσαν εὔφημον καὶ μείλιχον, ἔχει ὑπομονήν, εἶνε ἀνεκτικός, προσηνής, ἥρεμος, ἔχει τὸ ὄμμα ἥσυχον, τὸ πρόσωπον γαληνιον, εἶνε εὐπροσήγορος πρὸς τοὺς φίλους, εὐμενὴς πρὸς τοὺς ἐχθρούς, χαρίεις καὶ φιλάνθρωπος πρὸς πάντας, αἰδήμων πρὸς τοὺς πρεσβυτέρους, φιλόφρων πρὸς τοὺς ὁμίληκας, μειλίχιος καὶ φιλόφρων πρὸς τοὺς ξένους. Τὸ ἐν τοῖς ἀνθρώποις ἄριστον δὲν εἶνε ὁ πόλεμος καὶ ἡ στάσις, ἀλλ' ἡ πρὸς ἀλλήλους εἰρήνη καὶ φιλοφροσύνη. Εὔκλεὴς ὁ φιλόφρων, δυσκλεὴς ὁ σκαιός. Καταφρονεῖται ὁ σκαιὸς καὶ ὁ ἄτεγκτον τὸ φρόνημα ἔχων, τιμᾶται δ' ὁ φιλόφρων καὶ ὁ μειλίχιον τὸ ἦθος ἔχων.

1. Παῦλος, πρὸς Ἐφεσίους 4, 1 καὶ 2.

Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ.

2. Παῦλος, πρὸς Κολοσσαεῖς 3, 12.

Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν· ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς.

3. Πέτρος, Ἐπιστολὴ καθολικὴ Α'. 3, 8.

Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες.

---

4. Πλούταρχος, Πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν 31 E καὶ F.

Βέλτιον δὲ ταῦτα τοῖς γραμματικοῖς παρέντας ἐκεῖνα μᾶλλον πιέζειν οἷς ἅμα τὸ χρήσιμον καὶ πιθανὸν ἔνεστιν

«οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς»

καὶ

«πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι».

τήν τε γὰρ ἀνδρείαν ἀποφαίνων — Ὅμηρος — μάθημα καὶ τὸ προσφιλῶς ἅμα καὶ κεχαρισμένως ἀνθρώποις ὁμιλεῖν ἀπ' ἐπιστήμης καὶ κατὰ λόγον γίγνεσθαι νομίζων προτρέπει μὴ ἀμελεῖν ἑαυτῶν, ἀλλὰ μανθάνειν τὰ καλὰ καὶ προσέχειν τοῖς διδάσκουσιν, ὡς καὶ τὴν σκαιότητα καὶ τὴν δειλίαν ἀμαθίαν καὶ ἄγνοιαν οὖσαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5. Εἰριπίδης, ἀπ. 556.

Γενέσθαι . . θρασύν τε κἀμαθῆ . . σκαιόν.

6. Βίας, (Bergk 3, 199).

Ἀστοῖσιν ἀρέσκεο πᾶσιν ἐν πόλει, ἄκε μένης·
πλείσταν γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος
πολλάκι δὴ βλαβερὰν ἐξέλαμψεν ἄταν.

7. Ἀλκμάν, ἀπόσπ. 24 (Bergk 3, 45).

Οὐκ εἷς ἀνὴρ ἄγροικος οὐδὲ
σκαιὸς οὐδὲ παρὰ σοφοῖσιν
οὐδὲ Θεσσαλὸς γένος
οὐδ' Ἐρυσιχαῖος οὐδὲ ποιμήν,
ἀλλὰ Σαρδίων ἀπ' ἀκρᾶν.

8. Σαπφώ, ἀπ. 94 (Bergk 3, 121).

Οἷαν τὰν ὐάκινθον ἐν οὔρεσι ποίμενες ἄνδρες
πόσσι καταστείβοισι, χάμαι δ' ἐπιπορφύρει ἄνθος.

9. Πλούταρχος, Ἀποφθέγματα 178 Β.—Φιλίππου τοῦ Ἀλεξάνδρου πατρός, 15.

Τῶν δὲ περὶ Λασθένην τὸν Ὀλύνθιον ἐγκαλούντων καὶ ἀγανακτούντων, ὅτι προδότας αὐτοὺς ἔνιοι τῶν περὶ Φίλιππον ἀποκαλοῦσι, « σκαιοὺς » ἔφη « φύσει καὶ ἀγροίκους εἶναι Μακεδόνας καὶ τὴν σκάφην σκάφην λέγοντας ».

10. Ἀριστοφάνης, Πλοῦτος 56.

—(Καριων): Ἄγε δή, σὺ πότερον σαυτὸν ὅστις εἶ φράσεις,
ἢ τἀπὶ τούτοις δρῶ; λέγειν χρὴ ταχὺ πάνυ.
—(Πλουτος): Ἐγὼ μὲν οἰμώζειν λέγω σοι.—(Καριων): μανθάνεις
ὃς φησιν εἶναι;.—(Χρεμυλος): σοὶ λέγει τοῦτ', οὐκ ἐμοί.
σκαιῶς γὰρ αὐτοῦ καὶ χαλεπῶς ἐκπυνθάνει.

11. Ἔφιππος ὁ κωμικός, ἀπ. 23 (Kock 2, 263).

Ὡς σκαιὸς εἶ κἄγροικος αἰσχροεπῶν· ἔα,
ἐπαρίστερ' ἐν τῷ στόματι τὴν γλῶτταν φορεῖς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

12. Σοφοκλῆς, Ἀντιγόνη 1028.

Αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει.

13. Πλάτων, Πολιτεία 411 C-E.

Τί δέ; ἂν αὖ γυμναστικῇ πολλὰ πονῇ (τις) καὶ εὐωχῆται εὖ μάλα . . ἐπειδὰν ἄλλο μηδὲν πράττῃ μηδὲ κοινωνῇ Μούσης μηδαμῇ, οὐκ εἴ τι καὶ ἐνῆν αὐτοῦ φιλομαθὲς ἐν τῇ ψυχῇ, ἅτε οὔτε μαθήματος γευόμενον οὐδενὸς οὔτε ζητήματος, οὔτε λόγου μετίσχον οὔτε τῆς ἄλλης μουσικῆς, ἀσθενές τε καὶ κωφὸν καὶ τυφλὸν γίγνεται, ἅτε οὐκ ἐγειρόμενον οὐδὲ τρεφόμενον οὐδὲ διακαθαιρομένων τῶν αἰσθήσεων αὐτοῦ; Οὕτως, ἔφη. Μισολόγος δή, οἶμαι, ὁ τοιοῦτος γίγνεται καὶ ἄμουσος, καὶ πειθοῖ μὲν διὰ λόγων οὐδὲν ἔτι χρῆται, βίᾳ δὲ καὶ ἀγριότητι ὥσπερ θηρίον πρὸς πάντα διαπράττεται, καὶ ἐν ἀμαθίᾳ καὶ σκαιότητι μετ' ἀρρυθμίας τε καὶ ἀχαριστίας ζῇ.

14. Ἀριστοφάνης, Νεφέλαι 990.

Πρὸς ταῦτ', ὦ μειράκιον, θαρρῶν ἐμὲ τὸν κρείττω λόγον αἱροῦ·
κἀπιστήσει μισεῖν ἀγορὰν καὶ βαλανείων ἀπέχεσθαι,
καὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι, κἂν σκώπτῃ τίς σε, φλέγεσθαι·
καὶ τῶν θάκων τοῖς πρεσβυτέροις ὑπανίστασθαι προσιοῦσιν,
καὶ μὴ περὶ τοὺς σαυτοῦ γονέας σκαιουργεῖν, ἄλλο τε μηδὲν
αἰσχρὸν ποιεῖν, ὅ τι τῆς Αἰδοῦς μέλει τἀγαλμ' ἀναπλήσειν.

15. Αἰσχύλος, Χοηφόροι 581.

Ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν.

16. Θεόγνις 365.

Ἴσχε νόον, γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέσθω·
δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.

17. Αἰσχύλος, Ἱκέτιδες 197.

Φθογγῇ δ' ἐπέσθω πρῶτα μὲν τὸ μὴ θρασύ,
τὸ μὴ μάταιον δ' ἐκ σεσωφρονισμένων
ἴτω προσώπων ὄμματος παρ' ἡσύχου.

18, Εὐριπίδης, Ἱππόλυτος 95.

Ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

19. Πυθαγόρας, παρὰ Διογένει τῷ Λαερτίῳ 8, 1, 23.

Ἀλλήλοις θ' ὁμιλεῖν, ὡς τοὺς μὲν φίλους ἐχθροὺς μὴ ποιῆσαι, τοὺς δ' ἐχθροὺς φίλους ἐργάσασθαι.

20. Ἰσοκράτης, περὶ ἀντιδόσεως 132, σελ. 76.

Τιμόθεος . . οὕτω ἀφυὴς ἦν πρὸς τὴν τῶν ἀνθρώπων θεραπείαν ὥσπερ δεινὸς περὶ τὴν τῶν πραγμάτων ἐπιμέλειαν. καίτοι πολλάκις καὶ παρ' ἐμοῦ τοιούτους λόγους ἤκουσεν, ὡς χρὴ τοὺς πολιτευομένους καὶ βουλομένους ἀρέσκειν προαιρεῖσθαι μὲν τῶν τε πράξεων τὰς ὠφελιμωτάτας καὶ βελτίστας καὶ τῶν λόγων τοὺς ἀληθεστάτους καὶ δικαιοτάτους, οὐ μὴν ἀλλὰ κἀκεῖνο παρατηρεῖν καὶ σκοπεῖν, ὅπως ἐπιχαρίτως καὶ φιλανθρώπως ἅπαντα φανήσονται καὶ λέγοντες καὶ πράττοντες· ὡς οἱ τούτων ὀλιγωροῦντες ἐπαχθέστεροι καὶ βαρύτεροι δοκοῦσιν εἶναι τοῖς συμπολιτευομένοις.

21. Ἰάμβλιχος, περὶ τοῦ Πυθαγορικοῦ βίου, κεφ. 31, σελ. 187-188.

Ἕπεται δὲ τῷ περὶ τούτων λόγῳ ὁ περὶ σωφροσύνης, ὡς τε αὐτὴν ἐπετήδευσε (Πυθαγόρας) καὶ παρέδωκε τοῖς χρωμένοις. εἴρηται μὲν οὖν ἤδη τὰ κοινὰ παραγγέλματα περὶ αὐτῆς . . τοῦ δὲ αὐτοῦ εἴδους ἐστίν . . ἐχεμυθία τε καὶ παντελὴς σιωπή . . ἀνοινία καὶ ὀλιγοσιτία καὶ ὀλιγοϋπνία . . καὶ αἰδὼς μὲν ἀνυπόκριτος πρὸς τοὺς προήκοντας, πρὸς δὲ τοὺς ὁμήλικας ἄπλαστος ὁμοιότης καὶ φιλοφροσύνη . . καὶ πάντα ὅσα τοιαῦτα, εἰς τὴν αὐτὴν ἀρετὴν ταχθήσεται.

22. Ἀνακρέων, ἀπ. 84 (Bergk 3, 277).

Ἔστε ξένοισι μειλίχοις ἐοικότες,
στέγης τε μοῦνον καὶ πυρὸς κεχρημένοις.

23. Πλάτων, Νόμοι 953 Ε καὶ ἑξ.

Ἂν ποτέ τις ἀφίκηται . . ἐξ ἄλλης χώρας . . ἀπαλλατέσθω, φίλος παρὰ φίλων δώροις καὶ τιμαῖς πρεπούσαις τιμηθείς. τούτοις δὴ τοῖς νόμοις ὑποδέχεσθαί τε χρὴ πάντας ξένους τε καὶ ξένας ἐξ ἄλλης χώρας . . τιμῶντας ξένιον Δία.

24. Πλάτων, Νόμοι 628 C.

Τό γε μὴν ἄριστον οὔτε ὁ πόλεμος οὔτε ἡ στάσις, ἀπευκτὸν δὲ τὸ δεηθῆναι τούτων, εἰρήνη δὲ πρὸς ἀλλήλους ἅμα καὶ φιλοφροσύνη.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

25. Πίνδαρος, Πυθιονικῶν 1, 92.

Μὴ δολωθῇς, ὦ φίλ', ἐϋτραπέλοις κέρδεσσ'· ὀπιθόμβροτον αὖ-
σιον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει [χημα δόξας
καὶ λογίοις καὶ ἀοιδοῖς. οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά.
τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον
ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις.

26. Ὅμηρος, Ἰλ. Ι 252.

Ὦ πέπον, ἦ μὲν σοί γε πατὴρ ἐπετέλλετο Πηλεὺς
ἥματι τῷ, ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπεν·
«τέκνον ἐμόν, κάρτος μὲν Ἀθηναίη τε καὶ Ἥρη
δώσουσ', αἴ κ' ἐθέλωσι, σὺ δὲ μεγαλήτορα θυμὸν
ἴσχειν ἐν στήθεσσι· φιλοφροσύνη γὰρ ἀμείνων.
ληγέμεναι δ' ἔριδος κακομηχάνου, ὄφρα σε μᾶλλον
τίωσ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες». 1)

---

8. ΕΥΣΠΛΑΓΧΝΙΑ ΚΑΙ ΑΣΠΛΑΓΧΝΙΑ

Θεάρεστον ἡ εὐσπλαγχνία πρὸς τὰ ὀρφανὰ καὶ τὰς χήρας, πρὸς τοὺς κλαίοντας καὶ πενθοῦντας, πρὸς τοὺς ταλαιπωρουμένους καὶ τοὺς ἀρρώστους. Ἀνελεήμονες οἱ ἀσεβεῖς. Ἄθλιοι οἱ σκληροκάρδιοι. Θεοκατάρατοι οἱ ἀνελεήμονες, θεοφιλεῖς οἱ εὔσπλαγχνοι. Οἱ ἀγαθοὶ ἄνθρωποι εἶνε χρηστοί, εὔσπλαγχνοι, ἀνεκτικοί, συγγνώμονες. Θεάρεστον καὶ θεοειδὲς ἡ εὐσπλαγχνία πρὸς τοὺς δεσμίους καὶ τοὺς κακουχουμένους, πρὸς τοὺς πεινῶντας καὶ διψῶντας, πρὸς τοὺς ξένους καὶ τοὺς ἀσθενεῖς.—Ἐν τῷ βοηθεῖν τοὺς δυναμένους καὶ τῷ θεραπεύειν καὶ τῷ χαρίζεσθαι τοῖς μὴ δυναμένοις κεῖται τὸ οἰκτείρειν. Ἐν πολιτείαις καλῶς συντεταγμέναις καὶ ἐν ἔθνεσιν ὑγιῶς ἔχουσιν οὐδέποτε μένουσιν ἀβοήθητοι οἱ εἰς συμφορὰς περιπεσόντες ἀγαθοὶ ἄν-

1) Ἔτι *Βασιλειῶν Δ'*. 2, 23-25.—*Ὁμηρος*, Ἰλιάδ. Ι 193. Σ 385-427. Ὀδύσσ. α 120-143. — *Ἡρόδοτος* 3, 53. — *Σοφοκλῆς*, Οἰδίπ. ἐπὶ Κολων. 1213. — *Εὐριπίδης*, Ἡρακλῆς μαινόμεν. 283. Ἰφιγέν. ἐν Ταύροις 1061. Ἀποσπ. 1054. — *Ἀριστοφάνης*, Νεφέλαι 629. — *Κριτίας*, ἀπόσπ. 5 (Nauck, σελ. 600). — *Ξενοφῶν*, Κύρου Παιδ. 3, 1, 40. Ἀπομνημον. 3, 1, 6. — *Πλάτων*, Νόμοι 738 D. 740 E. — *Ἀριστοτέλης*, ἀπ. 517, σελ. 1562, 6, 24. — *Δημοσθένης*, κατὰ Φιλίπ. Β' 19, σελ. 70. — *Πολύβιος* 2, 57, 7. 7, 5, 6. 32, 19, 4. — *Διόδωρος* 16, 89. — *Διονύσιος ὁ Ἁλικαρνασσεύς*, Ρωμαϊκὴ Ἀρχαιολογ. λόγ. 10, κεφ. 57. — *Ἰάμβλιχος*, περὶ τοῦ Πυθαγορικοῦ βίου, κεφ. 16, σελ. 69. — *Λουκιανός*, Εἰκόνες 21, σελ. 479. — *Πλούταρχος*, Συμποσ. προβλημ. 703 B καὶ ἑξ. 739 F. Βίος Ἀλεξάνδρου, κεφ. 9, σελ. 669.— Ἴδε καὶ ἀνωτέρω, σελ. 258-259 καὶ 280-291.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θρωποι. Μὴ ἐπιγέλα ἀτυχοῦντι, μὴ ἔσο βαρὺς καὶ σκυθρωπὸς πρὸς τοὺς δυστυχοῦντας· κοινὴ ἡ τύχη. Εὐτυχῶν τις πρέπει νὰ ἔχῃ ὑπ' ὄψιν ὅτι ἐνδεχόμενόν ποτε καὶ νὰ δυστυχήσῃ. Ὁ χρηστὸς ἐλεεῖ τοὺς ταλαιπωρουμένους, δακρύει διὰ τὰς δυστυχίας τοῦ πλησίον, οἰκτείρει καὶ τοὺς ἐχθροὺς αὐτοῦ ἀναλογιζόμενος τὸ ἀγχίστροφον τῶν ἀνθρωπίνων Οἱ χρηστοὶ ἄνθρωποι καὶ τὰ πεπολιτισμένα κράτη περιποιοῦνται τὰ ὀρφανὰ τόσον, ὥστε λησμονοῦσι τὰ ἀτυχῆ ταῦτα πλάσματα τὴν δυστυχίαν αὐτῶν. Καὶ ἂν ἔλειψαν οἱ γονεῖς αὐτῶν ἐκ τῆς γῆς, ἔχουσιν ὅμως πατέρα ἐν τοῖς οὐρανοῖς, ὅστις αἰσθάνεται τὴν ἐρημίαν αὐτῶν, βλέπει τὴν ἀθλιότητα αὐτῶν, ἀκούει τοὺς ἀναστεναγμοὺς αὐτῶν. Οἱ ἔχοντες φόβον Θεοῦ γινώσκοντες ταῦτα καθιστῶσι τὴν ὀρφανίαν τῶν ὀρφανῶν ἀνεπαίσθητον. Ὡς παρακαταθήκην μεγίστην καὶ ἱερωτάτην θεωρεῖ ὁ Θεὸς τὰ ἔρημα καὶ τὰ ὀρφανά· ὀργίζεται δὲ ὑπερμέτρως κατὰ τῶν ὑβριζόντων αὐτά. Αἱ εὐσεβεῖς πολιτεῖαι δημοσίᾳ δαπάνῃ ἐκπαιδεύουσι τὰ ἄπορα καὶ νοσηλεύουσι τοὺς νοσοῦντας. Οἱ εὐγενεῖς ἄνθρωποι βοηθοῦσι τοὺς ἐν τοῖς πολέμοις τιτρωσκομένους καὶ φροντίζουσι περὶ τῆς θεραπείας αὐτῶν. Ἐὰν οἱ ἄνθρωποι ἐβοήθουν πάντοτε ἀλλήλους, δὲν θὰ ὑπῆρχε δυστυχία εἰς τὸν κόσμον. Τὰ εὐγενῆ ἔθνη εἶνε θεοσεβῆ, φιλοικτίρμονα καὶ βοηθητικὰ τῶν ἀσθενῶν. Ἐλεοῦσι τοὺς ἀδυνάτους, ὑπερασπίζονται τοὺς κακουμένους καὶ σώζουσιν αὐτοὺς ἐκ τῶν κινδύνων. Ἤθους χρηστοῦ τὸ ἐπικουρεῖν τοῖς δεομένοις καὶ ἐλεεῖν τοὺς ἀναξιοπαθοῦντας. Ἐλεήμων ὁ σοφὸς καὶ κόσμιος, ἀνελέητος ὁ ἀμαθὴς καὶ ἀναιδής.

1. Σιρὰχ 4, 10.

Γίνου ὀρφανοῖς ὡς πατήρ, καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν· καὶ ἔσῃ ὡς υἱὸς ὑψίστου καὶ ἀγαπήσει σε μᾶλλον ἡ μήτηρ σου.

2. Σιρὰχ 7, 34.

Μὴ ὑστέρει ἀπὸ κλαιόντων, καὶ μετὰ πενθούντων πένθησον. Μὴ ὄκνει ἐπισκέπτεσθαι ἄρρωστον· ἐκ γὰρ τῶν τοιούτων ἀγαπηθήσῃ.

3. Παροιμίαι 12, 10.

Τὰ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμονα.

4. Παροιμίαι 17, 20.

Ὁ σκληροκάρδιος οὐ συναντᾷ ἀγαθοῖς.

5. Σιρὰχ 3, 26.

Καρδία σκληρὰ κακωθήσεται ἐπ' ἐσχάτων· καρδία σκληρὰ βαρυνθήσεται πόνοις.

6. Σιρὰχ 32, 18.

Κύριος οὐ μὴ βραδύνῃ, οὐδὲ μὴ μακροθυμήσῃ ἐπ' αὐτοῖς κραταιός· ἕως ἂν συντρίψῃ ὀσφὺν ἀνελεημόνων.

7. Παροιμίαι 17, 5.

Ὁ ἐπιχαίρων ἀπολλυμένῳ, οὐκ ἀθωωθήσεται· ὁ δὲ σπλαγχνιζόμενος ἐλεηθήσεται.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

8. Παῦλος, πρὸς Ἐφεσίους 4, 31 - 32.

Πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν, σὺν πάσῃ κακίᾳ· γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.

9. Πέτρος, Ἐπιστολὴ καθολικὴ Α'. 3, 8.

Τὸ δὲ τέλος πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες.

10. Παῦλος, πρὸς Ἑβραίους 13, 3.

Μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι· τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι.

11. Ματθαῖος 25, 34 - 41.

Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ, Δεῦτε, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνός, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπισκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με.. Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.

12. Λουκᾶς 6, 36.

Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν.

---

13. Δημόκριτος, ἀπ. 215 (Mullach 1, 354).

Ὅταν οἱ δυνάμενοι τοῖσι μὴ ἔχουσι καὶ προτελέειν τολμέωσι καὶ ὑπουργέειν καὶ χαρίζεσθαι, ἐν τούτῳ ἤδη καὶ τὸ οἰκτείρειν ἔνεστιν.

14. Πλάτων, Νόμοι 936 Β.

Οἰκτρὸς δέ.. ὁ σωφρονῶν ἢ τινα ἀρετὴν ἢ μέρος ἔχων ταύτης, ἄν τινα ξυμφορὰν πρὸς τούτοις κεκτῆται· διὸ θαυμαστὸν ἂν γένοιτο, εἴ τις ὢν τοιοῦτος ἀμεληθείη τὸ παράπαν, ὥστ' εἰς πτωχείαν τὴν ἐσχάτην ἐλθεῖν . . ἐν οἰκουμένῃ καὶ μετρίως πολιτείᾳ τε καὶ πόλει.

15. Χείλων παρ' Ἰωάννῃ τῷ Στοβαίῳ, Ἀνθολ. 112, 11.

Ἀτυχοῦντι μὴ ἐπιγέλα· κοινὴ γὰρ ἡ τύχη.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

16. Εὐριπίδης, ἀπ. 128.

Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων
οὐ πώποθ' ὕβρισ', αὐτὸς ὀρρωδῶν παθεῖν.

17. Μένανδρος, ἀπ. 673 (Kock 3, 195).

Ταῖς ἀτυχίαισι μὴ 'πίχαιρε τῶν πέλας·
πρὸς τὴν τύχην γὰρ ζυγομαχεῖν οὐ ῥᾴδιον.

18. Εὐριπίδης, ἀπ. 410.

Μὴ σκυθρωπὸς ἴσθ' ἄγαν
πρὸς τοὺς κακῶς πράσσοντας, ἄνθρωπος γεγώς.

19. Σοφοκλῆς, Φιλοκτήτης 500.

Νῦν δ', ἐς σὲ γὰρ πομπόν τε καὐτὸν ἄγγελον
ἥκω, σὺ σῶσον, σύ μ' ἐλέησον, εἰσορῶν
ὡς πάντα δεινὰ κἀπικυνδύνως βροτοῖς
κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θάτερα.
χρὴ δ' ἐκτὸς ὄντα πημάτων τὰ δεῖν' ὁρᾶν,
χὥταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον
σκοπεῖν μάλιστα μὴ διαφθαρεὶς λάθῃ.

20. Εὐριπίδης, ἀπ. 411.

Ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ
στάζειν.

21. Ὅμηρος, Ὀδυσ. υ 199.

Χαῖρε, πάτερ ὦ ξεῖνε. γένοιτό τοι ἐς περ ὀπίσσω
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσιν.
Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
οὐκ ἐλεαίρεις ἄνδρας, ἐπὴν δὴ γείνεαι αὐτός,
μισγέμεναι κακότητι καὶ ἄλγεσι λευγαλέοισιν.
ἶδιον, ὡς ἐνόησα, δεδάκρυνται δέ μοι ὄσσε
μνησαμένῳ Ὀδυσῆος, ἐπεὶ καὶ κεῖνον ὀΐω
τοιάδε λαίφε' ἔχοντα κατ' ἀνθρώπους ἀλάλησθαι,
εἴ που ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο.
εἰ δ' ἤδη τέθνηκε καὶ εἰν Ἀΐδαο δόμοισιν,
ὤ μοι ἔπειτ' Ὀδυσῆος ἀμύμονος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

22. Ἀριστοφάνης, Σφῆκες 967.

Ὦ δαιμόνι', ἐλέει ταλαιπωρουμένους.

23. Σοφοκλῆς, Οἰδίπους ἐπὶ Κολωνῷ 254.

Ἀλλ' ἴσθι, τέκνον Οἰδίπου, σέ τ' ἐξ ἴσου
οἰκτείρομεν καὶ τόνδε συμφορᾶς χάριν.

24. Σοφοκλῆς, Ἀντιγόνη 801.

Νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν
ἔξω φέρομαι τάδ' ὁρῶν, ἴσχειν δ'
οὐκέτι πηγὰς δύναμαι δακρύων,
τὸν παγκοίταν ὅθ' ὁρῶ θάλαμον
τήνδ' Ἀντιγόνην ἀνύτουσαν.

25. Σοφοκλῆς, Αἴας 121.

Ἐγὼ μὲν οὐδέν' οἶδα· ἐποικτείρω δέ νιν
δύστηνον ἔμπας, καίπερ ὄντα δυσμενῆ,
ὀθούνεκ' ἄτῃ συγκατεύζεκται κακῇ,
οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν.
ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ' ὅσοι περ ζῶμεν ἢ κούφην σκιάν.

26. Ὅμηρος, Ἰλιάδ. Ω 503-526. 549-551. 599-604.

« Ἀλλ' αἰδεῖο θεούς, Ἀχιλλεῦ, αὐτόν τ' ἐλέησον
μνησάμενος σοῦ πατρός. ἐγὼ δ' ἐλεεινότερός περ,
ἔτλην δ', οἷ' οὔ πώ τις ἐπιχθόνιος βροτὸς ἄλλος,
ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρ' ὀρέγεσθαι »
ὣς φάτο, τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὧρσε γόοιο·
ἁψάμενος δ' ἄρα χειρὸς ἀπώσατο ἦκα γέροντα.
τὼ δὲ μνησαμένω ὁ μὲν Ἕκτορος ἀνδροφόνοιο
κλαῖ' ἀδινά, προπάροιθε ποδῶν Ἀχιλῆος ἐλυσθείς,
αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε
Πάτροκλον· τῶν δὲ στοναχὴ κατὰ δώματ' ὀρώρει.
αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεύς,
αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη,
οἰκτείρων πολιόν τε κάρη πολιόν τε γένειον,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
«ἆ δείλ, ἦ δὴ πολλὰ κάκ' ἄνσχεο σὸν κατὰ θυμόν.
πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
ἀνδρὸς ἐς ὀφθαλμούς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
υἱέας ἐξενάριξα; σιδήρειον νύ τοι ἦτορ.
ἀλλ' ἄγε δή κατ' ἄρ' ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ' ἔμπης
ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν ἀχνύμενοί περ·
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.
ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσιν,
ζώειν ἀχνυμένοις —
ἄνσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν·
οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἱος ἐῆος,
οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθῃσθα —
υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες,
κεῖται δ' ἐν λεχέεσ'· ἅμα δ' ἠοῖ φαινομένῃφιν
δψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
καὶ γάρ τ' ἠύκομος Νιόβη ἐμνήσατο σίτου,
τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.

27. Πλάτων, Νόμοι 926 D.

Νῦν δὴ τοῖς ὀρφανοῖς παισὶ γένεσις οἷον δευτέρα τις γίγνοιτ' ἄν. μετὰ μὲν οὖν τὴν πρώτην ἑκάστοις εἴρηνται τροφαὶ καὶ παιδεύσεις· μετὰ δὲ τὴν δευτέραν, ἔρημον πατέρων γενομένην, μηχανᾶσθαι δεῖ, τίνα τρόπον ἡ τῆς ὀρφανίας τύχη τοῖς γενομένοις ὀρφανοῖς ὡς ἥκιστα ἕλεον ἕξει τῆς συμφορᾶς. πρῶτον μὲν δή φαμεν νομοθετεῖν αὐτοῖς τοὺς νομοφύλακας ἀντὶ γεννητόρων πατέρας οὐ χείρους, καὶ δὴ καὶ καθ' ἕκαστον ἐνιαυτὸν ὡς οἰκείων ἐπιμελεῖσθαι προστάττομεν, ἐμμελῆ τούτοις τε αὐτοῖς περὶ τροφῆς ὀρφανῶν προοιμιασάμενοι καὶ τοῖς ἐπιτρόποις.. πιστεύειν δὲ ταῖς ἄλλαις φήμαις χρεὼν περὶ τὰ τοιαῦτα, οὕτω πολλαῖσι καὶ σφόδρα παλαιαῖς οὔσαις, πιστεύειν δ' αὖ καὶ τοῖς νομοθετοῦσι ταῦθ' οὕτως ἔχειν, ἄν περ μὴ παντάπασιν ἄφρονες φαίνωνται. ταύτῃ δὲ εἰ ταῦτ' ἐστὶ κατὰ φύσιν, πρῶτον μὲν τοὺς ἄνω θεοὺς φοβείσθων, οἳ τῶν ὀρφανῶν τῆς ἐρημίας αἰσθήσεις ἔχουσι, καὶ τὰ περὶ ταῦτα ὀξὺ μὲν ἀκούουσι, βλεπουσί τε ὀξύ, τοῖς τε περὶ αὐτὰ δικαίοις εὐμενεῖς εἰσι, νεμεσῶσί τε μάλιστα αὖ τοῖς εἰς ὀρφανὰ καὶ ἔρημα ὑβρίζουσι, παρακαταθήκην εἶναι μεγίστην ἡγούμενοι καὶ ἱερωτάτην.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

28. Διόδωρος ὁ Σικελιώτης 12, 12 καὶ 13.

Χαρώνδας .. ἐνομοθέτησε τῶν πολιτῶν τοὺς υἱεῖς ἅπαντας μανθάνειν γράμματα, χορηγούσης τῆς πόλεως τοὺς μισθοὺς τοῖς διδασκάλοις. ὑπέλαβε γὰρ τοὺς ἀπόρους τοῖς βίοις, ἰδίᾳ μὴ δυναμένους διδόναι μισθούς, ἀποστερηθήσεσθαι τῶν καλλίστων ἐπιτηδευμάτων . . . Ὅθεν ὡς μεγάλων τινῶν ἀγαθῶν ἀποστερουμένους τοὺς ἀγραμμάτους διωρθώσατο τῇ νομοθεσίᾳ ταύτῃ καὶ δημοσίας ἐπιμελείας τε καὶ δαπάνης ἠξίωσε, καὶ τοσοῦτον ὑπερεβάλετο τοὺς πρότερον νομοθετήσαντας δημοσίῳ μισθῷ τοὺς νοσοῦντας τῶν ἰδιωτῶν ὑπὸ ἰατρῶν θεραπεύεσθαι ὥσθ' οἱ μὲν τὰ σώματα θεραπείας ἠξίωσαν, ὁ δὲ τὰς ψυχὰς τὰς ὑπ' ἀπαιδευσίας ἐνοχλουμένας ἐθεράπευσεν.

29. Ὅμηρος, Ἰλιάδ. Λ 805 - Μ 2.

Βῆ δὲ θέειν παρὰ νῆας ἐπ' Αἰακίδην Ἀχιλῆα.
ἀλλ' ὅτε δὴ κατὰ νῆας Ὀδυσσῆος θείοιο
ἶξε θεῶν Πάτροκλος . . .
ἔνθα οἱ Εὐρύπυλος βεβλημένος ἀντεβόλησε,
διογενὴς Εὐαιμονίδης, κατὰ μηρὸν ὀιστῷ,
σκάζων ἐκ πολέμου· κατὰ δὲ νότιος ῥέεν ἱδρὼς
ὤμων καὶ κεφαλῆς, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο
αἷμα μέλαν κελάρυζε, νόος γέ μὲν ἔμπεδος ἦεν.
τὸν δὲ ἰδὼν ὤκτειρε Μενοιτίου ἄλκιμος υἱός,
καί ῥ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
« ἆ δειλοί, Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες,
ὥς ἄρ' ἐμέλλετε τῆλε φίλων καὶ πατρίδος αἴης
ἄσειν ἐν Τροίῃ ταχέας κύνας ἀργέτι δημῷ . . .
πῶς τ' ἄρ' ἔοι τάδε ἔργα; τί ῥέξομεν, Εὐρύπυλ' ἥρως;
ἔρχομαι, ὄφρ' Ἀχιλῆι δαΐφρονι μῦθον ἐνίσπω,
ὃν Νέστωρ ἐπέτελλε Γερήνιος, οὖρος Ἀχαιῶν·
ἀλλ' οὐδ' ὧς περ σεῖο μεθήσω τειρομένοιο ».
ἦ, καὶ ὑπὸ στέρνοιο λαβὼν ἄγε ποιμένα λαῶν
ἐς κλισίην· θεράπων δὲ ἰδὼν ὑπέχευε βοείας.
ἔνθα μιν ἐκτανύσας ἐκ μηροῦ τάμνε μαχαίρῃ
ὀξὺ βέλος περιπευκές, ἀπ' αὐτοῦ δ' αἷμα κελαινὸν
νίζ' ὕδατι λιαρῷ, ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν
χερσὶ διατρίψας, ὀδυνήφατον, ἣ οἱ ἀπάσας
ἔσχ' ὀδύνας· τὸ μὲν ἕλκος ἐτέρσετο, παύσατο δ' αἷμα.
ὣς ὁ μὲν ἐν κλισίῃσι Μενοιτίου ἄλκιμος υἱὸς
ἰᾶτ' Εὐρύπυλον βεβλημένον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

30. Δημοσθένης, περὶ τῆς Ῥοδίων ἐλευθερίας 21, σελ. 196.

Δεῖ . . τοὺς εὐτυχοῦντας περὶ τῶν ἀτυχούντων ἀεὶ φαίνεσθαι τὰ βέλτιστα βουλευομένους, ἐπειδήπερ ἄδηλον τὸ μέλλον ἅπασιν ἀνθρώποις.

31. Μένανδρος, ἀπ. 679 (Kock 3, 197).

Εἰ πάντες ἐβοηθοῦμεν ἀλλήλοις ἀεί,
οὐδεὶς ἂν ὢν ἄνθρωπος ἐδεήθη τύχης.

32. Δημοσθένης, κατὰ Τιμοκράτους 53, σελ. 717.

Εἰ τοίνυν τις ἔροιθ' ὑμᾶς ποτέροις μᾶλλον ἂν εἰκότως ποιήσαιθ' ὁτιοῦν, τοῖς δεομένοις ἢ τοῖς ἐπιτάττουσιν, οἶδ' ὅτι φήσαιτ' ἂν τοῖς δεομένοις· τὸ μὲν γὰρ χρηστῶν, τὸ δ' ἀνάνδρων ἀνθρώπων ἔργον ἐστίν.

33. Πλάτων, Μενέξενος 244 E καὶ 245 C.

Καὶ δὴ καὶ εἴ τις βούλοιτο τῆς πόλεως κατηγορῆσαι δικαίως, τοῦτ' ἂν μόνον λέγων ὀρθῶς ἂν κατηγοροῖ, ὡς ἀεὶ λίαν φιλοικτίρμων ἐστὶ καὶ τοῦ ἥττονος θεραπίς.—οὕτω δή τοι τό γε τῆς πόλεως γενναῖον καὶ ἐλεύθερον βέβαιόν τε καὶ ὑγιές ἐστι καὶ φύσει μισοβάρβαρον, διὰ τὸ εἰλικρινῶς εἶναι Ἕλληνες καὶ ἀμιγεῖς βαρβάρων.

34. Δημοσθένης, κατὰ Τιμοκράτους 170, σελ. 753.

Τὸν γὰρ ὑπὲρ τῆς πόλεως πράττοντά τι καὶ πράων ὑμῶν τευξόμενον τὸ τῆς πόλεως ἦθος ἔχοντα δεῖ φαίνεθαι. τοῦτο δ' ἐστὶ τί; τοὺς ἀσθενεῖς ἐλεεῖν, τοῖς ἰσχυροῖς καὶ δυναμένοις μὴ ἐπιτρέπειν ὑβρίζειν, οὐ τοὺς μὲν πολλοὺς ὠμῶς μεταχειρίζεσθαι, κολακεύειν δὲ τὸν ἀεί τι δύνασθαι δοκοῦντα.

35. Σοφοκλῆς, Οἰδίπους ἐπὶ Κολωνῷ 260.

Τὰς γ' Ἀθήνας φασὶ θεοσεβεστάτας
εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον
σώζειν οἵας τε καὶ μόνας ἀρκεῖν ἔχειν.

36. Μένανδρος, ἀπ. 203 (Kock 3, 58).

Ἐλεεῖν δ' ἐκεῖνος ἔμαθεν εὐτυχῶν μόνος.

37. Ἀριστοτέλης, Ῥητορικὴ 1386, 6, 9.

Ἀντίκειται δὲ τῷ ἐλεεῖν μάλιστα μὲν ὃ καλοῦσι νεμεσᾶν . . ἄμφω

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὰ πάθη ἤθους χρηστοῦ· δεῖ γὰρ ἐπὶ μὲν τοῖς ἀναξίως πράττουσι κακῶς συνάχθεσθαι καὶ ἐλεεῖν, τοῖς δὲ εὖ νεμεσᾶν.

38. Ἀριστοτέλης, Φυσιογνωμονικὰ 808, 6, 1.

Ἐλεήμων ὁ σοφὸς . . καὶ κόσμιος, ἀνελέητος ὁ ἀμαθὴς καὶ ἀναιδής 1).

---

9. ΕΥΓΝΩΜΟΣΥΝΗ ΚΑΙ ΑΧΑΡΙΣΤΙΑ

Ὁ ἀνταποδιδοὺς χάριτας εὑρίσκει ἐν τῇ δυστυχίᾳ αὐτοῦ στήριγμα. Ὁ ἀχάριστος ἔχει ἐν νῷ νὰ ἐγκαταλείπῃ τὸν σωτῆρα αὐτοῦ. Ὁ ἀνταποδίδων κακὰ ἀντὶ ἀγαθῶν δυστυχεῖ καὶ ἀφανίζεται. — Τῶν ὑπὸ τοῦ Θεοῦ εἰς ἅπαν τὸ ἀνθρώπινον γένος τεθέντων ἀγράφων νόμων οἱ πρῶτοι εἶνε τὸ σέβεσθαι τὸν Θεόν, τὸ τιμᾶν τοὺς γονεῖς καὶ τὸ ἀντευεργετεῖν τοὺς εὖ ποιοῦντας· τούτου δ' ἕνεκα ταῦτα εἶνε πᾶσι τοῖς ἀνθρώποις νόμιμα. Οἱ ἄνθρωποι κακοποιούμενοι ἐνθυμοῦνται τὴν βλάβην μακρότερον χρόνον ἢ εὐεργετούμενοι τὴν εὐεργεσίαν. Οἱ κακοὶ ποτὲ δὲν ἐνθυμοῦνται τὰς εὐεργεσίας. Οἱ εὐγνωμονοῦντες εἶνε πολὺ σπάνιοι εἰς τὸν κόσμον. Οἱ εὐεργετοῦντες ἀγαπῶσι μᾶλλον τοὺς εὐεργετουμένους ἢ οὗτοι τοὺς εὐεργέτας αὐτῶν· οἱ πλειότεροι εἶνε ἀμνήμονες τῶν εὐεργεσιῶν καὶ προτιμῶσι νὰ εὐεργετῶνται μᾶλλον ἢ νὰ εὐεργετῶσιν. Ἐνίοτε οἱ μάλιστα εὐεργετηθέντες εἶνε καὶ οἱ μάλιστα πικρότεροι ἐχθροί. Ἀχάριστοι καλοῦνται οἱ μὴ ἀνταποδίδοντες τὴν χάριν ὅταν δύνανται νὰ ἀνταποδώσωσιν αὐτήν. Ἡ ἀχαριστία εἶνε ἀδικία, ὁ ἀχάριστος ἄδικος. Πονηρότατον τὸ ἀχαριστεῖν καὶ ὑπὲρ πᾶν ἄλλο ἀδικώτατον, καθόσον καὶ κακοποιοῦνται καὶ δὲν ἀντευεργετοῦνται ἄνθρωποι εὐεργέται. Αἰσχρὸν τὸ προδοῦναι τοὺς εὐεργέτας. Καὶ πάντες μὲν οἱ εὐεργέται εἶνε ἄξιοι εὐγνωμοσύνης, μάλιστα δὲ οἱ ἐν τοῖς κινδύνοις πρόθυμοι. Ἡ χάρις πρέπει ἐκ παντὸς τρόπου νὰ ἀνταποδίδηται. Πανταχοῦ νόμι-

1) Ἔτι *Σιράχ* 37, 11. — *Ἐκκλησιαστὴς* 7, 18. — *Παροιμίαι* 19, 17. 22, 22. 28, 15. — *Λουκᾶς* 10, 30 - 38. — *Ματθαῖος* 5, 7. — *Παῦλος*, πρὸς Ρωμαίους 1, 31. — *Ὅμηρος*, Ἰλ. Ε 24. 202. 561. 610. Ζ 275. 309. 407. 431. 484. Θ 350. Ν 15. Ο 12. 44. Π 5. 431. Ρ 346. 352. 648. Τ 340. Ω 23. 174. 332. 503. Ὀδύσσεια α 19. 6 81. δ 828. ε 336. ζ 206 - 210. κ. 157. 399. λ 55. 87. 395. ρ 367. 492 - 504. σ 215 - 225. — *Αἰσχύλος*, Χοηφόρ. 410. Ἀγαμέμν. 790. 1612. Ἱκέτιδ. 489. — *Σοφοκλῆς*, Αἴας 121. 136 - 140. 267. 276. 510. 652. 903. 923. Οἰδίπ. Τύραν. 12. 64. 93. Ἀντιγόνη 803. Τραχίνιαι 312. 464. Φιλοκτήτης 169. 308. 965. Ἠλέκτρα 1199. Οἰδίπ. ἐπὶ Κολων. 255. 461. 556. 744-753. — *Εὐριπίδης*, Ἰφιγ. ἐν Ταύροις 472-483. Ἑκάβη 851. — *Πλάτων*, Νόμοι 665 Α. Μενέξενος 248 D - 249 Β. — *Ἀριστοτέλης*, Πολιτικ. 1268, α, 8. Ρητορικὴ 1385, 6, 13 καὶ ἑξ. — *Ἰσοκράτης*, πρὸς Δημόν. 26, σελ. 7 c. — *Θουκυδίδης* 2, 46. — *Πολύβιος* 9, 10, 7. 38, 16, 9. — *Πλούταρχος*, Θεμιστοκλῆς, κ. 10, σελ. 117. Πότερα τῶν ζώων φρονιμώτερα κτλ. 959 F. — *Γαληνός*, Ὅτι ταῖς τοῦ σώματος κράσεσιν αἱ τῆς ψυχῆς δυνάμεις ἕπονται, κεφ. 11, ἔκδ. Kuhn, τόμ. 4, σελ. 817. ἔκδ. Jwan Müller, Lipsiae, 1891, τόμ. 2, σελ. 75. — *Ἰωάννης ὁ Στοβαῖος*, Ἀνθολ. 112, 1 - 15. 113, 1-17. — Ἴδε καὶ ἀνωτέρω, σελ. 233 καὶ τὰς ὑποσελιδ. σημ. 3 καὶ 4. Ἔτι σελ. 263 - 280.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μον τὸ ἀντευεργετεῖν τοὺς εὖ ποιοῦντας. Ὅσοι δὲν τηροῦσι ταῦτα τιμωροῦνται πικρῶς· γίνονται ἔρημοι φίλων ἀγαθῶν καὶ ἀναγκάζονται νὰ προστρέχωσιν εἰς τοὺς μισοῦντας αὐτούς. Ἡ ἀχαριστία ὑπὲρ πᾶν ἄλλο ὑποθάλπει τὸ πρὸς ἀλλήλους μῖσος τῶν ἀνθρώπων· διὸ συμφέρει νὰ ἀποκόπτηται αὕτη εὐθὺς ἐκ παίδων. Ὁ ἀχάριστος δὲν σέβεται τὸν Θεόν, δὲν ἀγαπᾷ τοὺς γονεῖς, δὲν ἀγαπᾷ τὴν πατρίδα αὐτοῦ, δὲν εἶνε πιστὸς φίλος· σὺν τῷ χρόνῳ δὲ γίνεται καὶ ἀναίσχυντος. Ἀλλὰ τοιοῦτος γενόμενος πρὸ οὐδενὸς αἰσχροῦ ἀποδειλιᾷ. Θεία ἐντολὴ τὸ ἀντευεργετεῖν τοὺς εὐεργέτας. Χρηστοῦ ἀνθρώπου τὸ νὰ εἶνε τις διὰ παντὸς τοῦ βίου αὐτοῦ εὐγνώμων πρὸς τοὺς εὐεργέτας. Τοῦτο δύνανται μόνον οἱ εὐγενεῖς νὰ καταπράξωσιν. Οἱ ἀγενεῖς δὲν δύνανται. Οὗτοι εἶνε ἀχάριστοι.

1. Σιρὰχ 3, 31.

Ὁ ἀνταποδιδοὺς χάριτας μέμνηται εἰς τὰ μετὰ ταῦτα, καὶ ἐν καιρῷ πτώσεως αὐτοῦ εὑρήσει στήριγμα.

2. Σιρὰχ 29, 16.

Ἀχάριστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυσάμενον.

3, Παροιμίαι 17, 13.

Ὃς ἀποδίδωσι κακὰ ἀντὶ ἀγαθῶν, οὐ κινηθήσεται κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ.

---

4. Ξενοφῶν, Ἀπομνημονεύματα 4, 4, 19 καὶ 24.

Ἀγράφους δέ τινας, οἶσθα, ἔφη, ὦ Ἱππία, νόμους; Τοὺς γ' ἐν πάσῃ, ἔφη, χώρᾳ κατὰ ταὐτὰ νομιζομένους . . τίνας οὖν, ἔφη, νομίζεις τεθεικέναι τοὺς νόμους τούτους; Ἐγὼ μέν, ἔφη, θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι· καὶ γὰρ παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται θεοὺς σέβειν. Οὐκοῦν καὶ γονέας τιμᾶν πανταχοῦ νομίζεται; Καὶ τοῦτο, ἔφη . . Τί δέ; τοὺς εὖ ποιοῦντας ἀντευεργετεῖν οὐ πανταχοῦ νόμιμόν ἐστι; Νόμιμον, ἔφη.

5. Λυσίας, ὑπὲρ Πολυστράτου 32, σελ. 160.

Λέγεται γὰρ τοὺς κακῶς πεπονθότας μεμνῆσθαι μᾶλλον ἢ τοὺς εὖ.

6. Ὅμηρος, Ὀδύσσ. δ 694.

Ἀλλ' ὁ μὲν ὑμέτερος θυμὸς καὶ ἀεικέα ἔργα
φαίνεται, οὐδέ τις ἔστι χάρις μετόπισθ' ἐυεργέων.

7. Ἀναξανδρίδης ὁ κωμικός, ἀπ. 66 (Kock 2, 162).

Οὐχὶ παρὰ πολλοῖς ἡ χάρις τίκτει χάριν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

8. Ἀριστοτέλης, Ἠθικὰ Νικομάχεια 1167, 6, 17. 27.

Οἱ δ' εὐεργέται τοὺς εὐεργετηθέντας δοκοῦσι μᾶλλον φιλεῖν ἢ οἱ εὖ παθόντες τοὺς δράσαντας — ἀμνήμονες γὰρ οἱ πολλοί, καὶ μᾶλλον εὖ πάσχειν ἢ ποιεῖν ἐφίενται.

9. Σαπφώ, ἀπ. 12 (Bergk 3, 93).

Ὄττινας γὰρ
εὖ θέω, κῆνοί με μάλιστα σίννονται.

10. Ξενοφῶν, Ἀπομνημονεύματα 2, 2, 1.

Τοὺς . . εὖ παθόντας, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν . . Καὶ δοκεῖ μοι, ὑφ' οὗ ἄν τις εὖ παθὼν εἴτε φίλου εἴτε πολεμίου μὴ πειρᾶται χάριν ἀποδιδόναι, ἄδικος εἶναι. Οὐκοῦν, εἴ γε οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία ἡ ἀχαριστία.

11. Πορφύριος, πρὸς Μάρκελλαν 23.

Τὸ ἀχαριστεῖν πονηρότατον.

12. Ἀριστοτέλης, Ῥητορικὴ 1375, α, 10 καὶ 14.

Πολλῶν γὰρ ἀδικημάτων ὑπεροχὴ . . καὶ εἰ τοῦτον ὑφ' οὗ εὖ πέπονθεν· πλείω γὰρ ἀδικεῖ, ὅτι τε κακῶς ποιεῖ καὶ ὅτι οὐκ εὖ.

13. Θουκυδίδης 3, 55, 3.

Εἰ δ' ἀποστῆναι Ἀθηναίων οὐκ ἠθελήσαμεν ὑμῶν κελευσάντων, οὐκ ἠδικοῦμεν· καὶ γὰρ ἐκεῖνοι ἐβοήθουν ἡμῖν ἐναντία Θηβαίοις, ὅτε ὑμεῖς ἀπωκνεῖτε, καὶ προδοῦναι αὐτοὺς οὐκέτι ἦν καλόν, ἄλλως τε καὶ οὓς εὖ παθών τις καὶ αὐτὸς δεόμενος προσηγάγετο ξυμμάχους καὶ πολιτείας μετέλαβεν.

14. Θουκυδίδης 3, 63, 4.

Τὰς ὁμοίας χάριτας μὴ ἀντιδιδόναι αἰσχρὸν μᾶλλον ἢ τὰς μετὰ δικαισύνης μὲν ὀφειληθείσας, εἰς ἀδικίαν δὲ ἀποδιδομένας.

15. Δημοσθένης, πρὸς Λεπτίνην 46, σελ. 471.

Πάντες μὲν γάρ εἰσιν ἴσως ἄξιοι χάριν ἀνταπολαμβάνειν οἱ προϋπάρχοντες τῷ ποιεῖν εὖ, μάλιστα δ' οἱ παρὰ τὰς χρείας.

16. Σοφοκλῆς, Οἰδίπ. ἐπὶ Κολωνῷ 1201.

Λιπαρεῖν γὰρ οὐ καλὸν
δίκαια προσχρῄζουσιν, οὐδ' αὐτὸν μὲν εὖ
πάσχειν, παθόντα δ' οὐκ ἐπίστασθαι τίνειν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

17. Εὐριπίδης, Ἡρακλῆς μαινόμενος 1223.

Χάριν δὲ γηράσκουσαν ἐχθαίρω φίλων,
καὶ τῶν καλῶν μὲν ὅστις ἀπολαύειν θέλει,
ξυμπλεῖν δὲ τοῖς φίλοισι δυστυχοῦσιν οὔ.

18. Ξενοφῶν, Ἀπομνημονεύματα 4, 4, 24.

Τοὺς εὖ ποιοῦντας ἀντευεργετεῖν . . πανταχοῦ νόμιμόν ἐστι . . καὶ οἱ τοῦτο παραβαίνοντες δίκην διδόασι, φίλων μὲν ἀγαθῶν ἔρημοι γιγνόμενοι, τοὺς δὲ μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν,

19. Ξενοφῶν, Κύρου Παιδεία 1, 2, 7.

Δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται δὲ ἥκιστα, ἀχαριστίας, καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δέ, κολάζουσι καὶ τοῦτον ἰσχυρῶς. οἴονται γὰρ τοὺς ἀχαρίστους καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν καὶ περὶ γονέας καὶ πατρίδα καὶ φίλους. ἔπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών.

20. Πίνδαρος, Πυθιονικῶν 2, 21.

Θεῶν δ' ἐφετμαῖς Ἰξίονα φαντὶ ταῦτα βροτοῖς
λέγειν ἐν πτερόεντι τροχῷ
παντᾷ κυλινδόμενον·
τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι.

21. Δημοσθένης, περὶ τοῦ στεφάνου 269, σελ. 316.

Ἐγὼ νομίζω τὸν.. εὖ παθόντα δεῖν μεμνῆσθαι πάντα τὸν χρόνον.. εἰ δεῖ χρηστοῦ . . ποιεῖν ἔργον ἀνθρώπου.

22. Σοφοκλῆς, Αἴας 520.

Ἀνδρί τοι χρεὼν
μνήμην προσεῖναι, τερπνὸν εἴ τι που πάθοι.
χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί·
ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος,
οὐκ ἂν γένοιτ' ἔθ' οὗτος εὐγενὴς ἀνήρ 1).

---

1) Ἔτι Ὅμηρος, Ἰλ. Ξ 235. Ὀδύσ. δ 695. χ 234. — *Ἡσίοδος*, Θεογονία 503. — *Αἰσχύλος*, Προμηθεὺς 985. Ἀγαμέμνων 821. — *Σοφοκλῆς*, Φιλοκτήτης 557.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

10. ΣΤΟΡΓΗ ΤΩΝ ΓΟΝΕΩΝ ΠΡΟΣ ΤΑ ΤΕΚΝΑ

Οἱ πατέρες μὴ ἐρεθίζετε τὰ τέκνα, ἵνα μὴ ἀθυμῶσιν. Οἱ πατέρες παιδεύετε τὰ τέκνα ἐν ἀρετῇ καὶ εὐσεβείᾳ. — Οἱ γονεῖς δίδουσιν εἰς τὰ τέκνα τὴν ὕπαρξιν, γίνονται αὐτοῖς παραίτιοι τῆς ἀπολαύσεως πάντων τῶν ἀγαθῶν, ὅσα ὁ θεὸς παρέχει τοῖς ἀνθρώποις, μοχθοῦσι, ταλαιπωροῦνται, κινδυνεύουσιν ὑπὲρ τῶν τέκνων αὐτῶν, μεριμνῶσι καὶ δαπανῶσιν ὑπὲρ τῆς σωματικῆς καὶ τῆς πνευματικῆς καὶ ἠθικῆς μορφώσεως αὐτῶν. Κοινὴ πᾶσι τοῖς ζώοις ἡ πρὸς τὰ ἔκγονα στοργή. Ψυχὴ τοῦ ἀνθρώπου εἶνε τὰ τέκνα. Σύμπαν τὸ γένος τῶν ἀνθρώπων εἶνε φιλότεκνον. Οἱ ἀνεπτυγμένοι ἄνθρωποι ἀγαπῶσι τὰ τέκνα, τοὺς γονεῖς καὶ τὴν πατρίδα. Ἡ θυγάτηρ εἶνε τὸ γλυκύτατον ὂν εἰς πατέρα γέροντα· τὰ ἄρσενα εἶνε μὲν βοηθητικώτερα τῶν θυγατέρων, ὑπολείπονται ὅμως κατὰ τὴν γλυκύτητα. Οἱ γονεῖς οὐδέποτε δύνανται νὰ μισήσωσι τὰ τέκνα οἱαδήποτε καὶ ἂν εἶνε ταῦτα· ἐν παντὶ καιρῷ καὶ ἐν πάσῃ περιστάσει τὰ τέκνα εἶνε φίλτατα τοῖς γονεῦσιν. Οὗτοι πρὸ παντὸς ἄλλου ἐπιποθοῦσι νὰ ἴδωσι τὰ τέκνα αὐτῶν εὐδαίμονα. Εὐνοοῦντες αὐτὰ οὐδέποτε ἔχουσιν ἐν νῷ τὰς παρ' αὐτῶν ἐν τῷ μέλλοντι ὠφελείας. Ἡ στοργὴ τῶν γονέων εἶνε εἰλικρινής, ἀμέτοχος παντὸς ὑστερολογισμοῦ, ἀφοῦ σὺν τοῖς ἄλλοις καὶ ἀποθνήσκουσι μὴ δυνάμενοι νὰ ἀνθέξωσιν εἰς τὴν ἐκ τοῦ θανάτου αὐτῶν λύπην. Ἡ μήτηρ καὶ ἀδικουμένη ὑπὸ τῶν τέκνων ἀνέχεται τὰς ἀδικίας αὐτῶν, μικρὰ δὲ ὠφελουμένη ὑπ' αὐτῶν ἡγεῖται τὰς ὠφελείας πολὺ μεγάλας. Ἡ μήτηρ ὑπὲρ πᾶν ἄλλο τῶν ἐν τῷ κόσμῳ ἀγαπᾷ τὰ τέκνα. Πᾶν δ' ὅ,τι πράττει, καὶ τὰ δυσαρεστότατα τοῖς παιδίοις πολλάκις, πάντοτε ἐξ εὐνοίας πράττει ταῦτα. Ἡ μήτηρ δακρύει ἐπαναβλέπουσα τὰ τέκνα αὐτῆς μετὰ μακρὰν ἀποδημίαν ἐπανερχόμενα οἴκοι, ἀναταράττεται ἀκούουσα δυσάρεστα περὶ αὐτῶν, παρίσταται καὶ βοηθεῖ αὐτὰ ἐν ταῖς δυστυχίαις αὐτῶν, δακρύει, ὀλοφύρεται, ἀμύσσεται, βαρυθυμεῖ, μένει ἄσιτος καὶ ἄποτος, στερνοκοπεῖται, λιποθυμεῖ, ἀποθνήσκει βλέπουσα τὰ τέκνα αὐτῆς θλιβόμενα, βαρυπενθοῦντα, κινδυνεύοντα· μετέρχεται δὲ πᾶν μέσον καὶ μηχανᾶται πᾶσαν μηχανὴν καὶ δὴ μετὰ μεγίστης προθυμίας καὶ ἀφοβίας, ὅπως ἀνακουφίσῃ καὶ βοηθήσῃ καὶ ἐξασφαλίσῃ αὐτά. Οὐδὲν μητρὸς εὐμενέστερον. Οὐχὶ σπανίως οἱ πατέρες ὑπὲρ πάντα τῶν ἐν τῷ κόσμῳ προτιμῶσι τὰ τέκνα αὐτῶν. Προνοοῦσιν αὐτῶν ὅπως μὴ ἀπολείψῃ αὐτὰ τὰ ἀγαθά. Ὁ μισότεκνος εἶνε πολίτης κακὸς καὶ ἄρχων τῆς πολιτείας ὀλέθριος. Ὁ εὐχαριστῶν τὰ τέκνα αὐτοῦ εὐχαριστεῖ τὴν ἰδίαν αὐτοῦ ψυχήν. Τὸ σπουδαιότατον ἔργον τῶν γονέων εἶνε ἡ φροντίς, ὅπως τὰ τέκνα γένωνται ὡς βέλτιστα, τοῦθ' ὅπερ εἶνε καὶ τὸ θειότατον τῶν ἐπὶ τῆς γῆς. Οἱ χρηστοὶ γονεῖς μόνον ἕνα πόθον τηροῦσιν ἄσβεστον εἰς τὴν ψυχὴν αὐτῶν· διακαῶς ποθοῦσι νὰ ἴδωσι τὰ τέκνα ἀμείνονα καὶ εὐτυχέστερα αὐτῶν. Τοῦτο εὐφραίνει τὴν πατρικὴν καὶ μητρικὴν καρδίαν ὑπὲρ πᾶν

670. Ἠλέκτρα 134. Οἰδίπους ἐπὶ Κολωνῷ 1489. 1499. 1554. Ἀντιγόνη 331.— *Εὐριπίδης*, Ἄλκηστις 299.— *Ξενοφῶν*, Ἀπομνημονεύματα 2, 2. Ἀγησίλαος 11, 3. — *Θουκυδίδης* 1, 137, 2. — *Ἀριστοτέλης*, Ἠθικὰ Νικομάχεια 1133, α, 4. 1167, 6, 17 καὶ ἑξ. Ῥητορ. πρὸς Ἀλέξανδρον 1445, α, 1. — *Ἰσοκράτης*, πρὸς Φίλιππον 154, σελ. 113 c. — *Πολύβιος* 6, 6, 2 - 8. 27, 8 c, 4. — *Πλούταρχος*, βίος Μάρκου Κάτωνος, κεφ. 5, σελ. 339. — *Μάρκος Ἀντωνῖνος*, Τῶν εἰς ἑαυτὸν 11, 25.— Ἴδε καὶ ἀνωτέρω, σελ. 257 - 258.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄλλο τῶν ἐν τῷ κόσμῳ, τοῦτο κινεῖ εἰς δάκρυα τοὺς φιλοστόργους γονεῖς, τοῦτο ἀνακουφίζει τὸ γῆρας αὐτῶν. Γονεῖς φιλόστοργοι οὐδὲν εὔχονται διακαέστερον ἢ νὰ διαγάγωσι τὸ γῆρας αὐτῶν ἐν μέσῳ υἱῶν χρηστῶν. Τοῦτο θεωροῦσιν ὡς τὸ μέγιστον δῶρον τοῦ θεοῦ, τοῦτο ὑπολαμβάνουσιν ὡς τὴν ὑψίστην ἐν τῷ κόσμῳ εὐτυχίαν.

1. Παῦλος, πρὸς Κολοσσαεῖς 3, 21.

Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν.

2. Παῦλος, πρὸς Ἐφεσίους 6, 4.

Οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.

---

3. Ξενοφῶν, Ἀπομνημονεύματα 2, 2, 3. 5.

Τίνας οὖν, ἔφη, ὑπὸ τίνων εὕροιμεν ἂν μείζω εὐεργετημένους ἢ παῖδας ὑπὸ γονέων; οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι, τοσαῦτα δὲ καλὰ ἰδεῖν καὶ τοσούτων ἀγαθῶν μετασχεῖν, ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις — καὶ ὁ μέν γε ἀνὴρ τήν τε συντεκνοποιήσουσαν ἑαυτῷ τρέφει καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προπαρασκευάζει πάντα, ὅσα ἂν οἴηται συνοίσειν αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦτα ὡς ἂν δύνηται πλεῖστα· ἡ δὲ γυνὴ ὑποδεξαμένη τε φέρει τὸ φορτίον τοῦτο, βαρυνομένη τε καὶ κινδυνεύουσα περὶ τοῦ βίου καὶ μεταδιδοῦσα τῆς τροφῆς, ᾗ καὶ αὐτὴ τρέφεται, καὶ σὺν πολλῷ πόνῳ διενεγκοῦσα καὶ τεκοῦσα τρέφει τε καὶ ἐπιμελεῖται, οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθόν, οὔτε γιγνῶσκον τὸ βρέφος, ὑφ' ὅτου εὖ πάσχει, οὐδὲ σημαίνειν δυνάμενον, ὅτου δεῖται, ἀλλ' αὐτὴ στοχαζομένη τά τε συμφέροντα καὶ κεχαρισμένα πειρᾶται ἐκπληροῦν καὶ τρέφει πολὺν χρόνον καὶ ἡμέρας καὶ νυκτὸς ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα, τίνα τούτων χάριν ἀπολήψεται. καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ καί, ἐπειδὰν δόξωσιν ἱκανοὶ εἶναι οἱ παῖδες μανθάνειν τι, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς τὸν βίον, διδάσκουσιν· ἃ δ' ἂν οἴωνται ἄλλον ἱκανώτερον εἶναι διδάξαι, πέμπουσι πρὸς τοῦτον δαπανῶντες καὶ ἐπιμελοῦνται πάντα ποιοῦντες, ὅπως οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4. Εὐριπίδης, ἀπ. 334.

Εἷς γάρ τις ἔστι κοινὸς ἀνθρώποις νόμος
καὶ θεοῖσι τοῦτο δόξαν, ὡς σαφῶς λέγω,
θηρσίν τε πᾶσι, τέκνα τίκτουσιν φιλεῖν.
τὰ δ' ἄλλα χωρὶς χρώμεθ' ἀλλήλων νόμοις.

5. Εὐριπίδης, Ἀνδρομάχη 418.

Πᾶσι δ' ἀνθρώποις ἄρ' ἦν
ψυχὴ τέκν'·
ὅστις δ' αὖτ' ἄπειρος ὢν ψέγει,
ἥσσον μὲν ἁλγεῖ, δυστυχῶν δ' εὐδαιμονεῖ.

6. Εὐριπίδης, Ἡρακλῆς μαινόμενος 633.

Πάντα τἀνθρώπων ἴσα.
φιλοῦσι παῖδας οἵ τ' ἀμείνονες βροτῶν
οἵ τ' οὐδὲν ὄντες· χρήμασιν δὲ διάφοροι·
ἔχουσιν, οἱ δ' οὔ· πᾶν δὲ φιλότεκνον γένος.

7. Σοφοκλῆς, Οἰδίπους ἐπὶ Κολωνῷ 1108.

Τῷ τεκόντι πᾶν φίλον.

8. Εὐριπίδης, Φοίνισσαι 965.

Πᾶσι γὰρ ἀνθρώποισι φιλότεκνος βίος.

9. Εὐριπίδης, Ἱκέτιδες 506.

Φιλεῖν μὲν οὖν χρὴ τοὺς σοφοὺς πρῶτον τέκνα,
ἔπειτα τοκέας πατρίδα θ', ἣν αὔξειν χρεών
καὶ μὴ κατάξαι.

10. Εὐριπίδης, Ἱκέτιδες 1101.

Πατρὶ δ' οὐδὲν ἥδιον πέλει
γέροντι θυγατρός· ἀρσένων δὲ μείζονες
ψυχαί, γλυκεῖαι δ' ἥσσον ἐς θωπεύματα.

11. Πλάτων, Λύσις 212 Ε.

Τὰ νεωστὶ γεγονότα παιδία, τὰ μὲν οὐδέπω φιλοῦντα, τὰ δὲ καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μισοῦντα, ὅταν κολάζηται ὑπὸ τῆς μητρὸς ἢ ὑπὸ τοῦ πατρός, ὅμως καὶ μισοῦντα ἐν ἐκείνῳ τῷ χρόνῳ πάντων μάλιστά ἐστι τοῖς γονεῦσι φίλτατα.

12. Σοφοκλῆς, Ἠλέκτρα 770.

Δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς
πάσχοντι μῖσος ὢν τέκη προσγίγνεται.

13. Ὅμηρος, Ἰλιὰς Ε 889.— (ὁ Ζεὺς τῷ Ἄρει)

Μή τί μοι, ἀλλοπρόσαλλε, παρεζόμενος μινύριζε.
ἔχθιστος δέ μοι ἔσσι θεῶν οἳ Ὄλυμπον ἔχουσιν·
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε..
ἀλλ' οὐ μὰν σ' ἔτι δηρὸν ἀνέξομαι ἄλγε' ἔχοντα·
ἐκ γὰρ ἐμεῦ γένος ἐσσί, ἐμοί δέ σε γείνατο μήτηρ.
εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένευ ὤδ' ἀίδηλος,
καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώνων.

15. Πλάτων, Λύσις 207 D.

Ἦ που, ἦν δ' ἐγώ, ὦ Λύσι, σφόδρα φιλεῖ σε ὁ πατὴρ καὶ ἡ μήτηρ.. Οὐκοῦν βούλοιντο ἄν σε ὡς εὐδαιμονέστατον εἶναι.

15. Ἰωάννης ὁ Στοβαῖος, Ἐκλογαί, Ἠθικὰ 2, 6, 7, σελ. 185.

Οὐ μόνον αἱρετὰ τὰ τέκνα τοῖς γεναμένοις ἐστὶ διὰ τὰς χρείας ἀλλὰ καὶ δι' ἑαυτά.. οὐδένα γοῦν οὕτως ὠμὸν εἶναι καὶ θηριώδη τὴν φύσιν, ὃς οὐκ ἂν σπουδάζοι μετὰ τὴν ἑαυτοῦ τελευτὴν εὐδαιμονεῖν τὰ τέκνα.. ἀπὸ ταύτης οὖν τῆν φιλοστοργίας καὶ διαθήκας τελευτᾶν μέλλοντας τίθεσθαι καὶ τῶν ἔτι κυοφορουμένων φροντίζειν, ἐπιτρόπους ἀπολείποντας καὶ κηδεμόνας καὶ τοῖς φιλτάτοις παρατιθεμένους καὶ παρακαλοῦντας ἐπικουρεῖν αὐτοῖς, καί τινας μὴν ἀποθνήσκουσι τοῖς τέκνοις συναποθνήσκειν.

16. Λυσίας, κατὰ Φίλωνος 22, σελ. 188.

Μήτηρ, ἣ πέφυκε καὶ ἀδικουμένη ὑπὸ τῶν ἑαυτῆς παίδων μάλιστα ἀνέχεσθαι καὶ μικρ' ὠφελουμένη μέγαλα ἔχειν ἡγεῖσθαι διὰ τὸ εὐνοίᾳ μᾶλλον ἢ ἐλέγχῳ τὰ γιγνόμενα δοκιμάζειν.

17. Ξενοφῶν, Ἀπομνημονεύματα 2, 2, 9 καὶ 13.

Ἃ λέγει σοι ἡ μήτηρ, οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ βουλομένη σοι ἀγαθὰ εἶναι; ὅσα οὐδενὶ ἄλλῳ — τὴν μητέρα τὴν πάντων μάλιστά σε φιλοῦσαν . .

18. Ὅμηρος, Ὀδυσ. ρ 36-44.

Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσέῃ Ἀφροδίτῃ.
ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε δακρύσασα,
κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά,
καὶ ῥ' ὀλοφυρομένη ἔπεα πτερόντα προσηύδα·
«ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. οὐ σ' ἔτ' ἐγώ γε
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηὶ Πύλονδε».

19. Αἰσχύλος, Πέρσαι 845.— (Ἡ Ἄτοσσα περὶ τοῦ Ξέρξου)

Ὦ δαῖμον, ὡς με πόλλ' ἐσέρχεται κακὰ
ἄλγη, μάλιστα δ' ἥδε συμφορὰ δάκνει,
ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι
ἐσθημάτων κλύουσαν, ἣ νιν ἀμπέχει.
ἀλλ' εἶμι καὶ λαβοῦσα κόσμον ἐκ δόμων
ὑπαντιάζειν παιδί μου πειράσομαι.
οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

20. Ὅμηρος, Ἰλ. Σ 70-74.—(τῷ Ἀχιλλεῖ ἡ Θέτις)

Τῷ δὲ βαρὺ στενάχοντι παρίστατο πότνια μήτηρ,
ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο,
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
«τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
ἐξαύδα, μὴ κεῦθε . .».

21. Ὅμηρος, Ἰλ. Σ 32-64.

Ἀντίλοχος δ' ἐτέρωθεν ὀδύρετο δάκρυ λείβων,
χεῖρας ἔχων Ἀχιλῆος· ὁ δ' ἔστενε κυδάλιμον κῆρ . .
σμερδαλέον δὲ ὤμωξεν· ἄκουσε δὲ πότνια μήτηρ
ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι,
κώκυσέν τ' ἄρ' ἔπειτα· θεαὶ δέ μιν ἀμφαγέροντο,
πᾶσαι ὅσαι κατὰ βένθος ἁλὸς Νηρηίδες ἦσαν . . .
τῶν δὲ καὶ ἀργύφεον πλῆτο σπέος· αἱ δ' ἅμα πᾶσαι
στήθεα πεπλήγοντο, Θέτις δ' ἐξῆρχε γόοιο·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

»κλῦτε, κασίγνηται Νηρηίδες, ὄφρ' ἐὺ πᾶσαι
εἴδετ' ἀκούουσαι, ὅσ' ἐμῷ ἔνι κήδεα θυμῷ.
ὤ μοι ἐγὼ δειλή, ὤ μοι δυσαριστοτόκεια,
ἥ τ' ἐπεὶ ἄρ τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε,
ἔξοχον ἡρώων· ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἴσος·
τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὡς γουνῷ ἀλωῆς,
νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω
Τρωσὶ μαχησόμενον, τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
οἶκαδε νοστήσαντα δόμον Πηλήιον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
ἀλλ' εἶμ', ὄφρα ἴδωμι φίλον τέκος, ἠδ' ἐπακούσω,
ὅττι μιν ἵκετο πένθος ἀπὸ πτολέμοιο μένοντα.

22. Ὁμηρικὸς ὕμνος εἰς Δήμητραν 38 - 98.

Ἤχησαν δ' ὀρέων κορυφαὶ καὶ βένθεα πόντου
φωνῇ ὑπ' ἀθανάτῃ· τῆς δ' ἔκλυε πότνια μήτηρ.
ὀξὺ δέ μιν κραδίην ἄχος ἔλλαβεν, ἀμφὶ δὲ χαίταις
ἀμβροσίαις κρήδεμνα δαΐζετο χερσὶ φίλῃσι,
κυάνεον δὲ κάλυμμα κατ' ἀμφοτέρων βάλετ' ὤμων,
σεύατο δ', ὥστ' οἰωνός, ἐπὶ τραφερήν τε καὶ ὑγρὴν
μαιομένη . . .
ἐννῆμαρ μὲν ἔπειτα κατὰ χθόνα πότνια Δηὼ
στρωφᾶτ', αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχουσα,
οὐδέποτ' ἀμβροσίης καὶ νέκταρος ἡδυπότοιο
πάσσατ' ἀκηχεμένη, οὐδὲ χρόα βάλλετο λουτροῖς.
ἀλλ' ὅτε δὴ δεκάτη οἱ ἐπήλυθε φαινολὶς Ἠώς,
ἤντετό οἱ Ἑκάτη, σέλας ἐν χείρεσσιν ἔχουσα,
καὶ ῥά οἱ ἀγγελέουσα ἔπος φάτο φώνησέν τε·
Πότνια Δημήτηρ, ὡρηφόρε, ἀγλαόδωρε,
τίς θεῶν οὐρανίων ἠὲ θνητῶν ἀνθρώπων
ἥρπασε Περσεφόνην, καὶ σὸν φίλον ἤκαχε θυμόν;
φωνῆς γὰρ ἤκουσ' ἀτὰρ οὐκ ἴδον ὀφθαλμοῖσιν,
ὅστις ἔην· σοὶ δ' ὦκα λέγω νημερτέα πάντα . .
Ὣς ἄρ' ἔφη Ἑκάτη· τὴν δ' οὐκ ἠμείβετο μύθῳ
Ῥείης ἠϋκόμου θυγάτηρ, ἀλλ' ὦκα σὺν αὐτῇ
ἦιξ', αἰθομένας δαΐδας μετὰ χερὶν ἔχουσα.
Ἠέλιον δ' ἵκοντο, θεῶν σκοπὸν καὶ ἀνδρῶν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στὰν δ' ἵππων προπάροιθε καὶ εἴρετο δῖα θεάων·
Ἠέλι', αἴδεσσαί με θέας ὕπερ, εἰ ποτε δή σευ
ἢ ἔπει ἢ ἔργῳ κραδίην καὶ θυμὸν ἴηνα·
κούρην, τὴν ἔτεκον, γλυκερὸν θάλος, εἶδεϊ κυδρήν,
τῆς ἀδινὴν ὄπ' ἄκουσα δι' αἰθέρος ἀτρυγέτοιο
ὥστε βιαζομένης, ἀτὰρ οὐκ ἴδον ὀφθαμοῖσιν.
. . τὴν δ' ἄχος αἰνότερον καὶ κύντερον ἵκετο θυμόν.
χωσαμένη δὴ ἔπειτα κελενεφέϊ Κρονίωνι,
νοσφισθεῖσα θεῶν ἀγορὴν καὶ μακρὸν Ὄλυμπον
ᾤχετ' ἐπ' ἀνθρώπων πόλιας καὶ πίονα ἔργα,
εἶδος ἀμαλδύνουσα πολὺν χρόνον . .
φίλον τετιημένη ἦτορ.

23. Σοφοκλῆς, Αἴας 622.

Ἥ που ταλαίνᾳ μὲν σύντροφος ἀμέρᾳ,
λευκὰ δὲ γήρᾳ μάτηρ νιν ὅταν νοσοῦντα
φρενομόρως ἀκούσῃ,
αἴλινον αἴλινον
οὐδ' οἰκτρᾶς γόον ὄρνιθος ἀνδοῦς
ἥσει δύσμορος, ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς
θρηνήσει, χερόπλακτοι δ'
ἐν στέρνοισι πεσοῦνται
δοῦποι καὶ πολιᾶς ἄμυγμα χαίτας.

24. Ὅμηρος, Ὀδυσ. λ 195-203.—(Τῷ Ὀδυσσεῖ ἐν Ἅιδου ἡ μήτηρ αὐτοῦ)

Ἔνθ' ὅ γε (ὁ Λαέρτης) κεῖτ' ἀχέων, μέγα δὲ φρεσὶ πένθος ἀέξει
σὸν νόστον ποθέων· χαλεπὸν δ' ἐπὶ γῆρας ἱκάνει.
οὕτω γὰρ καὶ ἐγὼν ὀλόμην καὶ πότμον ἐπέσπον·
οὔτ' ἐμέ γ' ἐν μεγάροισιν ἐύσκοπος ἰοχέαιρα
οἷς ἀγανοῖς βαλέεσσιν ἐποιχομένη κατέπεφνεν,
οὔτε τις οὖν μοι νοῦσος ἐπήλυθεν, ἥ τε μάλιστα
τηκεδόνι στυγερῇ μελέων ἐξείλετο θυμόν·
ἀλλά με σός τε πόθος σά τε μήδεα, φαίδιμ' Ὀδυσσεῦ,
σή τ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

25. Εὐριπίδης, Ἄλκηστις 319.

Οὐδὲν μητρὸς εὐμενέστερον.

26. Πλάτων, Λύσις 219 D.

Ἐνίοτε πατὴρ υἱὸν ἀντὶ πάντων τῶν ἄλλων χρημάτων προτιμᾷ.

27. Ξενοφῶν, Κύρου Παιδεία 8, 1, 1.

Οἱ . . πατέρες προνοοῦσι τῶν παίδων, ὅπως μήποτ' αὐτοὺς τἀγαθὰ ἀπολείψει.

28. Αἰσχίνης, κατὰ Κτησιφῶντος 78, σελ. 470.

Ὁ γὰρ μισότεκνος καὶ πατὴρ πονηρὸς οὐκ ἄν ποτε γένοιτο δημαμαγωγὸς χρηστός, οὐδὲ ὁ τὰ φίλτατα καὶ οἰκειότατα σώματα μὴ στέργων οὐδέποθ' ὑμᾶς περὶ πλείονος ποιήσεται τοὺς ἀλλοτρίους, οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς οὐκ ἂν γένοιτο δημοσίᾳ χρηστός.

29. Ἀντιφάνης ὁ κωμικός, ἀπ. 260 (Kock 2, 121).

Υἱῷ γὰρ ἀγαπητῷ τι πράττων πρὸς χάριν
ἔρανον ἐμαυτῷ τοῦτον οἴομαι φέρειν.

30. Πλάτων, Θεάγης 127 D καὶ 132 B.

Οὐ γὰρ οἶδα ὑπὲρ ὅτου ἄν τις νοῦν ἔχων μᾶλλον σπουδάζοι ἢ ὑπὲρ υἱέος αὑτοῦ, ὅπως ὡς βέλτιστος ἔσται — οὐ γὰρ ἔστι περὶ ὅτου θειοτέρου ἂν ἄνθρωπος βουλεύσαιτο ἢ περὶ παιδείας καὶ αὑτοῦ καὶ τῶν αὑτοῦ οἰκείων.

31. Ὅμηρος, Ἰλιάδ. Ζ 476.

Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ' ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν,
ὧδε βίην τ' ἀγαθόν, καὶ Ἰλίου ἶφι ἀνάσσειν.
καὶ ποτέ τις εἴποι, «πατρὸς γ' ὅδε ἀμείνων»
ἐκ πολέμου ἀνιόντα· φέροι δ' ἔναρα βροτόεντα
κτείνας δήιον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.

32. Σοφοκλῆς, Αἴας 530. 538. 545. 550.

Κόμιζέ νύν μοι παῖδα τὸν ἐμὸν ὡς ἴδω . .
δός μοι προσειπεῖν αὐτὸν ἐμφανῆ τ' ἰδεῖν . .
αἶρ' αὐτόν, αἶρε δεῦρο. ταρβήσει γὰρ οὔ,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἴπερ δικαίως ἐστ' ἐμὸς τὰ πατρόθεν . .
Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός.

33, Πίνδαρος, Πυθιονικῶν 4, 117-123.

[σαφέως·
Λευκίππων δὲ δόμους πατέρων, κεδνοὶ πολῖται, φράσσατέ μοι
Αἰσονος γὰρ παῖς ἐπιχώριος,οὐ μὰν ξεῖνος ἥκω γαῖαν ἀλλων.
Φὴρ δέ με θεῖος Ἰάσονα κεκλήσκων προσηύδα.
Ὣς φάτο· τὸν μὲν εἰσελθόντ' ἔγνον ὀφθαλμοὶ πατρός·
ἐκ δ' ἄρ' αὐτῷ πομφόλυξαν δάκρυα γηραλέων γλεφάρων,
ἂν πέρι ψυχὰν ἐπεὶ γάθησεν, ἐξαίρετον
γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.

34. Ὅμηρος, Ὀδυσσ. π 185.

Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
«οὔ τίς τοι θεός εἰμι· τί μ' ἀθανάτοισιν ἐΐσκεις;
ἀλλὰ πατὴρ τεός εἰμι, τοῦ εἵνεκα στεναχίζων
πάσχεις ἄλγεα πολλά, βίας ὑποδέγμενος ἀνδρῶν »
ὣς ἄρα φωνήσας υἱὸν κύσε, κὰδ δὲ παρειῶν
δάκρυον ἧκε χαμᾶζε· πάρος δ' ἔχε νωλεμὲς αἰεί.

35. Πίνδαρος, Ὀλυμπιονικῶν 5, 17.

Σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναίων λόφον
τιμῶν τ' Ἀλφεὸν εὐρὺ ῥέοντ' Ἰδαῖόν τε σεμνὸν ἄντρον,
ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς,
αἰτήσων πόλιν εὐανορίαισι τάνδε κλυταῖς
δαιδάλλειν, σέ τ', Ὀλυμπιόνικε, Ποσειδανίαισιν ἵπποις
ἐπιτερπόμενον φέρειν γῆρας εὔθυμον ἐς τελευτάν,
υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγίεντα δ' εἴ τις ὄλδον ἄρδει,
ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθείς, μὴ ματεύσῃ
[θεὸς γενέσθαι 1).

---

1) Ἔτι *Γένεσις* 46, 30. — *Κριταὶ* 11, 34. 35. — *Βασιλειῶν* Β' 18, 5. 13. 29. 32-33. — *Τωβὶτ* 10, 4-7. 11, 8. 12-14. — *Μακκαβαίων* Δ' 14, 13. 15, 21-24. — *Σιρὰχ* 30, 1-13. — *Ὁμήρος*, Ἰλιὰς Α 357. 413. Γ 175. 306. Δ 130. 354. Ε 71. 156. 314. 318. 371-417. 428. 480. 688. Ζ 238. 251. 366. 404. 466. 471.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

11. ΤΟ ΚΑΚΟΝ ΤΙΜΩΡΕΙΤΑΙ

Ὁ Θεός, ὁ τὰ ὑψηλὰ οἰκῶν, ἐφορᾷ τοὺς ἀνθρώπους. Ὁ θρόνος αὐτοῦ ἐν οὐρανῷ, ἐκεῖθεν ἐπιβλέπει τοὺς ἀνθρώπους, ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ, ταπεινόνει τοὺς ὕβρει φερομένους. Πῦρ καὶ θεῖον καὶ καταιγίδες εἶνε ἡ μερὶς τῶν ἁμαρτωλῶν. Ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε ἀπὸ ἁμαρτίας· θανατηφόρως δάκνει ἡ ἁμαρτία τὰς ψυχάς, ὡς ὁ ὄφις θανατηφόρως δάκνει τὰ σώματα. Ῥάβδος καὶ μάστιξ ἀναμένει τὸν παραβάτην τῶν θείων ἐντολῶν. Πᾶν βδέλυγμα μισεῖ ὁ Κύριος. Μισεῖ τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀφανίζει τοὺς λαλοῦντας τὸ ψεῦδος, ἀποστρέφεται τοὺς δολίους, βδελύσσεται τοὺς μιαιφόνους, διασκορπίζει τὰ ὀστᾶ τῶν ἀνθρωπαρέσκων, καταφλέγει τοὺς ἁμαρτωλούς, ἐξολοθρεύει τοὺς πονηρευομένους, ἐξοντόνει τοὺς ἀδίκους, τοὺς ἀσεβεῖς, τοὺς κακούς· ῥίζα δὲν μένει ἐξ αὐτῶν, σπέρμα δὲν ὑπολείπεται ἐξ αὐτῶν. Τιμωρεῖ τὰ τέκνα διὰ τὰς ἁμαρτίας τῶν γονέων, τιμωρεῖ τοὺς ἀπογόνους τῆς τρίτης καὶ τετάρτης γενεᾶς διὰ τὰς ἁμαρτίας τῶν προγόνων αὐτῶν. Ἑκάστῳ ἀποδίδει κατὰ τὰ ἔργα αὐτοῦ· ἀγαθὰ τοῖς ἀγαθοῖς, κακὰ τοῖς ἁμαρτωλοῖς. Ὁ ὀρύσσων βόθρον ἐμπίπτει εἰς αὐτόν, ὁ ἱστῶν παγίδα ἁλίσκεται ἐν αὐτῇ. Ὃ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει. Μὴ ποίει κακὰ καὶ οὐ μή σε καταλάβῃ κακόν. Ἡ ἐπιθυμία, ἡ ἀναταράττουσα τὰ στήθη ἡμῶν, εἶνε ἡ πρώτη ῥίζα τοῦ κακοῦ· αὕτη δελεάζει ἡμᾶς, αὕτη ἕλκει ἡμᾶς πρὸς τὴν ἁμαρτίαν· ἐμπεσόντες δ' ἅπαξ εἰς αὐτὴν ἀδύνατον πλέον νὰ διαφύγωμεν τὸν ὄλεθρον. Θάνατος τὰ ὀψώνια τῆς ἁμαρτίας. Μὴ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν· ὡς χόρτος ταχέως ἀποξηραίνονται καὶ ὡς χλόη ταχέως ἀπομαραίνονται. Καὶ ὡς ἀετὸς ἂν μετεωρισθῇ ὁ ἁμαρτήσας καὶ ἀναμέσον τῶν ἄστρων ἂν θέσῃ τὴν νεοσσιάν αὐτοῦ καὶ εἰς τὸν οὐρανὸν ἂν ἀναβῇ καὶ εἰς τὸν Ἅδην ἂν καταβῇ καὶ εἰς τὰ ἔσχατα τῆς θαλάσσης ἂν πετάξῃ καὶ εἰς τὰς κορυφὰς τῶν ὑψηλοτέρων ὀρέων ἂν κρυβῇ καὶ εἰς τὰ βάθη τῆς θαλάσσης ἂν καταδυθισθῇ, καὶ ἐκεῖ εὑρίσκει αὐτὸν ἡ τιμωρὸς χεὶρ τοῦ Ὑψίστου. Οὐδεὶς οὐδαμοῦ δύναται νὰ κρυφθῇ ἀπ' αὐτοῦ. Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐνδελεχῶς ἐπὶ τὰς ὁδοὺς τῶν ἁμαρτησάντων, τὰ ἔργα αὐτῶν λάμπουσιν ἐνώπιον αὐτοῦ ὡς ἥλιος, αἱ ἀδικίαι αὐτῶν πρόκεινται αὐτῷ φανεραί. Οἱ ὀφθαλμοὶ τοῦ Θεοῦ μυριοπλασίως τοῦ ἡλίου φωτεινότεροι· βλέπουσι καὶ εἰς τὰ μᾶλλον ἀπόκρυφα μέρη.

474. 476. I 142. 481. 633. K 422. N 176. 430. O 663. Π 192. 433. 450. 460. P 37. Σ 37. 88. 94. 429-443. T 132. 323. 331-337. Υ 410. X 33. 38. 53. 59. 79. 405. 430 καὶ ἑξ. 485. Ψ 223. Ω 47. 85. 91. 104. 161-168. 227. 509. 710. 748. — Ὀδύσσεια α 308. δ 703-841. λ 154-224. 450. 452. 492. 540. μ 42. ο 355. π 17. 143-145. 215. ρ 7. 111. τ 462. ω 234. 290. 434. — *Ὕμνοι Ὁμηρικοί* 2, 28. 5, 90. 232. 245-304. — *Ἡσίοδος*, Ἀσπὶς Ἡρακλέους 247. — *Πίνδαρος*, Νεμεονικῶν 4, 13. — *Σοφοκλῆς*, Αἴας 339-341. 550-578. 641-645. 944. Οἰδίπους Τύραννος 999. 1462-1514. Οἰδίπους ἐπὶ Κολωνῷ 329. 1110. 1616-1619. — *Εὐριπίδης*, Ἱκέτιδες 1120. Ἰφιγένεια ἡ ἐν Ταύρ. 473. — *Τραγικῶν ἀδέσποτα*, ἀπ. 339 (Nauck, σελ. 703). — *Μένανδρος*, ἀπ. 659. 661. 662 (Kock, τόμ. 3, σελ. 193-194). — *Ξενοφῶν*, Ἀπομνημονεύματα 2, 2. Κύρου Παιδεία 8, 7, 8-10. — *Πλούταρχος*, περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργίας 493-498. Πῶς ἄν τις διακρίνειε τὸν κόλακα τοῦ φίλου 59 E καὶ F. Περὶ παίδων ἀγωγῆς 9 B. — *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 3, 21, 5. — *Ἰωάννης ὁ Στοβαῖος*, Ἀνθολόγιον 3, 50 καὶ 83, 1-29.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οἱ παράνομοι ἐξολοθρεύονται, τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἀφανίζονται. Σώζονται μόνον οἱ δίκαιοι καὶ οἱ θεοσεβεῖς. Τούτους καὶ ὑπερασπίζεται καὶ βοηθεῖ καὶ σώζει ἐν καιρῷ θλίψεως ὁ Κύριος. — Ὁ τὰ πάντα ἀφ' ὑψηλοῦ βλέπων Θεός, ὁ ἀγρύπνως παρακολουθῶν τὰς παντοίας πράξεις τῶν ἀνθρώπων Κύριος τοῦ κόσμου, δι' ἀψόφου βαίνων κελεύθου κατὰ δίκην τὰ θνητὰ ἄγει. Θεῖος νόμος καὶ κοινὸς πᾶσι, ἰδιώταις τε καὶ ἔθνεσιν· ὁ κακὸς κακὸν πάσχει, ὁ χρηστὸς εὐτυχεῖ. Μόνον εἰς τὰ δίκαια καὶ εὐσεβῆ ἔργα εὐχαριστεῖται ὁ Θεός, τὰ σχέτλια ἀποστρέφεται. Μόνον τοὺς σώφρονας ἀγαπᾷ, τοὺς κακοὺς στυγεῖ. Οὐδεὶς οὐδέποτε κακὸς διέφυγε τὴν τιμωρίαν τοῦ Θεοῦ. Ἂς μὴ πλανώμεθα· ἡ Δίκη δὲν εἶνε μακρὰν τῶν ἀνθρώπων· ἀόρατος περιίπταται πλησίον ἡμῶν ὁρῶσα τὰ πάντα. Δὲν κοιμᾶται ὁ ὀφθαλμὸς τοῦ Θεοῦ· πλησίον ἡμῶν εὑρίσκεται, καίτοι μακρὰν ὢν βλέπει. Ἄνοιξον τοὺς ὀφθαλμούς σου καὶ πάραυτα θὰ ἴδῃς αὐτόν. Ἄφωνος ἀναμένει ἡ Δίκη καὶ ἀόρατος παραμένει, ἀλλ' εὑρίσκεται πανταχοῦ καὶ παρακολουθεῖ τὸν ἄνθρωπον πανταχοῦ· καὶ ὅταν κοιμᾶσαι καὶ ὅταν βαδίζῃς καὶ ὅταν κάθησαι ἡ Δίκη εἶνε παροῦσα. Εἶνε τέκνον τοῦ Θεοῦ ἡ Δίκη καὶ κατοικεῖ ἐγγὺς τῆς ἁμαρτίας τῶν βροτῶν. Βέβαιος ὅλεθρος ἀναμένει τοὺς παραβάτας τῶν θείων ἐντολῶν· οὐδεὶς τούτων μέχρι τοῦδε διέφυγεν αὐτήν. Τά τε παράνομα τά τ' ἀνόσια πάραυτα τιμωρεῖ ὁ Θεός. Ὁ μελετῶν κατ' ἄλλου κακά, ἐπισωρεύει εἰς ἑαυτὸν ταῦτα. Ὁ δρῶν τὰ αὐτῷ εὐχάριστα, θὰ πληρώσῃ αὐτὰ διὰ τῶν αὐτῷ λυπηρῶν. Θεία δικαιοσύνη τὸ νὰ πάθῃ τις ὅ τι ἔπραξεν. Κακὰ ἔπραξας, κακὰ θὰ πάθῃς· αἰσχρὰ ἔπραξας, αἰσχρῶς θὰ τιμωρηθῇς· μεγάλα ἠδίκησας, σκληρῶς θὰ τιμωρηθῇς. Οἱ κακοὶ πίνουσι τῆς τιμωρίας τὴν ὁμίχλην. Τὴν γλυκύτητα τῆς ἀδικίας διαδέχεται ἡ πικρία τῆς τιμωρίας. Καὶ ἂν αὕτη δὲν ἐπέλθῃ ἅμα τῇ ἁμαρτίᾳ, ὅμως πάντως σὺν τῷ χρόνῳ ἐπέρχεται· εἶνε ἀναπόδραστος· τιμωρεῖται γέρων ὁ ἄνθρωπος διὰ τὰς κατὰ τὴν νεότητα διαπραχθείσας ἁμαρτίας. Ὁ Θεὸς ἀργεῖ, ἀλλὰ δὲν λησμονεῖ. — Τοῦτο εἶνε τὸ ἅγιον θέλημα αὐτοῦ· μέγισται κολάσεις εἰς τοὺς τὰ μέγιστα ἁμαρτάνοντας· Ὁ ἀλαζών, ὁ κενόδοξος, ὁ ἀπειθῶν τῇ θείᾳ διοικήσει ταπεινοῦται, λυπεῖται, δυστυχεῖ, θρηνεῖ. Μακροχρόνιος δὲν εἶνε ἡ διάρκεια τῶν ἔργων τῆς ὕβρεως· ὁ ὀφθαλμὸς τοῦ Θεοῦ εἶνε ἄγρυπνος. Οἱ ἄθλιοι ἡμεῖς νομίζομεν ὅτι διὰ τῆς πονηρίας ἡμῶν θὰ κατορθώσωμεν νὰ διαφύγωμεν τὴν τιμωρίαν καὶ ἡσυχάζομεν. Ἀλλὰ ματαίως· σὺν τῷ χρόνῳ ἐπέρχεται αὕτη καὶ τότε ἀναλυόμεθα εἰς δάκρυα καὶ τότε ὀδυρόμεθα καὶ κοπτόμεθα. Ἡ κακία εἶνε προϊὸν αὐτῆς τῆς ἀνθρωπίνης ὑποστάσεως· ἐσφαλμένως δὲ θεωρεῖται θεόσδοτος. Τὰ σπέρματα τῆς κακίας καὶ τοὺς πόθους τῶν ἀγαθῶν καὶ τῶν κακῶν περικλείει ἕκαστος ἐν τοῖς ἰδίοις αὐτοῦ στέρνοις. Ὁ χρυσὸς καὶ ἡ εὐτυχία διασαλεύουσι τὰς φρένας τῶν βροτῶν καὶ καθιστῶσιν αὐτοὺς αὐθάδεις καὶ ὑπερηφάνους· τοιοῦτοι γενόμενοι, ἐκτραχηλίζονται εἰς ἔργα παράνομα· τούτου δὲ γενομένου, ἀναπόδραστος ὁ ὅλεθρος, συνῳδὰ τῇ ἀρχεγόνῳ οἰκονομίᾳ τοῦ Σύμπαντος. Τοῦτο ἑδραζόμενον ἐπὶ τῆς τάξεως καὶ τῆς δυνάμεως τῆς κοσμογονικῆς καὶ κοσμοδιοικητικῆς Ἀρχῆς, θείᾳ εὐδοκίᾳ προώρισται νὰ παραμένῃ εἰς αἰῶνα τὸν ἅπαντα ἀμετάβλητον· ἀλλ' ἡ κακία, ἐπιγέννημα τῆς ψυχῆς, παρεκκλινούσης κατὰ τὴν δρᾶσιν αὐτῆς ἐκ τῆς κατὰ φύσιν πορείας, εἶνε ὀθνεῖόν τι καὶ παρείσακτον στοιχεῖον εἰς τὴν οἰκονομίαν τοῦ Σύμπαντος, συνθορυβοῦν καὶ συνταράσσον αὐτό· ὡς τοιοῦτον λοιπὸν ἀναγκαίως ἐκτρίβεται καὶ ἐκριζοῦται αὐτό τε καὶ ἡ παραγαγοῦσα αὐτὸ αἰτία· καὶ τοῦτο εἶνε ἡ τιμωρία τοῦ ἁμαρτήματος καὶ τοῦτο εἶνε ἡ ζημία τοῦ ἁμαρτήσαντος καὶ οὗτος εἶνε ὁ λόγος ἅμα μὲν τῆς ἀναγκαιότητος, μεθ' ἧς ἀκολουθεῖ πᾶν ἁμάρτημα ἡ τιμωρία, ἅμα δὲ τοῦ ἀναποδράστου τοῦ ὀλέθρου παντὸς ἁμαρτάνοντος. — Οὐδεμία δύναμις δύναται νὰ ἐπίσχῃ τὴν τιμωρίαν ταύτην· ὁ πλοῦτος εἶνε ὅλως

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀνίσχυρος πρὸς τοῦτο, ἡ ἐξουσία ἐπίσης. Ἡ τιμωρία περιφρονοῦσα πάντα τὰ ὄθεν δήποτε εἰς τὴν πορείαν αὐτῆς παρεμβαλλόμενα κωλύματα βαίνει ἀσφαλῶς καὶ ἀπαρεγκλίτως εἰς τὸ ὁλέθριον ἔργον αὐτῆς, ἀνατρέπουσα τὸν ἁμαρτάνοντα, πατάσσουσα τὰ τέκνα, ἐκριζοῦσα τὴν γενεάν, ἐπιτρίβουσα τοὺς γείτονας, ἐκτρίβουσα τὴν πατρίδα αὐτοῦ· ἐξεγείρει λιμὸν καὶ λοιμόν, ἐπάγεται θάνατον τοῖς ἀνθρώποις, ἀτοκίαν ταῖς γυναιξί, φθορὰν ταῖς οἰκογενείαις, ἀφανισμὸν τοῖς στρατεύμασι, κατακρημνισμὸν τοῖς τείχεσι, καταποντισμὸν τοῖς στόλοις, ὄλεθρον συμπάσῃ τῇ πατρίδι. Αὕτη εἶνε ἡ θεία οἰκονομία· οἱ μεγάλαυχοι, οἱ ἀλαζόνες, οἱ ὑβρισταί, οἱ πλούσιοι, οἱ δυνάσται, οἱ ἀνόητοι μένουσιν ἔρημοι τοῦ Θεοῦ· τοιοῦτοι ὄντες γίνονται αὐθάδεις· αὐθάδεις δὲ γενόμενοι ἐκτραχηλίζονται εἰς ἁμαρτίας δεινάς, μεθ' ὃ ἐπακολουθεῖ ὁ ἀφανισμὸς αὐτῶν καὶ τῆς οἰκογενείας αὐτῶν καὶ τῆς πατρίδος αὐτῶν. — Καὶ οἱ ἰδιῶται καὶ αἱ πόλεις πρέπει νὰ ἀσκῶσι τὰς ἀρετάς, διότι πᾶσα κακία τιμωρεῖται· ἀλλὰ μετὰ πλειοτέρου ζήλου τὰ ἔθνη πρέπει νὰ ἀσκῶσι ταύτας, διότι οἱ μὲν ἰδιῶται δυνατόν ποτε καὶ νὰ ἀποθάνωσι πρὶν ἐπέλθῃ ἡ τιμωρία, ἀλλ' αἱ πόλεις διὰ τὴν ἀθανασίαν ἀδύνατον νὰ ἀποφύγωσί ποτε τὰς τιμωρίας, τάς τε παρὰ τῶν ἀνθρώπων καὶ τοῦ Θεοῦ. Ἀναπόδραστος εἶνε ἡ τιμωρία· καὶ εἰς τὰ βάθη τῆς γῆς ἂν καταδυθισθῇς καὶ εἰς τὸν οὐρανὸν ἂν ἀναβῇς, πάντως θὰ τιμωρηθῇς εἴτε ἐν τῇ ζωῇ εἴτε εἰς τὸν Ἅδην εἴτε καὶ εἰς ἀγριώτερον τοῦ Ἅδου τόπον ἀκόμη καὶ ἂν ὑπάγῃς. — Θάρρος πρέπει νὰ ἔχῃ μόνον ὁ σεβόμενος τὸν Θεόν· διότι εἰς τὸ τέλος οἱ μὲν ἀγαθοὶ εὐτυχοῦσι, δυστυχοῦσι δὲ οἱ κακοί. Δὲν εἶνε ὁ Θεὸς παραίτιος τῶν κακῶν. Εἰς τὴν ἐξουσίαν τῶν ἀνθρώπων κεῖται νὰ εἶνε ἀγαθοὶ καὶ δίκαιοι καὶ νὰ διατηρηθῶσι διὰ παντὸς τοῦ βίου αὐτῶν ἐνάρετοι. Μακάριοι οἱ ὄντες τοιοῦτοι!

1. Ζαχαρίας 9, 1.

Κύριος ἐφορᾷ ἀνθρώπους.

2. Ἰὼβ 22, 12.

Μὴ ὁ τὰ ὑψηλὰ ναίων οὐκ ἐφορᾷ; τοὺς δὲ ὕβρει φερομένους ἐταπείνωσε.

3. Ψαλτήριον 10, 4 καὶ ἑξ.

Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ· οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ· ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν· ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.

4. Σιρὰχ 21, 2.

Ὡς ἀπὸ προσώπου ὄφεως, φεῦγε ἀπὸ ἁμαρτίας· ἐὰν γὰρ προσέλθῃς, δήξεταί σε· ὀδόντες λέοντος οἱ ὀδόντες αὐτῆς, ἀναιροῦντες ψυχὰς ἀνθρώπων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5. Ψαλτήριον 88, 31.

Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ (τοῦ ἀνθρώπου) τὸν νόμον μου—λέγει Κύριος ὁ Παντοκράτωρ — καὶ ἐν τοῖς κρίμασί μου μὴ πορευθῶσιν· ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν· ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν.

6. Σιρὰχ 15, 13.

Πᾶν βδέλυγμα ἐμίσησεν ὁ Κύριος, καὶ οὐκ ἔστιν ἀγαπητὸν τοῖς φοβουμένοις αὐτόν.

7 Ψαλτήριον 5, 5.

Ὅτι οὐχὶ θεὸς θέλων ἀνομίαν σὺ εἶ· οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου· ἐμίσησας, Κύριε, πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος· ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.

8. Ψαλτήριον 52, 6. 105, 19. 36, 9. 20. 28. 93, 23.

Ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων — Φλὸξ κατέφλεξεν ἁμαρτωλοὺς — Οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται . . Καὶ ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς — Οἱ ἁμαρτωλοὶ ἀπολοῦνται — Ἄνομοι δὲ ἐκδικηθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται — Ἀποδώσει αὐτοῖς Κύριος κατὰ τὴν ἀνομίαν αὐτῶν, καὶ κατὰ τὴν πονηρίαν αὐτῶν ἀφανιεῖ αὐτούς· ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεὸς ἡμῶν.

9. Ψαλτήριον 51, 5.

Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. Ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. Διὰ τοῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέλος· ἐκτίλαι σε καὶ μεταναστεῦσαί σε ἀπὸ σκηνώματος, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων.

10. Ἔξοδος 20, 5. Ψαλτήριον 20, 10.

Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ζηλωτής, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με. — Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γεται αὐτοὺς πῦρ. τὸν καρπὸν αὐτῶν ἀπὸ γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.

11. Παῦλος, πρὸς Ῥωμαίους 2, 6.

Ὁ Θεὸς . . ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

12. Σιρὰχ 32, 18 - 19.

Ὁ Κύριος οὐ μὴ βραδύνῃ, οὐδὲ μὴ μακροθυμήσῃ ἐπ' αὐτοῖς κραταιός . . ἕως ἂν ἀνταποδῷ ἀνθρώπῳ κατὰ τὰς πράξεις αὐτοῦ, καὶ τὰ ἔργα τῶν ἀνθρώπων καὶ τὰ ἐνθυμήματα αὐτῶν.

13. Σιρὰχ 39, 25.

Ἀγαθὰ τοῖς ἀγαθοῖς ἔκτισται ἀπ' ἀρχῆς, οὕτως τοῖς ἁμαρτωλοῖς κακά.

14. Σοφία Σολομῶντος 11, 17.

Δι' ὧν τις ἁμαρτάνει, διὰ τούτων κολάζεται.

15. Σιρὰχ 27, 26.

Ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμπεσεῖται, καὶ ὁ ἱστῶν παγίδα ἐν αὐτῇ ἁλώσεται· ὁ ποιῶν πονηρά, εἰς αὐτὰ κυλισθήσεται, καὶ οὐ μὴ ἐπιγνῷ πόθεν ἥκει αὐτῷ.

16. Ψαλτήριον 7, 16.

Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο.

17. Παῦλος, πρὸς Γαλάτας 6, 7.

Μὴ πλανᾶσθε, Θεὸς οὐ μυκτηρίζεται· ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει.

18. Σιρὰχ 7, 1 - 4.

Μὴ ποίει κακά, καὶ οὐ μή σε καταλάβῃ κακόν· ἀπόστηθι ἀπὸ ἀδίκου, καὶ ἐκκλινεῖ ἀπὸ σοῦ ἀδικία· υἱὲ μὴ σπεῖρε ἐπ' αὔλακας ἀδικίας, καὶ οὐ μὴ θερίσῃς αὐτὰ ἑπταπλάσια.

19. Ἰάκωβος, Ἐπιστολὴ καθολικὴ 1, 14 καὶ 15.

Ἕκαστος δὲ πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος· εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν· ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

20. Παῦλος, πρὸς Ῥωμαίους 6, 23.

Τὰ ὀψώνια τῆς ἁμαρτίας θάνατος.

21. Ψαλτήριον 36, 1.

Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν· ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται.

22. Ἀβδιοὺ 1, 4.

Ἐὰν μετεωρισθῇς ὡς ἀετός, καὶ ἐὰν ἀναμέσον τῶν ἄστρων θῇς νεοσσιάν σου, ἐκεῖθεν κατάξω σε, λέγει Κύριος.

23. Ψαλτήριον 138, 2-11.

Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με . . σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπομακρόθεν . . Κύριε, σὺ ἔγνως πάντα .. Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ εἶ ἐκεῖ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει· ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης καὶ ἐκεῖ .. καθέξει με ἡ δεξιά σου.

24. Ἀμὼς 9, 2 καὶ ἑξ.

Ἐὰν κατορυγῶσιν εἰς ᾅδου, ἐκεῖθεν ἡ χείρ μου ἀνασπάσει αὐτούς· καὶ ἐὰν ἀναβῶσιν εἰς τὸν οὐρανόν, ἐκεῖθεν κατάξω αὐτούς· ἐὰν ἐγκρυβῶσιν εἰς τὴν κορυφὴν τοῦ Καρμήλου, ἐκεῖθεν ἐξερευνήσω, καὶ λήψομαι αὐτούς· καὶ ἐὰν καταδύσωσιν ἐξ ὀφθαλμῶν μου εἰς τὰ βάθη τῆς θαλάσσης, ἐκεῖ ἐντελοῦμαι τῷ δράκοντι, καὶ δήξεται αὐτούς.

25. Σιρὰχ 17, 19.

Πάντα τὰ ἔργα αὐτῶν ὡς ὁ ἥλιος ἐναντίον αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐνδελεχεῖς ἐπὶ τὰς ὁδοὺς αὐτῶν· οὐκ ἐκρύβησαν αἱ ἀδικίαι αὐτῶν ἀπ' αὐτοῦ καὶ πᾶσαι αἱ ἁμαρτίαι αὐτῶν ἔναντι Κυρίου.

26. Σιρὰχ 23, 18 καὶ ἑξ.

Ἄνθρωπος παραβαίνων ἀπὸ τῆς κοίτης αὐτοῦ, λέγων ἐν τῇ ψυχῇ αὐτοῦ· τίς με ὁρᾷ; σκότος κύκλῳ μου, καὶ οἱ τοῖχοί με καλύπτουσι, καὶ οὐθείς με ὁρᾷ, τίνα εὐλαβοῦμαι; τῶν ἁμαρτιῶν μου οὐ μὴ μνησθήσεται ὁ ὕψιστος· καὶ ὀφθαλμοὶ ἀνθρώπων ὁ φόβος αὐτοῦ, καὶ οὐκ ἔγνω ὅτι ὀφθαλμοὶ Κυρίου μυριοπλασίως ἡλίου φωτεινότεροί εἰσιν, ἐπιβλέποντες πάσας ὁδοὺς ἀνθρώπων, καὶ κατανοοῦντες ἀπόκρυφα μέρη.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

27. Παροιμίαι 15, 3.

Ἐν παντὶ τόπῳ ὀφθαλμοὶ Κυρίου σκοπεύουσι κακούς τε καὶ ἀγαθούς.

28. Ἱερεμίας 16, 17.

Οἱ ὀφθαλμοί μου ἐπὶ πάσας τὰς ὁδοὺς τῶν ἀνόμων· οὐκ ἐκρύβησαν ἀπὸ προσώπου μου, καὶ οὐκ ἐκρύβη τὰ ἀδικήματα αὐτῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου.

29. Ψαλτήριον 36, 38.

Οἱ παράνομοι ἐξολοθρευθήσονται ἐπιτοαυτό· τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται. Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως· καὶ βοηθήσει αὐτοῖς Κύριος, καὶ ῥύσεται αὐτούς, καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν, καὶ σώσει αὐτούς, ὅτι ἤλπισαν ἐπ' αὐτόν.

---

30. Ἀρχίλοχος, ἀπόσπ. 88 (Bergk ², 408).

Ὦ Ζεῦ, πάτερ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος,
σὺ δ' ἔργ' ἐπ' ἀνθρώπων ὁρᾷς
λεωργὰ καὶ θεμιστά, σοὶ δὲ θηρίων
ὕβρις τε καὶ δίκη μέμηλε.

31. Σοφοκλῆς, Οἰδίπους ἐπὶ Κολωνῷ 277.

Μὴ τοὺς θεοὺς τιμῶντες εἶτα τοὺς θεοὺς
μοίρᾳ ποιεῖσθε μηδαμῶς· ἡγεῖσθε δὲ
βλέπειν μὲν αὐτοὺς πρὸς τὸν εὐσεβῆ βροτῶν,
βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς, φυγὴν δέ του
μήπω γενέσθαι φωτὸς ἀνοσίου.

32. Μένανδρος, παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ 1).

Δεῖ γὰρ τὸν ἄνδρα χρήσιμον πεφυκέναι,
μὴ παρθένους φθείροντα καὶ μοιχώμενον,

1) *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 5, 14, ἔκδ. Potter, σελ. 720. ἔκδ. Παρισίων, σελ. 605. ἔκδ. Migne, τόμ. 2, σελ. 177.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κλέπτοντα καὶ σφάττοντα χρημάτων χάριν.
μηδὲ βελόνης ἓν ἄμμα ἐπιθῦμῆς, Πάμφιλε·
ὁ γὰρ θεὸς βλέπει σε, πλησίον παρών.

33. Εὐριπίδης, Τρῳάδες 886.

Ὦ γῆς ὄχημα κἀπὶ γῆς ἔχων ἕδραν,
ὅστις ποτ' εἶ σύ, δυστόπαστος εἰδέναι,
Ζεύς . .
προσπυξάμην σε· πάντα γὰρ δι' ἀψόφου
βαίνων κελεύθου κατὰ δίκην τὰ θνήτ' ἄγεις.

34. Εὐριπίδης, Ἑκάβη 902.

Πᾶσι γὰρ κοινὸν τόδε
ἰδίᾳ θ' ἑκάστῳ καὶ πόλει, τὸν μὲν κακὸν
κακόν τι πάσχειν, τὸν δὲ χρηστὸν εὐτυχεῖν.

35. Ὅμηρος, Ὀδύσσεια ξ 83.

Οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα ἔργ' ἀνθρώπων.

36. Σοφοκλῆς, Αἴας 132.

Τοὺς . . σώφρονας
θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς.

37. Εὐριπίδης, ἀπ. 257.

Δοκεῖς τὰ τῶν θεῶν ξυνετὰ νικήσειν ποτὲ
καὶ τὴν δίκην που μάκρ' ἀπῳκίσθαι βροτῶν·
ἡ δ' ἐγγύς ἐστιν, οὐχ ὁρωμένη δ' ὁρᾷ
ὃν χρὴ κολάζειν τ' οἶδεν· ἀλλ' οὐκ οἶσθα σύ,
ὁπόταν ἄφνω μολοῦσα διολέσῃ κακούς.

38. Τραγικῶν ἀδέσποτα, ἀποσπ. 350 (Nauck, σελ 705).

Ἔστιν Δίκης ὀφθαλμός, ὃς τὰ πάνθ' ὁρᾷ.

39. Αὐτόθι, ἀπόσπ. 405 (Nauck, σελ. 715).

Οὐχ εὗδει Διὸς
ὀφθαλμός, ἐγγὺς δ' ἐστὶ καίπερ ὢν πρόσω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

40. Εὐριπίδης παρ' Ἰ. τῷ Στοβαίῳ (Ἐκλογαὶ φυσικαὶ 1,3,42).

Πόρρω γὰρ ἑστὼς ὁ Θεὸς ἐγγύθεν κλύει.

41. Εὐριπίδης, ἀπ. 508.

Ἡ Δίκη
ἐνταῦθά ποῦστιν ἐγγύς, εἰ βούλεσθ' ὁρᾶν.

42. Τραγικῶν ἀδέσποτα, ἀπ. 412 (Nauck, σελ. 716).

Ὁρᾷς Δίκην ἄναυδον, οὐχ ὁρωμένην
εὔδοντι καὶ στείχοντι καὶ καθημένῳ·
ἐξῆς δ' ὀπαδεῖ δόχμιον, ἄλλοθ' ὕστερον.

43. Διονύσιος ὁ τραγικός, ἀπ. 5 (Nauck, σελ. 617).

Ὁ τῆς Δίκης ὀφθαλμὸς ὡς δι' ἠσύχου
λεύσσων προσώπου πάνθ' ὁμῶς ἀεὶ βλέπει.

44. Εὐριπίδης, ἀπόσπ. 150.

Τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Διὸς
ἐγγύς τε ναίειν τῆς βροτῶν ἁμαρτίας.

45. Σοφοκλῆς, Φιλοκτήτης 1035

Κακῶς ὄλοισθ'· ὀλεῖσθε δ' ἠδικηκότες . .
τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
ἔξοιδα δ' ὡς μέλει γε.

46. Ξενοφῶν, Ἀπομνημονεύματα 4, 4, 21.

Δίκην γέ τοι διδόασιν οἱ παραβαίνοντες τοὺς ὑπὸ τῶν θεῶν κειμένους νόμους, ἣν οὐδενὶ τρόπῳ δυνατὸν ἀνθρώπῳ διαφυγεῖν.

47. Ἡρόδοτος 5, 56.

Οὐδεὶς ἀνθρώπων ἀδικῶν τίσιν οὐκ ἀποτίσει.

48. Ἀλκμάν, ἀπ. 23 (Bergk 3, 37).

Ἔστι τις σιῶν τίσις.

49. Ἀριστοφάνης, Θεσμοφοριάζουσαι 684.

Τά τε παράνομα τά τ' ἀνόσια πιραυτὰ τίνεται θεός.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

50. Παροιμιογράφοι· Γρηγόριος ὁ Κύπριος 4, 45.
Νέμεσις δέ γε παρὰ πόδα βαίνει.

51. Αἰσχύλος, ἀπόσπ. 283.

Τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς
καὶ τἀμπλάκημα τῷ περῶντι τὴν θέμιν.

52. Εὐριπίδης, Ἴων 439.

Μὴ σύ γ'· ἀλλ' ἐπεὶ κρατεῖς,
ἀρετὰς δίωκε. καὶ γὰρ ὅστις ἂν βροτῶν
κακὸς πεφύκῃ, ζημιοῦσιν οἱ θεοί.

53. Ἡσίοδος, Ἔργα καὶ Ἡμέραι 265.

Οἳ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων,
ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.

54. Σοφοκλῆς, Αἴας 1085.

Καὶ μὴ δοκῶμεν δρῶντες ἂν ἡδώμεθα
οὐκ ἀντιτίσειν αὖθις ἂν λυπώμεθα.

55. Ἡσίοδος, Χείρωνος ὑποθῆκαι, ἀπ. 84 (ἔκδ. Schömann).
Εἴ κε πάθοι τά τ' ἔρεξε, δίκη κ' εὐθεῖα γένοιτο.

56. Σοφοκλῆς, ἀπόσπ. 11.

Εἰ δεῖν' ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ.
Δίκας δ' ἐξέλαμψεν ὅσιον φάος.

57. Αἰσχύλος, Χοηφόροι 313.

Δράσαντι παθεῖν,
τριγέρων μῦθος τάδε φωνεῖ.

58. Αἰσχύλος, ἀπόσπ. 282.

Δράσαντι γάρ τι καὶ παθεῖν ὀφείλεται.

59. Πίνδαρος, Νεμεονικῶν 4, 32.

Ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

60. Πλάτων, Νόμοι 872 E.

Ἡ τιμωρὸς δίκη . . ἔταξεν ἄρα δράσαντί τι . . παθεῖν ταὐτὰ ἀναγκαίως ἅπερ ἔδρασεν.

61. Εὐριπίδης, Ἑκάβη 1085.

Ὦ τλῆμον, ὡς σοι δύσφορ' εἴργασται κακά·
δράσαντι δ' αἰσχρὰ δεινὰ τἀπιτίμια.

62. Εὐριπίδης, Ἡρακλῆς μαινόμενος 727.

Προσδόκα δὲ δρῶν κακῶς
κακόν τι πράξειν.

63. Ἡρόδοτος 2, 120.

Τῶν μεγάλων ἀδικημάτων μεγάλαι εἰσὶ καὶ αἱ τιμωρίαι παρὰ τῶν θεῶν.

64. Παροιμιογράφοι· Διογενειανὸς 5, 99.

Κακοὶ πίνουσι τῆς τιμωρίας τὴν ὁμίχλην.

65. Παροιμιογράφοι· Ζηνόβιος 2, 8.

Ἀπήντησε κεραυνοῦ βολὴ πρὸς ὑπέρτατον ἄτης.

66. Πίνδαρος, Ἰσθμιονικῶν 7, 47.

Τὸ δὲ παρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά.

67. Κωμικῶν ἀδέσποτα, ἀπ. 545 (Kock 3, 507).

Ὁ Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας.

68. Σοφοκλῆς, Οἰδίπους ἐπὶ Κολωνῷ 1536.

Θεοὶ γὰρ εὖ μέν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
τὰ θεῖ' ἀφεὶς τις ἐς τὸ μαίνεσθαι τραπῇ.

69. Πλάτων, Πολιτεία 613 D.

Καὶ αὖ καὶ περὶ τῶν ἀδίκων — λέγω — ὅτι οἱ πολλοὶ αὐτῶν, καὶ ἐὰν νέοι ὄντες λάθωσιν, ἐπὶ τέλους τοῦ δρόμου αἱρεθέντες καταγέλαστοί εἰσι καὶ γέροντες γιγνόμενοι ἄθλιοι προπηλακίζονται ὑπὸ ξένων τε καὶ ἀστῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

70. Εὐριπίδης, Ἴων 1614.

Ἀεί ποτε
χρόνια μὲν τὰ τῶν θεῶν πως, ἐς τέλος δ' οὐκ ἀσθενῆ.

71. Σόλων, ἀπ. 4, 14.

Οὐδὲ φυλάσσονται σεμνὰ θέμεθλα Δίκης,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα,
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισομένη.

72. Εὐριπίδης, ἀπόσπ. 832.

Ὅστις δὲ θνητῶν οἴεται τοὐμὸν ἡμέραν
κακόν τι πράσσων τοὺς θεοὺς λελῆθέναι,
δοκεῖ πονηρὰ καὶ δοκῶν ἁλίσκεται,
ὅταν σχολὴν ἄγουσα τυγχάνῃ Δίκη,
τιμωρίαν ἔτισεν ὧν ἦρξεν κακῶν.

73. Παροιμιογράφοι· Μακάριος 6, 85.

Ὀψὲ θεῶν ἁλέουσι μύλοι, ἁλέουσι δὲ λεπτά.

74. Αἰσχύλος, Χοηφόροι 61.

Ῥοπὴ δ' ἐπισκοπεῖ Δίκας
ταχεῖα τοὺς μὲν ἐν φάει,
τὰ δ' ἐν μεταιχμίῳ σκότου
μένει χρονίζοντας ἄχη,
τοὺς δ' ἄκρατος ἔχει νύξ.

75. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 3, 24, 42.

Νόμος θεῖος καὶ ἰσχυρὸς καὶ ἀναπόδραστος οὗτός ἐστιν, ὁ τὰς μεγίστας εἰσπρασσόμενος κολάσεις παρὰ τῶν τὰ μέγιστα ἁμαρτανόντων; Τί γὰρ λέγει; Ὁ προσποιούμενος τὰ μηδὲν πρὸς αὐτόν, ἔστω ἀλαζών, ἔστω κενόδοξος· ὁ ἀπειθῶν τῇ θείᾳ διοικήσει, ἔστω ταπεινός, ἔστω δοῦλος, λυπείσθω, φθονείτω, ἐλεείτω τὸ κεφάλαιον πάντων δυστυχείτω, θρηνείτω.

76. Σόλων, Ὑποθῆκαι εἰς ἑαυτόν, ἀπ. 13, 16-17. 33-36.

Οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει.
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος . .

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θνητοὶ δ' ὧδε νοεῦμεν ὁμῶς ἀγαθός τε κακός τε·
δηνεύειν αὐτὸς δόξαν ἕκαστος ἔχει,
πρίν τι παθεῖν· τότε δ' αὐτίκ' ὀδύρεται· ἄχρι δὲ τούτου
χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα.

77. Σοφοκλῆς, Ἀντιγόνη 615.

Ἁ γὰρ δὴ πολύπλαγκτος ἐλπὶς
πολλοῖς μὲν ὄνασις ἀνδρῶν,
πολλοῖς δ' ἀπάτα κουφονόων ἐρώτων·
εἰδότι δ' οὐδὲν ἕρπει,
πρὶν πυρὶ θερμῷ πόδα τις προσαύσῃ.
σοφίᾳ γάρ ἔκ του
κλεινὸν ἔπος πέφανται,
τὸ κακὸν δοκεῖν ποτ' ἐσθλὸν
τῷδ' ἔμμεν ὅτῳ φρένας
θεὸς ἄγει πρὸς ἄταν·
πράσσει δ' ὀλιγοστὸν χρόνον ἐκτὸς ἄτας.

78. Ὅμηρος, Ὀδύσσεια α 32.

Ὦ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται·
ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ
σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν

79. Γαληνός, Ὅτι ταῖς τοῦ σώματος κράσεσι κτλ. (Kuhn, τόμ. 4, κεφ. 11. σελ. 820. Ivan Müller, τόμ. 2, σελ. 78).

Καὶ γὰρ καὶ τῆς κακίας ἐν ἡμῖν αὐτοῖς σπέρμα· καὶ δεόμεθα πάντες . . τοῦ διώκειν τοὺς καθαρίσοντάς τε καὶ κωλύσοντας ἡμῶν τὴν αὔξησιν τῆς κακίας.

80. Πλούταρχος, Περὶ εὐθυμίας 473 Β.

Ἕκαστος ἐν ἑαυτῷ . . ἔχει τοὺς τῶν ἀγαθῶν καὶ κακῶν πόθους οὐκ «ἐν Διὸς οὔδει» κατακειμένους ἀλλ' ἐν τῇ ψυχῇ κειμένους.

81. Πίνδαρος, Ὀλυμπιονικῶν 7, 24.

Ἀμφὶ δ' ἀνθρώπων φρασὶν ἀμπλακίαι
ἀναρίθμητοι κρέμανται,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

82. Εὐριπίδης, Ἡρακλῆς μαινόμενος 772.

Θεοὶ θεοὶ τῶν ἀδίκων μέλουσι καὶ τῶν ὁσίων ἐπᾴειν.
ὁ χρυσὸς ἁ τ' εὐτυχία
φρενῶν βροτούς ἐξάγεται,
δύνασιν ἄδικον ἐφέλκων.
χρόνου γὰρ οὔτις τὸ πάλιν εἰσορᾶν ἔτλα,
νόμον παρέμενος, ἀνομίᾳ χάριν διδούς·
ἔθραυσε δ' ὅλβου κελαινὸν ἅρμα.

83. Πλωτῖνος, Ἐννεὰς 2, λόγος 3, κεφ. 8 (ἔκδ. Dübner σελ. 65).

Καὶ δὴ καὶ ψυχὴ τὸ αὑτῆς ἔργον ποιεῖν ὡρμημένη (ψυχὴ γὰρ πάντα ποιεῖ ἀρχῆς ἔχουσα λόγον), κἂν εὐθυποροῖ, καὶ παράγοιτο ἄν, καὶ ἕπεται τοῖς δρωμένοις ἐν τῷ παντὶ δίκη, εἴπερ μὴ λυθήσεται. Μένει δ' ἀεί, ὀρθουμένου τοῦ ὅλου τάξει καὶ δυνάμει τοῦ κρατοῦντος. Ἡμεῖς δὲ ψυχῆς ἔργα κατὰ φύσιν ποιοῦμεν, ἕως μὴ ἐσφάλημεν ἐν τῷ πλήθει τοῦ παντός· σφαλέντες δὲ ἔχομεν δίκην καὶ τὸ σφάλμα αὐτὸ καὶ τὸ ἐν χείρονι μοίρᾳ εἰς ὕστερον. Πλοῦτοι μὲν οὖν καὶ πενίαι, συντυχία τῶν ἔξω· ἀρεταὶ δὲ καὶ κακίαι· ἀρεταὶ μὲν διὰ τὸ ἀρχαῖον τῆς ψυχῆς· κακίαι δὲ συντυχίᾳ πρὸς τὰ ἔξω τῆς ψυχῆς.

84. Αἰσχύλος, Ἀγαμέμνων 763-781.

Φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεά-
ζουσαν ἐν κακοῖς βροτῶν
ὕβριν τότ' ἢ τόθ', ὅτε τὸ κύριον μόλῃ φάος τόκου,
δαίμονά τε τάν ἄμαχον, ἀπόλεμον, ἀνίερον,
θράσος μελαίνας μελάθροισιν Ἄτας,
εἰδομέναν τοκεῦσιν.
Δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοις δώμασιν,
τὸν δ' ἐναίσιμον τίει.
τὰ χρυσόπαστα δ' ἔδεθλα σὺν πίνῳ χερῶν παλιντρόποις
ὄμμασι λιποῦσ' ὅσια προσέβαλε, δύναμιν οὐ
σέβουσα πλούτου παράσημαν αἴνῳ·
πᾶν δὲ ἐπὶ τέρμα νωμᾷ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

85. Εὐριπίδης, ἀπ. 970.

Τὰ τῶν τεκόντων σφάλματ' εἰς τοὺς ἐκγόνους
οἱ θεοὶ τρέπουσιν.

86. Ὅμηρος, Ἰλ. Γ 156.

Οὐ νέμεσις Τρῶας καὶ ἐυκνήμιδας Ἀχαιοὺς
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·
αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν.
ἀλλὰ καὶ ὥς, τοίη περ ἐοῦσ', ἐν νηυσὶ νεέσθω,
μηδ' ἡμῖν τεκέεσσί τ' ὀπίσσω πῆμα λίποιτο.

87. Σόλων, Ὑποθῆκαι εἰς ἑαυτόν, ἀπ. 13, 16-17. 27-32.

Οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει.
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος . .
αἰεὶ δ' οὔ ἑ λέληθε διαμπερές, ὅστις ἀλιτρὸν
θυμὸν ἔχῃ, πάντως δ' ἐς τέλος ἐξεφάνη·
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· εἰ δὲ φύγωσιν
αὐτοί, μηδὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ,
ἦλυθε πάντως αὖτις· ἀναίτιοι ἔργα τίνουσιν
ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω.

88. Λυκοῦργος, κατὰ Λεωκράτους 79, σελ. 158.

Τοὺς μὲν γὰρ ἀνθρώπους πολλοὶ ἤδη ἐξαπατήσαντες καὶ διαλαθόντες οὐ μόνον τῶν παρόντων κινδύνων ἀπελύθησαν, ἀλλὰ καὶ τὸν ἄλλον χρόνον ἀθῷοι τῶν ἀδικημάτων τούτων εἰσί· τοὺς δὲ θεοὺς οὔτ' ἂν ἐπιορκήσας τις λάθοι οὔτ' ἂν ἐκφύγοι τὴν ἀπ' αὐτῶν τιμωρίαν, ἀλλ' εἰ μὴ αὐτός, οἱ παῖδές γε καὶ τὸ γένος ἅπαν τὸ τοῦ ἐπιορκήσαντος μεγάλοις ἀτυχήμασι περιπίπτει.

89. Αἰσχύλος, Ἀγαμέμνων 369.

Οὐκ ἔφα τις
θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν
ὅσοις ἀθίκτων χάρις
πατοῖθ'· ὁ δ' οὐκ εὐσεβής.
πέφανται δ' ἐγγόνους
ἀτολμήτων Ἄρη

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πνεόντων μεῖζον ἢ δικαίως,
φλεόντων δωμάτων ὑπέρφευ
ὑπὲρ τὸ βέλτιστον.

90. Λυσίας, κατ' Ἀνδοκίδου 20, σελ. 105.

Οὐδὲ γὰρ ὁ θεὸς παραχρῆμα κολάζει, ἀλλ' αὕτη μέν ἐστιν ἀνθρωπίνη δίκη. πολλαχόθεν δὲ ἔχω τεκμαιρόμενος εἰκάζειν, ὁρῶν καὶ ἑτέρους ἠσεβηκότας χρόνῳ δεδωκότας δίκην, καὶ τοὺς ἐξ ἐκείνων διὰ τὰ τῶν προγόνων ἁμαρτήματα. ἐν δὲ τούτῳ τῷ χρόνῳ δέῃ πολλὰ καὶ κινδύνους ὁ θεὸς ἐπιπέμπει τοῖς ἀδικοῦσιν, ὥστε πολλοὺς ἤδη ἐπιθυμῆσαι τελευτήσαντας τῶν κακῶν ἀπηλλάχθαι. ὁ δὲ θεὸς τέλος τούτων λυμηνάμενος τῷ βίῳ θάνατον ἐπέθηκεν.

91. Ἀριστοφάνης, Ὄρνιθες 1238.

Ὦ μῶρε, μῶρε, μὴ θεῶν κίνει φρένας
δεινάς, ὅπως μή σου γένος πανώλεθρον
Διὸς μακέλλῃ πᾶν ἀναστρέψῃ Δίκη,
λιγνὺς δὲ σῶμα καὶ δόμων περιπτυχὰς
καταιθαλώσῃ σου Λυκιμνίαις βολαῖς.

92. Πίνδαρος, Πυθιονικῶν 3, 34.

Δαίμων δ' ἕτερος
ἐς κακὸν τρέψαις ἐδαμάσσατό νιν, καὶ γειτόνων
πολλοὶ ἐπαῦρον, ἀμᾷ δ' ἔφθαρεν· πολλὰν ὄρει πῦρ ἐξ ἑνὸς
σπέρματος ἐνθορὸν ἀΐστωσεν ὕλαν.

93. Ἡσίοδος, Ἔργα καὶ Ἡμέραι 238.

Οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς.
Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅστις ἀλιτραίνει καὶ ἀτάσθαλα μηχανάαται.
Τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί.
οὐδὲ γυναῖκες τίκτουσιν· μινύθουσι δὲ οἶκοι,
Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου· ἄλλοτε δ' αὖτε
ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν ἢ ὅ γε τεῖχος,
ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

94. Πλάτων, Νόμοι 715 Ε.

Ὁ μὲν δὴ θεός, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, εὐθείᾳ περαίνει κατὰ φύσιν περιπορευόμενος· τῷ δ' ἀεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός, ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος ξυνέπεται ταπεινὸς καὶ κεκοσμημένος, εἰ δέ τις ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας ἢ χρήμασιν ἐπαιρόμενος ἢ τιμαῖς ἢ καὶ σώματος εὐμορφίᾳ ἅμα νεότητι καὶ ἀνοίᾳ φλέγεται τὴν ψυχὴν μεθ' ὕβρεως, ὡς οὔτ' ἄρχοντος οὔτε τινὸς ἡγεμόνος δεόμενος, ἀλλὰ καὶ ἄλλος ἱκανὸς ὢν ἡγεῖσθαι, καταλείπεται ἔρημος θεοῦ, καταλειφθεὶς δὲ καὶ ἔτι ἄλλους τοιούτους προσλαβὼν σκιρτᾷ ταράττων πάνθ' ἅμα, καὶ πολλοῖς τισιν ἔδοξεν εἶναί τίς, μετὰ δὲ χρόνον οὐ πολὺν ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ ἑαυτόν τε καὶ οἶκον καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησεν.

95. Πίνδαρος, Ὀλυμπιονικῶν 10, 34.

Καὶ μὰν ξεναπάτας
Ἐπειῶν βασιλεὺς ὄπιθεν
οὐ πολλὸν ἶδε πατρίδα πολυκτέανον ὑπὸ στερεῷ πυρὶ
πλαγαῖς τε σιδάρου βαθὺν εἰς ὀχετὸν ἅτας
ἵζοισαν ἐὰν πόλιν.

---

96. Ἰσοκράτης, Περὶ εἰρήνης 120, σελ. 183 c.

Προσήκει τὰς ἀρετὰς ἀσκεῖν καὶ τὰς κακίας φεύγειν πολὺ μᾶλλον ταῖς πόλεσιν ἢ τοῖς ἰδιώταις. ἀνὴρ μὲν γὰρ ἀσεβὴς καὶ πονηρὸς τυχὸν ἂν φθάσειε τελευτήσας πρὶν δοῦναι δίκην τῶν ἡμαρτημένων· αἱ δὲ πόλεις διὰ τὴν ἀθανασίαν ὑπομένουσι καὶ τὰς παρὰ τῶν ἀνθρώπων καὶ τὰς παρὰ τῶν θεῶν τιμωρίας.

97. Παροιμιογράφοι· Μακάριος 6, 86 καὶ Ζηνόβιος 2, 71.

Πάγην ἱστὰς ἐν πάγῃ ληφθήσει. — Βαλὼν φεύξεσθαι οἴει;

98. Πλάτων, Νόμοι 905 Α.

Ταύτης τῆς δίκης οὔτε σὺ μήποτε οὔτε ἄλλος ἀτυχὴς γενόμενος ἐπεύξηται περιγενέσθαι θεῶν· ἣν πασῶν δικῶν διαφερόντως ἔταξάν τε οἱ τάξαντες χρεών τε ἐξευλαβεῖσθαι τὸ παράπαν. Οὐ γὰρ ἀμεληθή-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σει ποτὲ ὑπ' αὐτῆς· οὐχ οὕτω σμικρὸς ὢν δύσει κατὰ τὸ τῆς γῆς βάθος, οὐδ' ὑψηλὸς γενόμενος εἰς τὸν οὐρανὸν ἀναπτήσει, τίσεις δὲ αὐτῶν τὴν προσήκουσαν τιμωρίαν εἴτ' ἐνθάδε μένων εἴτε καὶ ἐν Ἅδου διαπορευθεὶς εἴτε καὶ τούτων εἰς ἀγριώτερον ἔτι διακομισθεὶς τόπον.

99. Εὐριπίδης, Ἴων 1619.

Ὦ Διὸς Λητοῦς τ' Ἄπολλον, χαῖρ'· ὅτῳ δ' ἐλαύνεται
ξυμφοραῖς οἶκος, σέβοντα δαίμονας θαρσεῖν χρεών·
ἐς τέλος γὰρ οἱ μὲν ἐσθλοὶ τυγχάνουσιν ἀξίων,
οἱ κακοὶ δ', ὥσπερ πεφύκασ', οὔ ποτ' εὖ πράξειαν ἄν.

100. Βακχυλίδης, ἀπόσπ. 29 (Bergk 3, 580).

Ζεὺς ὑψιμέδων, ὃς ἅπαντα δέρκεται,
οὐκ αἴτιος θνητοῖς μεγάλων ἀχέων· ἀλλ' ἐν μέσῳ κεῖται κιχεῖν
πᾶσιν ἀνθρώποισι Δίκαν ὁσίαν, ἀγνᾶς
Εὐνομίας ἀκόλουθον καὶ πινυτᾶς Θέμιδος·
ὀλβίων παῖδές νιν εὑρόντες σύνοικον. 1)

---

1) Ἀριστοτέλης, Περὶ κόσμου πρὸς Ἀλέξανδρον 401, 6, 24: Ὁ γενναῖος Πλάτων φησίν. ὁ μὲν δὴ θεός, ὥσπερ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, εὐθείᾳ περαίνει κατὰ φύσιν πορευόμενος· τῷ δ' ἀεὶ ξυνέπεται δίκη, τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός.— Ἀπολείπονται δὲ τοῦ θείου νόμου καὶ τιμωροῦνται ὑπὸ τῆς θείας Δίκης

1. **Οἱ ἀτάσθαλοι, οἱ ὑβρισταὶ καὶ ἐν γένει οἱ πονηροί, οἱ φαῦλοι καὶ οἱ κακοί.**— *Γένεσις* 38, 7. 10.— *Ἀριθμοὶ* 11, 1. 14, 35-37.— *Βασιλειῶν Α'*. 25, 27-39. *Γ'*. 2, 44. — *Ἡσαΐας* 2, 12. 9, 17. 10, 1-5. 13, 11. 16, 6. 23, 9. 28, 3.— *Ἱερεμίας* 4, 4. 21, 14. 25, 5 καὶ ἑξ. 27, 31. 31, 29. 33, 3. 51, 22.— *Ἰεζεκιὴλ* 7, 10 καὶ ἑξ. 30, 6 καὶ ἑξ. 36, 31. — *Ἰὼβ* 9, 23. 12, 6. 34, 17. 37, 15.— *Ἀμὼς* 5, 12.— *Ὡσηὲ* 5, 5. 7, 10.—*Ἀμβακοὺμ* 2, 5.— *Σιρὰχ* 5, 3. 21, 4. 32, 18. — *Παροιμίαι* 15, 25. 16, 18. 19, 9. 20, 30. 22, 8. 25, 19. 38, 20. = *Ὅμηρος*, Ἰλ. Δ. 409. Ρ 201. Ὀδύσ. α 7. 34. 43. 298. 380. κ 437. χ 64. 317. 416. ψ 63-67. ω 351. 458.— *Πίνδαρος*, Ὀλυμπιονικῶν 1, 55. 2, 56. — *Αἰσχύλος*, Ἀγαμέμνων 381. — *Σοφοκλῆς*, Τραχίνιαι 280-285. Οἰδίπους τύραννος 882. — *Εὐριπίδης*, Ἡρακλῆς μαινόμενος 774. Ἀπόσπ. 568. 969.. — *Εὐσέβιος*, Προπαρασκευὴ Εὐαγγελική, βιβλ. 8, κεφ. 14, παράγρ. 41.—*Παροιμιογράφοι· Μακάριος* 5, 11. *Αἰσώπειοι μῦθοι* (ἔκδ. Halm) ἀρ. 287. 346. 425.

2. **Οἱ γογγύζοντες κατὰ τοῦ Θεοῦ, οἱ μὴ ἔχοντες πεποίθησιν εἰς αὐτόν, οἱ μὴ φοβούμενοι αὐτόν, οἱ μὴ ὑπακούοντες εἰς τὰ προστάγματα αὐτοῦ, οἱ παραβάται τῶν θείων αὐτοῦ ἐντολῶν, οἱ ἀσεβεῖς.** — *Γένεσις* 18, 23. — *Ἔξοδος* 32, 33. — *Ἀριθμοὶ* 14, 29. — *Δευτερονόμιον*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

1. 32. — *Ἰησοῦς Ναυῆ* 7, 15. — *Κριταί* 2, 20. — *Βασιλειῶν* Α'. 12, 9. Γ'. 9, 6-9. 14, 11. Δ'. 17, 18 καὶ ἑξ. 18, 12.— *Παραλειπομένων* Β'. 28, 19.— *Ἡσαΐας* 1, 28. 11, 4. 26, 10. 33, 14. 48, 22. 57, 21. — *Ἱερεμίας* 22, 3 καὶ ἑξ. 23, 19. 32, 31. 37, 23.— *Ἰεζεκιὴλ* 20, 38. 33, 9 καὶ 14.— *Ἰὼβ* 8, 14-22. 9, 4. 11, 20. 15, 34. 18, 5. 20, 5 καὶ 28. 27, 13. 34, 26. — *Ἐκκλησιαστὴς* 7, 18. 8, 13. — *Σοφονίας* 1, 3. 3, 2.—*Ὡσηὲ* 10, 2.—*Ἀμβακοὺμ* 1, 14-17— *Σοφία Σολομῶντος* 3, 10. 12, 9. 14, 9. 16, 16.— *Σιρὰχ* 7, 17. 9, 12. 12, 6. 27, 3. 28, 23. 38, 15. 40, 14. 41, 8 καὶ 10.— *Παροιμίαι* 1, 19. 2,22. 3, 33 καὶ 35. 10, 3. 6. 12, 7. 14, 11. 15, 6. 21, 7. 24, 20. = *Ὅμηρος*, Ἰλιὰς Ε 177. Ζ 130-141. Ὀδύσσεια λ 112. μ 387. ν 144.— *Πίνδαρος*, Ὀλυμπιον. 9, 35. Ἀπόσπ. 132.— *Αἰσχύλος*, Εὐμενίδες 269. Ἱκέτιδες 733. — *Σοφοκλῆς*, Ἠλέκτρα 824. 1382. Ἀντιγόνη 955-969. 1347. Οἰδίπους τύραννος 884. — *Εὐριπίδης*, Βάκχαι 881-892. Κύκλωψ 310, — *Δημόκριτος*, ἀπόσπ. 9 (Mullach 1, 379).— *Ἡρόδοτος*, 6, 75. — *Πλάτων*, Μίνως 318 Ε. Νόμοι 888 D.— *Δημοσθένης*, κατὰ Νεαίρας 77, σελ. 1371.—*Λυσίας*, κατὰ Κινησίου ὑπὲρ Φανίου παρανόμων, ἀπόσπ. 53. Κατ' Ἀνδοκίδου 20-33, σελ. 105. — *Ξενοφῶν*, Κύρου παιδεία 8, 7, 22. Ἑλληνικὰ 5, 4, 1.— *Πολύβιος* 12, 23, 3. 15, 20, 4 καὶ 5. 18, 5, 7-11. 24, 8, 1 καὶ ἑξ. 31, 11, 4.—*Ἀθήναιος* 12, 552 α καὶ ἑξ. — *Τραγικῶν ἀδέσποτα*, ἀπόσπ. 406 (Nauck, σελ. 715). — *Δημόφιλος*, ἀπόσπ. 12, (Mullach 1, 485). — *Εὐσέβιος*, Προπαρασκευὴ Εὐαγγελική, βιβλ. 7, κεφ. 7, ἐδάφ. 1.— *Μάξιμος ὁ Τύριος*, λόγ. 9, 8 ἐν τέλει.

3. **Οἱ ἀμελεῖς περὶ τὴν ἐκπλήρωσιν τῶν πρὸς τὸν Θεὸν καθηκόντων αὐτῶν.** — *Ὅμηρος*, Ἰλιὰς Η 450. Ι 534. Ὀδύσσεια λ 324. — *Ὁμηρικὸς ὕμνος εἰς Δήμητραν* 367-369.— *Σοφοκλῆς*, Αἴας 172-186.

4. **Οἱ ἀσεβῆ λέγοντες καὶ ἀσεβῆ πράττοντες.** — *Ἡσίοδος*, Ἔργα καὶ Ἡμέραι 332.— *Αἰσχύλος*, Ἀγαμέμνων 757 καὶ ἑξ.— *Σοφοκλῆς*, Αἴας 127. Ἀντιγόνη 1074 καὶ ἑξ.

5. **Οἱ μὴ τιμῶντες τοὺς γονεῖς αὐτῶν καὶ οἱ μὴ ὑπακούοντες εἰς αὐτούς.** — *Γένεσις* 9, 25. — *Ἔξοδος* 21, 15. — *Δευτερονόμιον* 21, 18-22. 27, 16. — *Παῦλος*, πρὸς Ῥωμαίους 1, 28-32. = *Ὅμηρος*, Ὀδύσ. 6 134. λ 280. — *Ἡσίοδος*, Ἔργα καὶ Ἡμέραι 185-189. — *Αἰσχύλος*, Εὐμενίδες 270. — *Πλάτων*, Πολιτεία 615 C. Νόμοι 717 D. 872 E. 880 E καὶ ἑξ.—*Ὀρφικά*, ἀπόσπ. 11 (ἔκδ. Mullach, τόμ. 1, σελ. 174).

6. **Οἱ μὴ σεβόμενοι τοὺς πρεσβυτέρους.** — *Ὅμηρος*, Ἰλιὰς Ο 204.

7. **Οἱ ἀσεβεῖς καὶ παράνομοι πρὸς τὸν πλησίον.** — *Πλάτων*, Πρωταγόρας 324 Α καὶ ἑξ.— *Πολύβιος* 1, 84, 10. 39, 2, 1.

8. **Οἱ μισόξενοι, οἱ καταφρονοῦντες καὶ ἀσεβοῦντες πρὸς τοὺς ξένους καὶ τοὺς ἱκέτας.** — *Ἀριθμοὶ* 15, 30.— *Σοφία Σολομῶντος* 19, 12-15. — *Ματθαῖος* 25, 41-46. = *Ὅμηρος*, Ἰλ. Α 9-53. Γ 351. Ζ 357. Ὀδύσ. ι 478. ν. 213. ξ 283. χ 413.— *Πίνδαρος*, Ὀλυμπιον. 10. 34.—*Αἰσχύλος*, Εὐμενίδες 270. Ἀγαμέμνων 57. — *Ἡρόδοτος* 1, 159. 6, 91. — *Πλάτων*, Νόμοι 730 Α. — *Αἰσώπειοι μῦθοι*, ἀριθ. 7.

9. **Οἱ σκληροὶ πρὸς τοὺς ἐπαίτας.** — *Ὅμηρος*, Ὀδύσ. ρ 475.

10. **Οἱ ἄδικοι καὶ σκληροὶ πρὸς τὰ ζῶα.**—*Παροιμιογράφοι* Appendix 2, 20.— *Ἀρχίλοχος*, ἀπ. 88 (Bergk, τόμ. 2, σελ. 408).

11. **Οἱ ἄνομοι καὶ παράνομοι.** — *Παραλειπομένων* Α'. 10, 13-14.— *Ἰησοῦς Ναυῆ* 7, 15.—*Ἰὼβ* 11, 11. 20, 5. 31, 3. 34, 17. — *Ἡσαΐας* 1, 4 καὶ ἑξ. 3, 11. 5, 18. 9, 17. 18. 13, 11. 29, 20. — *Ἰεζεκιὴλ* 3, 18. 19. 18, 24. 21,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3 καὶ 4. 33, 8 καὶ 18. — *Σοφονίας* 1, 3 καὶ 9. — *Μαλαχίας* 2, 8 καὶ ἑξ. 4, 1. — *Σοφία Σολομῶντος* 17, 2 καὶ ἑξ. — *Σιρὰχ* 21, 3. — *Παροιμίαι* 1, 18 καὶ 19. 2, 22. 6, 12-15. 11, 30. 13, 2. 23, 28. 25, 19. — *Παῦλος*, πρὸς Ῥωμαίους 1, 28 μέχρι τέλους. = *Εὐριπίδης*, Ἡρακλῆς μαινόμενος 777. — *Πολύβιος* 24, 8.

12. **Οἱ ἄδικοι.** — *Βασιλειῶν* Β'. 21, 1. — *Ἰὼβ* 18, 21. 28, 4. 31, 3. — *Ἡσαΐας* 5, 23. 9, 17. 29, 21. 57, 20. 59, 3. — *Ἰερεμίας* 9, 5. 22, 17 καὶ 18. — *Ἰεζεκιὴλ* 3, 18 καὶ 19. 4, 17. 14, 7 καὶ 8. 18, 24. 21, 3 καὶ 4. 33, 13. — *Ἀμὼς* 5, 12. — *Μακκαβαίων* Γ'. 2, 4. — *Σοφία Σολομῶντος* 3, 10 καὶ 19. 11, 16. 12, 23. 16, 24. — *Σιρὰχ* 27, 10. 32, 18. 40, 12. — *Παροιμίαι* 1, 32. 11, 21. 19, 24. 21, 16. = *Ὅμηρος*, Ὀδύσ. ϛ 282-284. γ 132. ν 209-213. — *Πίνδαρος*, Ὀλυμπιονικῶν 2, 56. — *Αἰσχύλος*, Εὐμενίδες 552-565. Ἀγαμέμνων 376. — *Σοφοκλῆς*, Ἀντιγόνη 369-372. Οἰδίπους τύραννος 889. Αἴας 835-837. — *Εὐριπίδης*, Ἡρακλῆς μαινόμενος 776. — *Ζάλευκος* παρ' Ἰωάν. τῷ Στοβαίῳ, Ἀνθολόγ. 44, 20. — *Πλάτων*, Πρωταγόρας 324 Α. Γοργίας 523-527. Πολιτεία 330 D. 363 D. 613 Α καὶ ἑξ. Νόμοι 959 Α καὶ ἑξ. Ἐπιστολὴ 7, 335 Α καὶ ἑξ. — *Ἰσοκράτης*, περὶ εἰρήνης 34, σελ. 166. — *Λυκοῦργος*, κατὰ Λεωκράτους 10, σελ. 149. — *Πολύβιος* 4, 81, 5. — *Πλωτῖνος* Ἐννεὰς 3, λόγ. 2, κεφ. 4 (ἔκδ. Dübner, σελ. 121, στίχ. 17 καὶ ἑξ.). — *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 4, 1, 119. 4, 5, 10.

13. **Οἱ φιλοχρήματοι, οἱ ἄδικα καὶ αἰσχρὰ κέρδη θηρεύοντες, οἱ ἄνομα συνάγοντες, οἱ ἐξ ἀδικιῶν πλουτοῦντες, οἱ ἐξ ἀνομιῶν θησαυρίζοντες.** — *Ἰὼβ* 5, 2-5. 20, 15. — *Σιρὰχ* 21, 9. — *Ἡσαΐας* 29, 5. — *Μιχαίας* 6, 10-12. = *Θέογνις* 197-208. — *Σόλων*, ἀπ. 13, 7-36 καὶ 71-75. — *Σαπφώ*, ἀπ. 80 (Bergk 3, 116). — *Αἰσχύλος*, Εὐμενίδες 540. — *Σοφοκλῆς*, Ἀντιγόνη 326. 1044. Οἰδίπους Τύραννος 889. — *Εὐριπίδης*, Κύκλωψ 312. — *Πλάτων*, Πολιτεία 408 C. — *Περίανδρος*, παρ' Ἰωάν. τῷ Στοβαίῳ, Ἀνθολογ. 10, 49.

14. **Οἱ κακὰ βουλευόμενοι καὶ κακὰ φρονοῦντες.** — *Παροιμίαι* 16, 18. 19, 19. = *Σοφοκλῆς*, Ἀντιγόνη 1103. — *Τραγικῶν ἀδέσποτα*, ἀπ. 283 (Nauck, σελ. 695). — *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 18. 61 6. 110. 255. 298. 322.

15. **Οἱ κακὰ ἐργαζόμενοι καὶ πονηρὰ ποιοῦντες.** — *Ἀριθμοὶ* 32, 13. — *Δευτερονόμιον* 4, 25-29. 31, 29. — *Κριταὶ* 4, 1. 6, 1. 13, 1. — *Βασιλειῶν* Δ' 20, 14. — *Παροιμίαι* 10, 29.

16. **Οἱ θρασεῖς.** — *Μακκαβαίων* Γ' 2, 6. = *Σοφοκλῆς*, Ἀντιγόνη 853-856.

17. **Οἱ ἄσπλαγχνοι καὶ ἀνελεήμονες καὶ σκληροκάρδιοι.** — *Δευτερονόμιον* 9, 27. — *Ἰερεμίας* 4, 4. — *Ἐκκλησιαστὴς* 7, 18. — *Σιρὰχ* 32, 18. — *Παροιμίαι* 17, 20. — *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 177.

18. **Οἱ ὠμοὶ καὶ σκληροτράχηλοι.** — *Δευτερονόμιον* 9, 13-15. = *Ὅμηρος*, Ἰλ. Ι 510. Ω 113-115. — *Πολύβιος* 15, 20, 4 καὶ ἑξ. 27, 8, 4. — *Ἀρριανός*, Ἀλεξάνδρου ἀνάβασις 1, 9, 6-9.

19. **Οἱ ἀχάριστοι.** — *Ὅμηρος*, Ἰλ. Ε 650. — *Πίνδαρος*, Πυθιονικῶν 2, 21-41. — *Αἰσώπειοι μῦθοι*, ἀρ. 127.

20. **Οἱ μνησίκακοι.** — *Ἰεζεκιὴλ* 25, 12-15. — *Παροιμίαι* 12, 28.

21. **Οἱ φθονεροί.** — *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 184. 331. 365.

22. **Οἱ ψεῦσται.** — *Ἰησοῦς Ναυῆ* 7, 10-13. — *Ἡσαΐας* 5, 20-25. 28, 15. 18, 19. — *Ἰερεμίας* 9, 3 καὶ ἑξ. — *Ἰεζεκιὴλ* 33, 29-31. — *Ὡσηὲ* 4, 2-5. — *Μιχαίας* 6, 12 καὶ ἑξ. — *Σιρὰχ* 20, 25. — *Παροιμίαι* 25, 18-19. = *Ἡράκλειτος*, ἀπ. 9 (ἔκδ. Mullach, τόμ. 1, σελ. 316). — *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 58. 308. 353. 363.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

23. **Οἱ δόλιοι καὶ ἀπατεῶνες.**—*Ἰεζεκιὴλ* 35, 3-6.—*Παροιμίαι* 21, 8.= *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 200. 225. 333. 376.

24. **Οἱ ἄπιστοι καὶ ἀλλοπρόσαλλοι.**—*Ὅμηρος*, Ἰλ. Φ 412. Ὀδύσ. ο 415-484.— *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 326. 356.

25. **Οἱ ἄπιστοι σύζυγοι.**—*Πίνδαρος*, Πυθιονικῶν 3, 8-44.

26. **Οἱ ἐπίορκοι.**—*Ζαχαρίας* 5, 3 καὶ 4.—*Μαλαχίας* 3, 5.=*Ὅμηρος*, Ἰλ. Γ 276-280. Δ 155-168. 234-239. 270. Η 351. Τ 258-265.—*Ἡσίοδος*, Ἔργα καὶ Ἡμέραι 282-285. Θεογονία 793-806.— *Πίνδαρος*, Ὀλυμπιονικῶν 2, 65-68. —*Ἡρόδοτος* 6, 86 γ'. —*Πολύβιος* 4, 33, 3. — *Ἀρριανός*, Ἀλεξάνδρου ἀνάβασις 1, 9, 6 καὶ 7.

27. **Οἱ προδόται.**— *Πολύβιος* 18, 15, 1-14.— *Ἀρριανός* Ἀλεξάνδρου ἀνάβασις 1, 9, 6 καὶ 7.

28. **Οἱ πλεονέκται.** — *Ἡσαΐας* 28, 8. — *Ἰερεμίας* 22, 17-20. — *Παῦλος*, πρὸς Ῥωμαίους 1, 29.= *Πολύβιος* 15, 20, 4 καὶ ἑξ. — *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 126. 41. 111. 233. 254. 343.

29. **Οἱ ἅρπαγες.** — *Ἡσαΐας* 10, 2. 61, 8.— *Ἰεζεκιὴλ* 18, 12 καὶ 18. — *Μιχαίας* 3, 2-5. — *Σιρὰχ* 16, 13.= *Ἡσίοδος*, Ἔργα καὶ Ἡμέραι 320-326. 356. —*Πίνδαρος*, Πυθιονικῶν 8, 13-20.

30. **Οἱ κλέπται.** —*Ἔξοδος* 21, 17. —*Ἰησοῦς Ναυῆ* 7, 1. —*Ἰερεμίας* 7, 9. 31, 27.— *Ὡσηὲ* 4, 2-5.— *Ζαχαρίας* 5, 3 καὶ 4.—*Σιρὰχ* 20, 25.— *Παῦλος*, πρὸς Ῥωμαίους 1, 29. = *Πίνδαρος*, Ὀλυμπιονικῶν 1, 59 καὶ ἑξ. — *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 351.

31. **Οἱ ταλλότρια σφετεριζόμενοι καὶ οἱ τὰς παρακαταθήκας νοσφιζόμενοι.** — *Σιρὰχ* 21, 8. 40, 13. = *Ἡρόδοτος* 6, 86. — *Αἰλιανός*, Ποικίλη ἱστορία 13, 2.

32. **Οἱ κακοῦντες καὶ καταδυναστεύοντες καὶ ἀδικοῦντες χήρας καὶ ὀρφανά.** —*Ἔξοδος* 22, 22-25. — *Δευτερονόμιον* 27, 19. — *Ἰερεμίας* 7, 6 καὶ ἑξ. 22, 3 καὶ ἑξ.=*Ἡσίοδος*, Ἔργα καὶ Ἡμέραι 330-334.

33. **Οἱ φονεῖς.**—*Γένεσις* 4, 10-13. 9, 6.—*Λευιτικὸν* 24, 17 καὶ 21.—*Ἀριθμοὶ* 35, 16-22 καὶ 31. — *Κριταὶ* 9, 56.— *Βασιλειῶν Α'* 15, 33. *Β'* 4, 11-12. *Γ'* 2, 32 καὶ 33. 21, 19 καὶ 23-24. — *Παραλειπομένων Β'* 21, 13 καὶ 14 καὶ 18.— *Ἡσαΐας* 59, 3 καὶ 7.— *Ἰερεμίας* 2, 34 καὶ ἑξ. 7, 8. 22, 3 καὶ 17 καὶ ἑξ. 31, 10. — *Ἰεζεκιὴλ* 22, 6 καὶ ἑξ. 35, 6. — *Ὡσηὲ* 4, 2.— *Παροιμίαι* 1, 18. = *Ὅμηρος*, Ὀδύσ. α 32-43. γ 193-198. — *Αἰσχύλος*, Ἀγαμέμνων 461-466. Χοηφόροι 46 καὶ ἑξ. καὶ 636 καὶ ἑξ.— *Σοφοκλῆς*, Τραχίνιαι 270-280. Ἠλέκτρα 209-212. 248. 472-494. 792. — *Ἰάμβλιχος*, περὶ τοῦ Πυθαγορικοῦ βίου, κεφ. 27, σελ. 126 — *Παροιμιογράφοι· Ζηνόβιος* 1, 37. *Διογενειανὸς* 1, 35. *Μακάριος* 1, 50. *Ἀποστόλιος* 1, 85.— *Εὐδοκία*, Ἰωνιὰ 509, σελ. 247.— *Αἰσώπειοι μῦθοι*, ἀρ. 48. 264.

34. **Οἱ ἀσύνετοι καὶ ἄφρονες, οἱ ἄνοι καὶ βλᾶκες.** —*Ἰὼβ* 5, 1-5. —*Σοφία Σολομῶντος* 12, 23 καὶ 24.—*Σιρὰχ* 16, 7.— *Παροιμίαι* 5, 5. 6, 12-16. 10, 21. 18, 6 καὶ 7.— *Παῦλος*, Πρὸς Ῥωμαίους 1, 31.=*Ὅμηρος*, Ὀδύσ. 6 282. γ 132. ι 44-66. κ 27. 82-134. ν 213. — *Δημόφιλος*, 12 (Mullach, τόμ. 1, σελ. 485). — *Ξενοφῶν*, Οἰκονομικὸς 8, 16. — *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 14. 45. 196. 204. 263. 268. 323. 373. 419.

35. **Οἱ ἄμετροι, οἱ ὑπερβαίνοντες ἐν ταῖς ὁρμαῖς αὐτῶν τὰ προσήκοντα ὅρια.** — *Ἡράκλειτος*, ἀπ. 34 (Mullach, τόμ. 1, σελ. 319). — *Πλούταρχος*, περὶ Ἴσιδος καὶ Ὀσίριδος 370 D.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

36. **Οἱ μεγαλορρήμονες καὶ μεγαλομανεῖς.** — *Βασιλειῶν* Α' 2, 3. — *Μακκαβαίων* Γ' 6, 4 καὶ 5. — *Μιχαίας* 6, 12 καὶ ἑξ. — *Πίνδαρος*, Πυθιονικῶν 8, 13. Ἰσθμιονικῶν 7, 43-47.— *Σοφοκλῆς*, Αἴας 127-133. — *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 8. 30. 84. 124. 243. 324.

37. **Οἱ ὑπέρκοπα καὶ ἄγαν ὑπέρφρονα φρονοῦντες.** — *Λευιτικὸν* 23, 29. — *Δευτερονόμιον* 8, 14-20. — *Ἡσαΐας* 2, 11. 12. 17. 9, 9. 14, 13 καὶ ἑξ. — *Ἱερεμίας* 31, 42. — *Ἰεζεκιὴλ* 16, 49 καὶ 50. 28, 9-11. 31, 2-18. — *Τωβὶτ* 4, 13.— *Σιρὰχ* 1, 30.— *Παροιμίαι* 17, 16 καὶ 19.= *Εὐριπίδης*, Ἡρακλεῖδαι 387.— *Ἡρόδοτος* 2, 169.

38. **Οἱ ἀλαζόνες, οἱ ὑπερήφανοι, οἱ ἀγέρωχοι, οἱ τετυφωμένοι, οἱ ὑπερόπται, οἱ αὐθάδεις, οἱ ἐμπαίζοντες καὶ ὀνειδίζοντες τὸν πλησίον.** — *Λευιτικὸν* 26, 19. — *Ἡσαΐας* 1, 25. 2, 12. 5, 15. 21. 10, 33-34. 13, 11. 16, 6 καὶ 7. 29, 20. —*Ἱερεμίας* 31, 29 καὶ ἑξ.—*Ἰεζεκιὴλ* 7, 20. 17-25. — *Σοφονίας* 3, 6. — *Δανιὴλ* 4, 34. 5, 20 καὶ ἑξ. — *Ἀμβακοὺμ* 2, 5 καὶ ἑξ. — *Μακκαβαίων* Γ' 2, 3-6 καὶ 21. — *Σιρὰχ* 10, 12-19. 16, 8. 21, 4. 27, 28. — *Παροιμίαι* 3, 34. —*Παῦλος*, πρὸς Ῥωμαίους 1, 30.=*Ὅμηρος*, Ἰλ. Β 595-600. Ω 602-617. Ὀδύσ. δ 499-511. θ 224-228. λ 308-320. — *Ἡσίοδος*, Θεογονία 514-516.— *Αἰσχύλος*, Ἑπτὰ ἐπὶ Θήβας 423-446.— *Σοφοκλῆς*, Οἰδίπους τύραννος 882-890. Ἀντιγόνη 127-137. Αἴας 755-778. — *Εὐριπίδης*, ἀπ. 1027. — *Ἡρόδοτος* 7, 10 ε'. —*Ξενοφῶν*, Ἑλληνικὰ 6, 4, 23. — *Πολύβιος* 37, 1 g. — *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 21. 201. 280.

39. **Οἱ ἀπειθεῖς εἰς τὰς ἐντολὰς τοῦ Θεοῦ, εἰς τοὺς νόμους, εἰς τοὺς συνετωτέρους, εἰς τοὺς γονεῖς.** — *Λευιτικὸν* 26, 14 καὶ ἑξ. — *Ἀριθμοὶ* 11, 20. 14, 43. — *Δευτερονόμιον* 9, 7 καὶ ἑξ.— *Ἰησοῦς Ναυῆ* 5, 6.— *Βασιλειῶν* Α' 2, 25 καὶ 34. 12, 15.— *Παραλειπομένων* Β' 7, 17 καὶ ἑξ.— *Ἡσαΐας* 1, 25. 33, 2.—*Ἱερεμίας* 39, 23.—*Ζαχαρίας* 7, 11-13.=*Ὅμηρος*, Ὀδύσσεια ι 44-66. χ 27. 82-134.— *Αἰσώπειοι μῦθοι*, ἀριθμ 75. 419.

40. **Οἱ λαίμαργοι.** — *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 194. 293. 357.

41. **Οἱ μετὰ κακῶν συναναστρεφόμενοι.** — *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 100 καὶ 100 δ.

42. **Οἱ ἀκόλαστοι καὶ οἱ αἰσχροί.** — *Ἱερεμίας* 5, 8-11.— *Παροιμίαι* 19, 29. =*Ὅμηρος*, Ὀδύσ. α 29-43. λ 405-434. 576-581.

43. **Οἱ ἀργοί, οἱ εὔπιστοι καὶ οἱ ἀλλοτριοπραγμονοῦντες.**—*Ἡσίοδος*, Ἔργα καὶ Ἡμέραι 299-306.— *Αἰσώπειοι μῦθοι*, ἀριθμ. 113. 134. 186. 196. 239. 334. 362. 401.

44. **Οἱ ἐπιχαιρέκακοι.**—*Ἰεζεκιὴλ* 25, 15 καὶ ἑξ.—*Παροιμίαι* 17, 5.

45. **Οἱ μισοῦντες τὰ καλὰ καὶ ζητοῦντες τὰ πονηρά, οἱ ἐπαινοῦντες τοὺς μοχθηροὺς καὶ ψέγοντες τοὺς χρηστούς, οἱ εὐφραινόμενοι ἐπὶ ταῖς δυστυχίαις τῶν χρηστῶν, οἱ ἀνεχόμενοι καὶ μὴ κωλύοντες τὰ ἔργα τὰ κακά.** — *Μιχαίας* 3, 2 καὶ ἑξ.—*Σιρὰχ* 27, 29.=*Ὅμηρος*, Ὀδύσ. ϛ 66 καὶ ἑξ. — *Πλάτων*, Μίνως 318 Ε-319 Α.

46. **Τὰ τέκνα καὶ ἔστιν ὅτε καὶ τὸ γένος ὅλον τοῦ ἁμαρτήσαντος.** — *Ἀριθμοὶ* 14, 18. — *Ἡσαΐας* 14, 21. — *Ἱερεμίας* 16, 3-5. 39, 18. 51, 7. — *Ἰεζεκιὴλ* 18, 2-5.— *Θρῆνοι* 5, 7 — *Ὡσηὲ* 9, 12 καὶ 16. — *Σιρὰχ* 40, 15.— *Παροιμίαι* 24, 20. = *Ὅμηρος*, Ἰλιὰς Λ 142. Υ 306. — *Θέογνις* 203-208. 731-742.— *Σόλων*, ἀπ. 13, 31-32. — *Ἡρόδοτος* 6, 86 γ'. — *Δυσίας*, κατ' Ἀνδοκίδου 20, σελ. 105. — *Αἰσχίνης*, κατὰ Κτησιφῶντος 111. — *Πλούταρχος*, περὶ τῶν ὑπὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦ θείου βραδέως τιμωρουμένων 558 A - 560 A. — *Αἰσώπειοι μῦθοι*, ἀριθ. 5.

47. **Οἱ ὠμοὶ καὶ ἄδικοι καὶ ἄνομοι βασιλεῖς, οἱ κακοὶ καὶ αὐθάδεις καὶ μνησίκακοι ἄρχοντες.**— *Ἡσαΐας* 14, 5. 18 καὶ ἑξ. 29, 5.—*Ἱερεμίας* 36, 22.— *Ἰεζεκιὴλ* 21, 25.— *Ὡσηὲ* 7, 16.= *Εὐσέβιος*, ἀπ. 45 (Mullach, τόμ. 3, σελ. 14).

48. **Τὰ ἔθνη τὰ ἀσεβῆ, τὰ παραβαίνοντα τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ μὴ ποιοῦντα τὸ ἅγιον αὐτοῦ θέλημα. Τὰ ἔθνη τὰ ἀσύνετα καὶ μάταια καὶ ἀλαζονικὰ καὶ ὑβριστικὰ καὶ ὑπερήφανα καὶ ἄδικα καὶ πονηρά. Τὰ ἔθνη τὰ ἐν κακίαις καὶ ἀνομίαις διαιοῦντα, τὰ ψευδοευσεβῆ καὶ ἀπειθῆ καὶ διεφθαρμένα καὶ φιλάργυρα καὶ ἀπαίδευτα. Τὰ ἔθνη, ἐν οἷς τὰ τέκνα δὲν σέβονται τοὺς γονεῖς αὐτῶν, ἐν οἷς οἱ δυνάμενοι καταδυναστεύουσι τὰς χήρας καὶ τὰ ὀρφανά.**— *Γένεσις* 6, 13. 19, 13. 23 καὶ ἑξ.— *Ἔξοδος* 32, 7 - 11.— *Λευιτικὸν* 26, 43. — *Ἀριθμοὶ* 14, 11. — *Δευτερονόμιον* 4, 25 - 29. 9, 4 καὶ 5. 31, 18. — *Βασιλειῶν Δ'* 17, 14-19.— *Παραλειπομένων Α'* 9, 1.— *Μακκαβαίων Β'* 5, 17.—*Ἔσδρας* 9, 7. — *Ἡσαΐας* 1, 4. 7 καὶ ἑξ. 3, 8. 16 καὶ ἑξ. 10, 6 καὶ ἑξ. 14, 5 καὶ ἑξ. 24, 5-23. 25, 2. 27, 11. 29, 13-24. 30, 9-13. 34, 1 καὶ ἑξ. 42, 24. 63, 10. — *Ἱερεμίας* 2, 15. 29. 4, 14. 5, 6. 23. 26. 6, 6. 7. 13. 19. 7, 28. 29. 8, 10. 12, 17. 13, 9-25. 14, 10. 19, 3. 15. 25, 9. 12. 27, 7. 28, 24. 37, 14-15. 39, 31. 32. 40, 5. 43, 7. 47, 3. 51, 7.— *Ἰεζεκιὴλ* 5, 5-17. 6, 9-14. 7, 2 καὶ 10-24. 9, 9-11. 12, 2 καὶ 19. 14, 13. 15, 8. 16, 2 καὶ ἑξ. 20, 43. 21, 24. 23, 47 καὶ 48. 28, 18. 29, 16. 32, 12. 33, 28. 39, 23.—*Θρῆνοι* 1, 5. 8. 14.—*Ὡσηὲ* 7, 13. 8, 13. 13, 16 — *Ἀμὼς* 1, 3-15. 2, 1-16. 6, 8. — *Μιχαίας* 1, 5 καὶ ἑξ. 7, 1-5. — *Ἰωὴλ* 3, 19.—*Ἰωνᾶς* 4, 11.—*Ναοὺμ* 3, 1 καὶ ἑξ.—*Ἀμβακοὺμ* 2, 12-13.— *Σοφονίας* 2, 1-15. —*Ζαχαρίας* 9, 6.— *Σιρὰχ* 16, 7. — *Παροιμίαι* 11, 11. 14, 34. 26, 3. 29, 8.

49. **Πολλοὶ διὰ τὰς ἁμαρτίας ὀλίγων.** — *Δευτερονόμιον* 29, 19.— *Ἰησοῦς Ναυῆ* 22, 20.— *Παροιμίαι* 29, 8.= *Ὅμηρος*, Ὀδύσ. γ 132-134.— *Πλούταρχος*, περὶ τῶν ὑπὸ τοῦ θείου βραδέως τιμωρουμένων 558 E καὶ ἑξ.— *Αἰσώπειοι μῦθοι*, ἀριθ. 118.

50. **Τὸ ἔθνος ὅλον διὰ τὴν ἀσέβειαν καὶ τὴν κακουργίαν ἑνός.**— *Ἀριθμοὶ* 16, 22.—*Σιρὰχ* 16, 11.— *Παροιμίαι* 29, 4. = *Ὅμηρος*, Ἰλ. Α 8-12. 380-384. 410.—*Ἡσίοδος*, Ἔργα καὶ Ἡμέραι 240-242.— *Αἰσχίνης*, κατὰ Κτησιφῶντος 135.— *Φιλιππίδης ὁ κωμικός*, ἀπ. 25 (Kock 3, 308). — *Πολύβιος* 32, 25.— *Πλούταρχος*, Περὶ τῶν ὑπὸ τοῦ θείου βραδέως τιμωρουμένων 558 E καὶ ἑξ.— *Σχολιαστὴς* Πινδάρου, Πυθιονικῶν 3, 64.— *Παροιμιογράφοι· Μακάριος* 7, 32 καὶ τὴν ὑποσελίδ. σημ. αὐτόθι (ἔκδ. v. Leutsh, Göttingae 1851, τόμ. 2, σελ. 204).

51. **Τὰ ἔθνη ἕνεκα τῶν ἀῤῥόνων καὶ ἀνόμων καὶ ἀκολάστων καὶ ἀθλίων βασιλέων αὐτῶν· ἕνεκα τῶν ἀσεβῶν καὶ ἀδίκων καὶ διεφθαρμένων ἀρχόντων αὐτῶν.** — *Ἐκκλησιαστὴς* 10, 16. — *Ἡσαΐας* 3, 13 καὶ ἑξ.— *Ἱερεμίας* 4, 20 καὶ ἑξ. 10, 21. 32, 34 καὶ ἑξ.— *Θρῆνοι* 4, 13.— *Βασιλειῶν Β'* 24, 17. *Γ'* 14, 16. — *Παραλειπομένων Α'* 21, 17. *Β'* 32, 25 καὶ 26.— *Σοφονίας* 3, 3.= *Ἡσίοδος*, Ἔργα καὶ Ἡμέραι 260-264. — *Σόλων*, ἀπόσπ. 4, 7-30. ἀπ. 9, 3. — *Θέογνις* 43 καὶ ἑξ. 679. 855 καὶ ἑξ.

52. **Τὰ ἔθνη διὰ τὰς σκολιὰς κρίσεις τῶν ἀσυνειδήτων δικαστῶν αὐτῶν.**— *Ἱερεμίας* 5, 28-30. 22, 16 καὶ ἑξ.— *Μιχαίας* 3, 11 καὶ ἑξ. — *Σοφονίας* 3, 3.= *Ὅμηρος*, Ἰλ. Π 384-392.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

12. Ο ΘΕΟΣ

α'. Ὑπάρχει Θεὸς

Ὑπάρχει Θεός. Οἱ ἄφρονες λέγουσιν ὅτι δὲν ὑπάρχει Θεός. Ζωὴ καὶ αἰὼν συνεχὴς καὶ ἀΐδιος ὑπάρχει τῷ Θεῷ. Οὐσία ἀΐδιος ὁ Θεός.

1. Ἡσαΐας 43, 10-13.

Συνῆτε ὅτι ἐγώ εἰμι . . ὁ Θεός . . ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι.

2. Ἡσαΐας 48, 13.

Ἄκουέ μου . . ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα.

3. Ἀποκάλυψις 1, 17.

Ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος καὶ ὁ ζῶν.

4. Δευτερονόμιον 32, 39-41.

Καὶ εἶπε Κύριος . . Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι . . ζῶ ἐγὼ εἰς τὸν αἰῶνα.

5. Ψαλτήριον 13, 1.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός.

6. Πλάτων, Νόμοι 888 Α.

Διδάσκειν περὶ θεῶν πρῶτον ὡς εἰσί.

7. Μάρκος Ἀντωνῖνος, Τῶν εἰς ἑαυτὸν 2, 11.

Θεοί . . καί εἰσί, καὶ μέλει αὐτοῖς τῶν ἀνθρωπείων.

8. Ἀρριανός, Ἐπικτήτου διατριβαί 2, 14, 11.

Μαθεῖν δεῖ πρῶτον τοῦτο, ὅτι ἐστὶ θεός.

9. Φιλήμων, ἀπ. 118 (Kock 2, 515).

Θεὸν νόμιζε καὶ σέβου . .
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου.

53. **Ὅλη ἡ οἰκογένεια καὶ ὅλη ἡ γενεὰ καὶ ὅλον τὸ ἔθνος διὰ τὴν κακὴν ἀνατροφὴν τῶν νέων.** — *Βασιλειῶν* Α' 3, 13. = *Μάξιμος ὁ Τύριος* 9, 8 ἐν τέλει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

10. Σιμπλίκιος, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 31 (Dübner, σ. 95, στίχ. 22).

Θεοί . . καὶ εἰσί, καὶ προνοοῦσι, καὶ καλῶς καὶ δικαίως τὰ πάντα κατευθύνουσιν.

11. Ὅμηρος, Ὀδύσ. ω 351.

Ζεῦ πάτερ, ἦ ῥα ἔτ' ἔστε θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
εἰ ἐτεὸν μνηστῆρες ἀτάσθαλον ὕβριν ἔτισαν.

12. Ἀριστοτέλης, Μετὰ τὰ φυσικὰ 1072, 6, 28-1073, α, 6.

Φαμὲν δὲ τὸν θεὸν εἶναι ζῶον ἀίδιον ἄριστον, ὥστε ζωὴ καὶ αἰὼν συνεχὴς καὶ ἀίδιος ὑπάρχει τῷ θεῷ· τοῦτο γὰρ ὁ θεός . . οὐσία τις ἀίδιος καὶ ἀκίνητος καὶ κεχωρισμένη τῶν αἰσθητῶν . . ἀμερὴς καὶ ἀδιαίρετος. 1)

6'. Τὸ πᾶν ὁ Θεός.

Ὁ Θεὸς εἶνε ἡ ἀρχὴ καὶ τὸ τέλος, ὁ πληρῶν καὶ τὸ νῦν καὶ τὸ παρελθόν καὶ τὸ μέλλον. Τὸ πᾶν εἶνε αὐτός· ἡ ἀρχή, ἡ τελευτὴ καὶ τὰ μέσα ἁπάντων τῶν ὄντων.

1. Ἰωάννης, Ἀποκάλυψις 1, 8.

Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ἀρχὴ καὶ τέλος, λέγει ὁ Κύριος, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.

2. Σιρὰχ 43, 5. 28.

Μέγας ὁ Κύριος . . τὸ πᾶν ἐστιν αὐτός.

3. Πλούταρχος, περὶ Ἴσιδος καὶ Ὀσίριδος 354 C.

Ἐγώ εἰμι πᾶν τὸ γεγονὸς καὶ ὂν καὶ ἐσόμενον.

1) Ἔτι Ἔξοδος 3, 14.—*Δευτερονόμιον* 32, 39.—*Βασιλειῶν* Β' 7, 28.—*Παραλειπομένων* Α' 17, 26. Β' 20, 6.—*Ἡσαΐας* 37, 20. 41, 4. 44, 6. 46, 4.—*Ἱερεμίας* 1, 6. 14, 13. 39, 17.—*Ἰεζεκιὴλ* 34, 11.—*Μακκαβαίων* Α' 4, 11.—*Σοφία Σολομῶντος* 13, 1 καὶ ἑξ.—*Σιρὰχ* 42, 21.=*Πλάτων*, Νόμοι 885 E. 886 E. 887 B. 889 C. 890 D. 893 B καὶ ἑξ. 899 D. 901 C καὶ D. 905 D. 907 B. Πολιτεία 365 E καὶ ἑξ.—*Ἀριστοτέλης*, ἀπόσπ. 12. 13. 14, σ. 1475, 6, 36. 1476, α, 11 καὶ ἑξ.—*Σέξτος ὁ Ἐμπειρικός*, πρὸς Φυσικοὺς Α 60-138 (ἐκδ. Bekker, σελ. 405, στίχ. 20 μέχρι τῆς σελ. 421, στίχ. 10).—*Ἀρριανός*, Ἐπικτήτου διατριβαί 3, 26, 28.—*Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 31 (Dübner, σελ. 95, στίχ. 31).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4. Πίνδαρος, ἀπόσπ. 140.

Τί θεός; ὅ τι; τὸ πᾶν.

5. Πλάτων, Νόμοι 715 Ε.

Θεὸς.. ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχει. 1)

γ'. Εἷς ὁ Θεός.

Εἷς ὁ Θεός, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν. Εἷς ὁ Θεός, αὐτογενής, ἑνὸς δὲ ἔκγονα πάντα. Καίτοι πολυώνυμος παρὰ τοῖς διαφόροις ἔθνεσιν, ἐν τούτοις μόνον εἷς εἶνε ὁ Θεός.

1. Παῦλος, πρὸς Κορινθίους Α' 8, 6.

Ἡμῖν εἷς Θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν.

2. Μάρκος 12, 32.

Εἷς ἐστὶ Θεός, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ.

3. Παῦλος, πρὸς Ῥωμαίους 3, 29.

Ἰουδαίων ὁ Θεὸς μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν; ναί, καὶ ἐθνῶν· ἐπείπερ εἷς ὁ Θεός.

4. Ἔξοδος 20, 2.

Ἐγώ εἰμι Κύριος ὁ Θεός σου . . Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ.

5. Δευτερονόμιον 6, 4.

Ἄκουε Ἰσραήλ, Κύριος ὁ Θεὸς ἡμῶν, Κύριος εἷς ἐστι.

6. Ὀρφικά, ἀπ. 1, στίχ. 8 καὶ 13 (Mullach 1, 166).

Εἷς ἔστ', αὐτογενής, ἑνὸς ἔκγονα πάντα τέτυκται . .
οὐδέ τις ἔσθ' ἕτερος χωρὶς μεγάλου βασιλῆος.

1) Ἔτι *Δευτερονόμιον* 32, 39. — *Ἰωάννου Ἀποκάλυψις* 21, 6. 22, 13. — *Ἡσαΐας* 41, 4. 44, 6. = *Ὀρφικά*, ἀπ. 6, στίχ. 40 καὶ ἑξ. (Mullach 1, 169). — *Ἀριστοτέλης*, περὶ κόσμου πρὸς Ἀλέξανδρον 401, α, 12-6, 29.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

7. Ξενοφάνης, Ἐπέων καὶ ἀποφθεγμάτων λείψανα, στίχ. 1, (Mullach 1, 101 α').

Εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος,
οὔτε δέμας θνητοῖσιν ὁμοίιος οὔτε νόημα.

8. Σοφοκλῆς, παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ 1).

Εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶν Θεός,
ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν μακρήν,
πόντου τε χαροπὸν οἶδμα, κἀνέμων βίας.

9. Μάξιμος ὁ Τύριος, λόγ. 17, 5.

Θεὸς εἷς πάντων βασιλεύς, καὶ πατήρ.

10. Ἀριστοτέλης, Περὶ κόσμου πρὸς Ἀλέξανδρον 401, α, 12 καὶ ἑξῆς.

Ὁ θεὸς — εἷς ὢν πολυώνυμός ἐστι, κατονομαζόμενος τοῖς πάθεσι πᾶσιν ἅπερ αὐτὸς νεοχμοῖ. Καλοῦμεν δὲ αὐτὸν Ζῆνα καὶ Δία . . ὡς ἂν εἰ λέγοιμεν δι' ὃν ζῶμεν. Κρόνου δὲ παῖς καὶ χρόνου λέγεται διήκων ἐξ αἰῶνος ἀτέρμονος εἰς ἕτερον αἰῶνα· ἀστραπαῖός τε καὶ βρονταῖος καὶ αἴθριος καὶ αἰθέριος κεραύνιός τε καὶ ὑέτιος . . καλεῖται. καὶ μὴν ἐπικάρπιος . . πολιεύς . . γενέθλιός τε καὶ ἕρκειος καὶ ὁμόγνιος καὶ πάτριος . . ἑταιρεῖός τε καὶ φίλιος καὶ ξένιος καὶ στράτιος καὶ τραπαιοῦχος καθάρσιός τε καὶ παλαμναῖος καὶ ἱκέσιος καὶ μειλίχιος . . σωτήρ τε καὶ ἐλευθέριος ἐτύμως, ὡς δὲ τὸ πᾶν εἰπεῖν, οὐράνιός τε καὶ χθόνιος, πάσης ἐπώνυμος ὢν φύσεώς τε καὶ τύχης ἅτε πάντων αὐτὸς αἴτιος . . οἶμαι δὲ καὶ τὴν ἀνάγκην οὐκ ἄλλο τι λέγεσθαι πλὴν τοῦτον, οἱονεὶ ἀνίκητον οὐσίαν ὄντα, εἱμαρμένην . . πεπρωμένην . . Νέμεσιν . . Ἀδράστειαν . . τά τε περὶ τὰς μοίρας καὶ τὸν ἄρρακτον εἰς τοῦτό πως νεύει . . ταῦτα δὲ πάντα ἐστὶν οὐκ ἄλλο τι πλὴν ὁ θεός. 2)

---

1) Κλήμης ὁ Ἀλεξανδρεύς, Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 7 (ἔκδ. Potter, σελ. 63). Στρωματεῖς 5, 14 (ἔκδ. Potter, σελ. 717).

2) Ἔτι Ἔξοδος 8, 10. — Δευτερονόμιον 4, 35. 39. 32, 39. — Ἰησοῦς Ναυῆ 2, 11. — Βασιλειῶν Α' 2, 2. Β' 7, 22. Γ' 8, 60. Δ' 19, 15. 19. — Παραλειπομένων Α' 17, 20. — Νεεμίας 9, 6. — Ἐσθὴρ 4, 17. — Ἡσαΐας 37, 20. 41, 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δ'. Ἄναρχος, ἀτελεύτητος, ἀγένητος, ἀνώλεθρος, ἄφθαρτος, ἄφθιτος, ἄχρονος, ἀΐδιος, αἰώνιος, ἀγήρως, ἀθάνατος ὁ Θεὸς

Ὁ Θεὸς εἶνε αἰώνιος, ἄφθαρτος, μήτε ἀρχὴν ἔχων μήτε τελευτήν, ἀγένητος, ἀνώλεθρος. Διὰ τὸν Θεὸν παρελθὸν καὶ μέλλον δὲν ὑπάρχει· δι' αὐτὸν σύμπας ὁ χρόνος εἶνε νῦν. Μόνον ὁ Θεὸς δὲν γηράσκει, μόνον αὐτὸς δὲν ἀποθνήσκει. Εἶνε ζωὴ διηνεκής, εἶνε ἀθάνατος.

1. Ἡσαΐας 40, 26-28.

Ἀναβλέψατε εἰς τὸ ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε, τίς κατέδειξε πάντα ταῦτα; Καὶ νῦν οὐκ ἔγνως; εἰ μὴ ἤκουσας; Θεὸς αἰώνιος, Θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς.

2. Ἰὼβ 33, 12.

Αἰώνιος γάρ ἐστιν ὁ ἐπάνω βροτῶν.

3. Παῦλος, πρὸς Τιμόθεον Α'. 1, 17.

Τῷ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

4. Παῦλος, ἔνθ. ἀνωτ. 6, 17.

Θεὸς . . ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον.

5. Διογένης Λαέρτιος 1, 1, 36.

Θαλῆς ἐρωτηθεὶς . . τί τὸ θεῖον, «τὸ μήτε ἀρχὴν ἔχον μήτε τελευτήν», ἔφη.

6. Παρμενίδης, Ἐπέων λείψανα, στίχ. 58-62 (Mullach, 1, 120 α).

Ἔστιν· ταύτῃ δ' ἐπὶ σήματ' ἔασι
πολλὰ μάλ' ὡς ἀγένητον ἐὸν καὶ ἀνώλεθρόν ἐστιν,

43, 10. 44, 6 καὶ 8. 45, 5-7 καὶ 15-22. 46, 9. 48, 12. — *Σιρὰχ* 18, 2. — *Ἰωὴλ* 2, 27. — *Παῦλος*, πρὸς Τιμόθεον Α' 2, 5. Πρὸς Ἐφεσίους 4, 6. Πρὸς Κορινθίους Α'. 8, 4. — *Ἀποκάλυψις* 1, 17. = *Ἀριστοτέλης*, Μετὰ τὰ φυσικὰ 986, 6, 24. — *Πλούταρχος*, Ὅτι παραδοξότερα οἱ Στωϊκοὶ κτλ. 1065 Β. Περὶ τοῦ Ε τοῦ ἐν Δελφοῖς 393 Α καὶ Β. — *Ὀρφικά*, ἀπ. 2, στίχ. 10 (Mullach 1, 166, 6). ἀπ. 4, στίχ. 3 (Mullach 1, 168). — *Εὐσέβιος*, Προπαρασκευὴ Εὐαγγελικὴ 3, 13, 22, σελ. 111 d. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 1, 19, 5, 14. 6, 15 (ἔκδ. Potter, σελ. 373. 714. 809).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὖλον, μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀτέλεστον·
οὔποτ' ἔην οὐδ' ἔσται, ἐπεὶ νῦν ἔστιν ὁμοῦ πᾶν,
ἓν ξυνεχές.

7. Ἀντίπατρος ὁ Ταρσεὺς παρὰ Πλουτάρχῳ (Ἠθικ. 1051F).

Θεὸν τοίνυν νοοῦμεν ζῷον μακάριον καὶ ἄφθαρτον . . καὶ μὴν ἀφθάρτους αὐτοὺς ἡγοῦνται πάντες.

8. Χρίσιππος παρὰ Πλουτάρχῳ (Ἠθικὰ 1052 A).

Ὁ Ζεὺς ἀΐδιός ἐστιν.

9. Ἀριστοτέλης, περὶ Κόσμου κτλ. 401, α, 16.

Ὁ Θεός . . διήκων ἐξ αἰῶνος ἀτέρμονος εἰς ἕτερον αἰῶνα.

10. Πλούταρχος, περὶ τῶν ἀρεσκόντων φιλοσόφοις κτλ. 881 C.

Ὁ Θεὸς αἰώνιος.

11. Σοφοκλῆς, Οἰδίπους ἐπὶ Κολωνῷ 607.

Ὦ φίλτατ' Αἰγέως παῖ, μόνοις οὐ γίγνεται
θεοῖσι γῆρας οὐδὲ κατθανεῖν ποτε,
τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος.

12. Ἀριστοτέλης, περὶ Οὐρανοῦ 286, α, 9.

Θεοῦ ἐνέργεια ἀθανασία· τοῦτο δ' ἐστὶ ζωὴ ἀΐδιος.

13. Κλήμης ὁ Ἀλεξανδρεύς, ἀπ. 10 (ἔκδ. Potter, σελ. 1007).

Οὐσία ἐστὶν ἐπὶ Θεοῦ. Θεὸς οὐσία θεία ἐστίν, ἀΐδιόν τι καὶ ἄναρχον, ἀσώματόν τε καὶ ἀπερίγραφον, καὶ τῶν ὄντων αἴτιον 1).

---

1) Ἔτι *Ἔξοδος* 15, 18.— *Δευτερονόμιον* 32, 40.— *Ἰὼβ* 34, 17.— *Τωβὶτ* 13, 1. *Μακκαβαίων Γ'*. 6, 12. — *Βαρούχ* 4, 8. 11. 15. 22. — *Σιρὰχ* 18, 1. 36, 17. 42, 21. — *Ἡσαΐας* 26, 4. 48, 12. — *Ἱερεμίας* 10, 10. — *Θρῆνοι* 5, 19. — *Δανιὴλ*, ὅρασις α'. 42. 3, 33. 4, 31. 6,26. — *ἀθάνατος*, *ἀΐδιος*: *Ὅμηρος*, Ὀδύσ. α 67. ψ 280.—*Πίνδαρος*, Πυθιονικῶν 3, 100. Ὀλυμπιονικῶν 7, 55.—*Ὀρφικά*, ἀπ. 2, στίχ. 9 (Mullach 1, 166).—*Πλάτων*, Φαίδων 80 B. 106 D.—*Ἀριστοτέλης*, περὶ Οὐρανοῦ 270, 6, 9. 284, α, 12. Τοπικὰ 128, 6, 19. — *Κλεάνθης*, ὕμνος εἰς Δία, στίχ. 1 (Mullach 1, 151). — *Διογένης* Λαέρτιος 7, 1, 147.— *αἰώνιος*: *Ὅμηρος*, Ἰλ. Α 290. Ὀδύσ. α 263. 378. μ 371. 377.—*Ἡσίοδος*, Χείρωνος Ὑποθῆκ. ἀπ. 80, (ἔκδ. Schömann).—*Ἀριστοτέλης*, περὶ Κόσμου κτλ. 401, α, 16.—*Ξενοφῶν*, Κύρου Παιδεία

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ε'. Ἀγαθὸς ὁ Θεός.

Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός—Γέρας τοῦ Θεοῦ εἶνε ἡ τελειότης ἐν τῷ ἀγαθῷ. παρὰ τοῖς ἀνθρώποις ἡ τελεία ἀγαθότης εἶνε ἀνέφικτος. Πάντων τῶν ὄντων ἀρχὴ καὶ πηγὴ τὸ Ἀγαθόν· Ἀγαθὸν δὲ καὶ ἓν καὶ ἀρχὴ καὶ Θεὸς εἶνε ἓν καὶ τὸ αὐτό. Ὁ Θεὸς ἔχει τὴν ἀγαθωτάτην βούλησιν, δυνάμενος δὲ καὶ τὰ πάντα, ἀγαθύνει πάντα, καθόσον ἕκαστον δύναται νὰ μετάσχῃ τῆς αὐτοῦ ἀγαθότητος,

1. Λουκᾶς 18, 19.

Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς, ὁ Θεός.

2. Πλάτων, Πρωταγόρας 344 C.

Εἶναι ἄνδρα ἀγαθόν . . ἀδύνατον καὶ οὐκ ἀνθρώπειον, ἀλλὰ θεὸς ἂν μόνος τοῦτο ἔχοι τὸ γέρας.

3. Πλάτων, Φαῖδρος 246 D.

Τὸ . . θεῖον καλόν, σοφόν, ἀγαθὸν καί πᾶν ὅ τι τοιοῦτον.

4. Πλάτων, Τίμαιος 29 D καὶ ἑξ.

Λέγωμεν δὴ δι' ἣν τινα αἰτίαν γένεσιν καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς ξυνέστησεν. ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος· τούτου δ' ἐκτὸς ὢν πάντα ὅ τι μάλιστα γενέσθαι ἐβουλήθη παραπλήσια ἑαυτῷ.

5. Σιμπλίκιος, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 1 (Dübner, σελ. 5, στίχ. 4 καὶ 12).

Πάντων τῶν ὄντων πηγὴ καὶ ἀρχὴ τὸ Ἀγαθόν ἐστιν—Ταὐτὸν γάρ ἐστιν ἕν, καὶ ἀρχὴ καὶ ἀγαθὸν καὶ Θεός.

6. Αὐτόθ. κεφ. 15, σελ. 67, στίχ. 12.

Ὁ γὰρ θεός .. ἔχει .. βούλησιν τὴν ἀγαθωτάτην· ἀγαθὰ μὲν πάντα, φαῦλον δὲ μηδὲν εἶναι βουληθείς, ἐφ' ὅσον δυνατόν ἐστιν· παρισουμέ-

8, 7, 22. — *Τιμαίω Λοκρῶ*, περὶ ψυχᾶς κόσμου καὶ φύσιος 96 C. — *ἀΐδιος*: *Πλάτων*, Τίμαιος 37 C. — *Ἀριστοτέλης*, περὶ Οὐρανοῦ 286, α, 9. Φυσικῆς ἀκροάσεως 259, α, 14.— Μετὰ τὰ φυσικὰ 1072, 6, 29.— *Ἐπίκουρος* παρ' Ὠριγένει, κατὰ πασῶν αἱρέσεων ἔλεγχος, βιβλ. Α'. 60 (ἔκδ. Emm. Miller, Oxonii 1851, σελ. 27).— *ἀγήρως*: *Σοφοκλῆς*, Ἀντιγόνη 608. — *ἄφθαρτος*: *Πορφύριος*, πρὸς Μάρκελλαν 17.—*ἄφθιτος*: *Πίνδαρος*, Πυθιον. 4, 291. — *ἄχρονος*: *Πλούταρχος*, Περὶ τοῦ Ε τοῦ ἐν Δελφοῖς 393 A καὶ ἑξ.—*Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 5, 14 (Potter, σελ. 733).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὑης δὲ τῇ βουλήσει τῆς δυνάμεως αὐτοῦ, πάντα ἀγαθύνει, καθόσον ἑκάστῳ μετέχειν δυνατόν ἐστι τῆς αὐτοῦ ἀγαθότητος. 1)

ς'. Ὑπερούσιος καὶ ὑπεράγαθος ὁ Θεός.

Εἰς τὴν ἰδέαν τοῦ ἀγαθοῦ ἀποκορυφοῦται πᾶν τὸ γνωστόν. Ἡ ἰδέα αὕτη κειμένη ὑψηλότατα μόλις ὁρᾶται· ἀλλὰ καὶ ἀμυδρότατα ὁρωμένη φαίνεται οὐχ ἧττον ὅτι πάντων τῶν ἔν τε τῷ ὁρατῷ καὶ τῷ νοητῷ κόσμῳ ὀρθῶν καὶ καλῶν αὐτὴ εἶνε ἡ αἰτία. Αὐτὴ δηλ. εἶνε ἡ αἰτία τοῦ φωτός, τῆς ἀληθείας καὶ τοῦ νοῦ· τὰ τρία ταῦτα καίτοι τὰ τιμιώτατα τῶν ἐν τῷ κόσμῳ, οὐχ ἧττον εἶνε πολὺ ὑποδεέστερα τοῦ ἀγαθοῦ. Μόνον ἀγαθοειδῆ εἶνε ταῦτα, ἀλλ' ὄχι καὶ ἀγαθά. Τὸ ἀγαθὸν εἶνε πολὺ τιμιώτερον τούτων· τὸ ἀγαθὸν δὲν εἶνε οὐσία, ἀλλὰ πολὺ τῆς οὐσίας τιμιώτερον καὶ δυνατώτερον.—Ἀρετὴ τοῦ Θεοῦ δὲν ὑπάρχει, διότι ὁ Θεὸς εἶνε ἀνώτερος τῆς ἀρετῆς. Πρῶτον εἶνε ὁ Θεὸς καὶ ἔπειτα ἡ ἀρετή.—Ὁ Θεὸς εἶνε ἀρχὴ πάντων τῶν ὄντων καὶ αἰτία πρωτίστη καὶ κυριωτάτη αὐτῶν· ἑπομένως πάντων τῶν ὄντων μείζων καὶ ὑπέρτερος ὁ Θεός. Τὰ σεμνότατα δὲ καὶ ἁγιώτατα καὶ πρωτουργὰ καὶ ὀνόματα καὶ πράγματα ἐκ πάντων τῶν ἀγαθῶν, ὅσα γνωρίζομεν, ἀποδίδοντες εἰς αὐτόν, οὐδὲν αὐτοῦ ἄξιον ἀποδίδομεν. Καίπερ δὲ τοιαῦτα ὄντα ἀποδίδομεν αὐτῷ ταῦτα, διότι οὐδὲν τούτων ὑπέρτερον ἔχομεν, ὅπως ἐπαξίως τιμήσωμεν τὴν ὑπερούσιον καὶ ὑπεράγαθον αὐτοῦ οὐσίαν.

1. Πλάτων, Πολιτεία 517 B καὶ 509 A καὶ B.

Ἐν τῷ γνωστῷ τελευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις ὁρᾶσθαι, ὀφθεῖσα δὲ συλλογιστέα εἶναι ὡς ἄρα πᾶσι πάντων αὕτη ὀρθῶν τε καὶ καλῶν αἰτία, ἔν τε ὁρατῷ φῶς καὶ τὸν τούτου κύριον τεκοῦσα, ἔν τε νοητῷ αὐτὴ κυρία ἀλήθειαν καὶ νοῦν παρασχομένη — Ἐπιστήμην δὲ καὶ ἀλήθειαν . . ἀγαθοειδῆ μὲν νομίζειν ταῦτ' ἀμφότερα ὀρθόν, ἀγαθὸν δὲ ἡγεῖσθαι ὁπότερον αὐτῶν οὐκ ὀρθόν, ἀλλ' ἔτι μειζόνως τιμητέον τὴν τοῦ ἀγαθοῦ ἕξιν — Καὶ τοῖς γιγνωσκομένοις τοίνυν μὴ μόνον τὸ γιγνώσκεσθαι φάναι ὑπὸ τοῦ ἀγαθοῦ παρεῖναι, ἀλλὰ καὶ τὸ

1) Ἔτι *Σοφία Σολομῶντος* 12, 22.—*Θρῆνοι* 3, 25.— *Νεεμίας* 9, 20. 25. 35.— *Ματθαῖος* 19, 17. = *Πλάτων*, Τίμαιος 29 A. Φαίδων 80 D. Πολιτεία 379 A - 380 D. 517 B. 518 C. 540 A. Νόμοι 887 B. 900 D. 901 E. — *Ἀριστοτέλης*, Ἠθικὰ Μεγάλα 1200, 6, 13 - 15. — *Πλούταρχος*, Περὶ τῶν ἀρεσκόντων κτλ. 881 E.— *Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 8. 27. 31 (ἔκδ. Dübner, σελ. 41, στίχ. 22. σελ. 75, στίχ. 41. σελ. 100, στίχ. 53. σελ. 101, στίχ. 28 καὶ 36. σελ. 102, στίχ. 31).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἶναί τε καὶ τὴν οὐσίαν ὑπ' ἐκείνου αὐτοῖς προσεῖναι, οὐκ οὐσίας ὄντος τοῦ ἀγαθοῦ, ἀλλ' ἔτι ἐπέκεινα τῆς οὐσίας πρεσβείᾳ καὶ δυνάμει ὑπερέχοντος.

2. Ἀριστοτέλης, Ἠθικὰ μεγάλα 1200, 6, 13.

Οὐκ ἔστι θεοῦ ἀρετή· ὁ γὰρ θεὸς βελτίων τῆς ἀρετῆς καὶ οὐ κατ' ἀρετήν ἐστι σπουδαῖος.

3. Πορφύριος, πρὸς Μάρκελλαν 16.

Μέγα οὐδὲν ἄλλο μετὰ θεὸν ἡ ἀρετή. μείζων ἀρετῆς θεός.

4. Σιμπλίκιος, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 31, (Dübner, σελ. 96, στίχ. 4 καὶ 43. σελ. 99, στίχ. 39 καὶ ἑξ.).

Δηλοῖ τὸ ὄνομα — Θεὸς — ἀρχὴν τῶν ὄντων καὶ αἰτίαν νοητὴν πρωτίστην καὶ κυριωτάτην — Ὥστε ἡ αὐθυπόστατά ἐστι τὰ πρῶτα καὶ ἀγένητα αἴτια ἢ κρείττονα τῶν αὐθυποστάτων. — Οὐδὲ γὰρ εὐλαβητέον μὴ κενεμβατῶμεν, μείζονά τινα καὶ ὑπερβαίνοντα τὰς πρώτας ἀρχὰς περὶ αὐτῶν ἐννοοῦντες. Μία γὰρ αὕτη πρὸς θεὸν ἀνάτασις ἀρίστη, καὶ ὡς δυνατὸν ἄπταιστος· τό, ὧν ἐννοῦμεν ἀγαθῶν, τὰ σεμνότατα καὶ ἁγιώτατα καὶ πρωτουργὰ καὶ ὀνόματα καὶ πράγματα αὐτῷ ἀνατιθέντας, εἰδέναι βεβαίως, ὅτι μηδὲν ἀνατεθείκαμεν ἄξιον. Ἀρκεῖ δὲ ἡμῖν εἰς συγγνώμην, τὸ μηδὲν ἔχειν ἐκείνων ὑπέρτερον. 1)

ζ'. Πνεῦμα καὶ νοῦς ὁ Θεός.

Ὁ Θεὸς εἶνε πνεῦμα, ὅ ἐστιν οὐσία ἀσώματος καὶ ἀπερίγραπτος. Ἡ οὐσία τοῦ Θεοῦ εἶνε νοῦς, ἐπιστήμη, λόγος ὀρθός, φρόνησις. Ὁ Θεὸς ἢ νοῦς εἶνε ἤ τι ἀνώτερον τοῦ νοῦ.

1. Ἰωάννης 4, 24.

Πνεῦμα ὁ Θεός.

2. Παῦλος, πρὸς Κορινθίους Β' 3, 17.

Ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν.

1) Ἔτι Σιμπλίκιος, ἔνθ. ἀν. (ἔκδ. Dübner, σελ. 100, στίχ. 53. καὶ σελ. 101, στίχ. 26-30).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3. Κλήμης ὁ Ἀλεξανδρεύς, ἀπ. 17 (ἔκδ. Migne, τόμ. 2, σελ. 769 Β).

Τί Θεός; Θεός ἐστιν, ὡς καὶ ὁ Κύριος λέγει, πνεῦμα. Πνεῦμα δέ ἐστι κυρίως οὐσία ἀσώματος καὶ ἀπερίγραπτος.

4. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 2, 8, 2.

Τίς οὖν οὐσία Θεοῦ; σάρξ; μὴ γένοιτο. Ἀγρός; μὴ γένοιτο. Φήμη; μὴ γένοιτο. Νοῦς, ἐπιστήμη, λόγος ὀρθός; Ναί.

5. Ἀριστοτέλης, ἀπ. 46, σελ. 1483, α, 27.

Ὁ Θεὸς ἢ νοῦς ἐστὶν ἢ ἐπέκεινά τι τοῦ νοῦ.

6. Πλάτων, Φίληβος 30 C.

Ἔστιν . . ἄπειρόν τε ἐν τῷ παντὶ πολύ, καὶ πέρας ἱκανόν, καί τις ἐπ' αὐτοῖς αἰτία οὐ φαύλη, κοσμοῦσά τε καὶ συντάττουσα ἐνιαυτούς τε καὶ ὥρας καὶ μῆνας, σοφία καὶ νοῦς λεγομένη δικαιότατ' ἄν.

7. Διογένης Λαέρτιος 7, 1, 135.

Ζήνων ἔλεγεν — ἕν τ' εἶναι θεὸν καὶ νοῦν 1).

ιγ'. Σοφὸς ὁ Θεός.

Ὁ Θεὸς εἶνε σοφός. Μέγα τι ἡ ἐπίκλησις αὕτη, πρέπουσα δὲ τούτου ἕνεκα μόνῳ τῷ Θεῷ. Πάντων σοφώτατος ὁ Θεός. Οὐδεὶς τοῦ Θεοῦ σοφώτερος.

1. Σιρὰχ 1, 8.

Εἷς ἐστι σοφὸς φοβερὸς σφόδρα, καθήμενος ἐπὶ τοῦ θρόνου αὐτοῦ, Κύριος.

2. Παῦλος, πρὸς Ῥωμαίους 16, 25 καὶ 27.

Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου . . μόνῳ σοφῷ Θεῷ . . δόξα εἰς τοὺς αἰῶνας.

3. Παῦλος, πρὸς Τιμόθεον Α' 1, 17.

Τῷ βασιλεῖ των αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

1) Ἔτι *Πλάτων*, Φίληβος 30 D. — *Πλούταρχος*, περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις κτλ. 881 D καὶ E.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4. Πλάτων, Φαῖδρος 278 D.

Τὸ μὲν σοφὸν..καλεῖν ἔμοιγε μέγα εἶναι δοκεῖ καὶ θεῷ μόνῳ πρέπειν.

5. Πλάτων, Νόμοι 902 E.

Τὸν δὲ θεὸν ὄντα τε σοφώτατον βουλόμενόν τ' ἐπιμελεῖσθαι καὶ δυνάμενον — ἀξιώσωμεν.

6. Τραγικῶν ἀδέσποτα, ἀπ. 282 (Nauck 694).

Ὦ Ζεῦ, τίς εἶναι φησὶ σοῦ σοφώτερος; 1)

θ'. Ἀληθὴς ὁ Θεός.

Ὁ Θεὸς εἶνε πιστός, ἀληθινός, ἁπλοῦς καὶ ἀληθὴς ἔν τε ἔργῳ καὶ ἐν λόγῳ.

1. Ἰωάννης 3, 33.

Ὁ Θεὸς ἀληθής ἐστιν.

2. Μακκαβαίων Γ' 2, 2 καὶ 11.

Κύριε, Κύριε, βασιλεῦ τῶν οὐρανῶν, καὶ δέσποτα πάσης τῆς κτίσεως, ἅγιε ἐν ἁγίοις .. πιστὸς εἶ καὶ ἀληθινός.

3. Σοφία Σολομῶντος 15, 1.

Σὺ δὲ ὁ Θεὸς ἡμῶν χρηστὸς καὶ ἀληθής.

4. Πλάτων, Πολιτεία 382 E.

Κομιδῇ ἄρα ὁ θεὸς ἁπλοῦν καὶ ἀληθὲς ἔν τε ἔργῳ καὶ ἐν λόγῳ 2).

---

1) Ἔτι *Ἡσαΐας* 31, 2.— *Ἰώβ* 9, 4. 11, 20. 12, 13. 26, 3. = *Ὅμηρος*, Ἰλ. N 631.— *Πλάτων*, Φαῖδρος 246 D. Φίληβος 30 C. Παρμενίδης 134 C. Νόμοι 902 E. — *Γαληνός*, περὶ τῶν καθ' Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων, (ἔκδ. Kuhn, τόμ. 5, σελ. 791. ἔκδ. Müller, τόμ. 1, σελ. 811).—*Σόλων*, παρὰ Διογένει τῷ Λαερτίῳ 1, 1, 28. — *Πλούταρχος*, Πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν 23 D. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Παιδαγωγός, βιβλ. 1, κεφ. 10 (ἔκδ. Potter, σελ. 153). — *Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 31 (Dübner, σελ. 102, στίχ. 29).

2) Ἔτι *Ἔξοδος* 34, 7.— *Ἀριθμοὶ* 14, 18.— *Βασιλειῶν* Β' 7, 28. — *Νεεμίας* 9, 33. — *Τωβὶτ* 3, 2. — *Ὁ ἱερεὺς* 8, 86. — *Μακκαβαίων* Γ' 6, 18. — *Ψαλτήριον* 24, 10.— *Ἰωάννης* 8, 26. 17, 17. — *Παῦλος*, πρὸς Τίτον 1, 2. Πρὸς Ῥωμαίους 3, 4.— Πατὴρ τῶν φώτων: *Ἰάκωβος*, Ἐπιστολὴ Καθολικὴ 1, 17.— Φῶς: *Ἰωάννης*, Ἐπιστολὴ Καθολικὴ Α' 1, 6.— *Ἀποκάλυψις* 15, 3.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ι'. Δίκαιος ὁ Θεός.

Πιστὸς καὶ δίκαιος ὁ Θεός. Ποτὲ δὲν εἶνε ἄδικος ὁ Θεός. Ὁ Θεὸς εἶνε ὅσον ἐνδέχεται δικαιότατος.

1. Ἰωάννης, Ἐπιστολὴ καθολικὴ Α' 1, 9.

Πιστός ἐστι καὶ δίκαιος ὁ Θεός.

2. Παῦλος, πρὸς Ἑβραίους 6, 10.

Οὐ γὰρ ἄδικος ὁ Θεός.

3. Βαροὺχ 2, 9.

Δίκαιος Κύριος ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

4. Τωβὶτ 3, 2.

Δίκαιος εἶ, Κύριε . . καὶ κρίσιν ἀληθινὴν καὶ δικαίαν σὺ κρίνεις εἰς τὸν αἰῶνα.

5. Μακκαβαίων Γ' 2, 3.

Σὺ γὰρ εἶ ὁ κτίσας τὰ πάντα, καὶ τῶν ὅλων ἐπικρατῶν δυνάστης δίκαιος εἶ.

6. Πλάτων, Πολιτεία 352 Α.

Δίκαιοι δέ γ' εἰσίν, ὦ φίλε, . . οἱ θεοί.

7. Πλάτων, Θεαίτητος 176 C.

Θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόν τε δικαιότατος. 1)

---

1) Ἔτι *Ἔξοδος* 9, 27. 34, 7. — *Δευτερονόμιον* 32, 4. — *Βασιλειῶν* Α' 2, 2. — *Παραλειπομένων* Β' 12, 6. 19, 7. — *Ἔσδρας* 9, 15. — *Νεεμίας* 9, 9 καὶ 33. — *Ἐσθὴρ* 4, 17. — *Δανιὴλ* 9, 14. — *Ησαΐας* 45, 21. — *Ἱερεμίας* 12, 1. — *Θρῆνοι* 1, 18. — *Σοφονίας* 3, 5. — *Σοφία Σολομῶντος* 12, 15. — *Ἰὼβ* 34, 17. — *Ἰωάννης* 17, 25. — *Παῦλος*, πρὸς Ἑβραίους 6, 10. — *Ἰωάννης*, Ἐπιστολὴ καθολικὴ Α' 2, 29. 3, 7. — *Ἀποκάλυψις Ἰωάννου* 15, 3. 16, 7.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ια΄. Ἄριστος ὁ Θεός.

Κάλλους ἢ ἀρετῆς οὐδαμῶς ὁ Θεός ἐνδεής. Εἶνε ἐξόχως κάλλιστος καὶ ἄριστος εὐθὺς ἐξ ἀρχῆς, καὶ ἐνδελεχῶς εἰς πάντα τὸν αἰῶνα τοιοῦτος ἀείποτε διαμένει. Ἐν τοῖς οὖσιν ἄλλο ἄλλου εἶνε βέλτιον· τὸ δ' ἄριστον πάντων εἶνε ὁ Θεός. Πάντων ἀκρότατον ὁ Θεός.

1. Πλάτων, Πολιτεία 381 Β καὶ C.

Ὁ θεός γε καὶ τὰ τοῦ θεοῦ πάντῃ ἄριστα ἔχει . . οὐ γάρ που ἐνδεᾶ γε φήσομεν τὸν θεὸν κάλλους ἢ ἀρετῆς εἶναι . . ἀλλ', ὡς ἔοικε, κάλλιστος καὶ ἄριστος ὢν εἰς τὸ δυνατόν . . μένει ἀεὶ ἁπλῶς ἐν τῇ αὑτοῦ μορφῇ.

2. Ἀριστοτέλης, Μετὰ τὰ φυσικὰ 1072, 6, 28.

Φαμὲν δὲ τὸν θεὸν εἶναι ζῷον ἀίδιον ἄριστον, ὥστε ζωὴ καὶ αἰὼν συνεχὴς καὶ ἀίδιος ὑπάρχει τῷ θεῷ· τοῦτο γὰρ ὁ θεός.

3. Ἀριστοτέλης, ἀπ. 15, σελ. 1476, 6, 22.

Καθόλου γὰρ ἐν οἷς ἐστί τι τὸ βέλτιον, ἐν τούτοις ἐστί τι καὶ ἄριστον. ἐπεὶ οὖν ἐστὶν ἐν τοῖς οὖσιν ἄλλο ἄλλου βέλτιον, ἔστιν ἄρα τι καὶ ἄριστον, ὅπερ εἴη ἂν τὸ θεῖον.

4. Σιμπλίκιος, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 16 (Dübner, σελ. 54, στίχ. 3).

Τὸ γὰρ πανταχοῦ ἄκρον, θεῖον, ὅτι πάντων ἀκρότατον θεός. 1).

ιϐ΄. Τέλειος ὁ Θεός.

Ὁ Θεὸς τέλειος. Ὁ Θεὸς τελεώτατος καὶ αὐταρκέστατος.

1. Ματθαῖος 5, 48.

Ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι.

2. Διογένης Λαέρτιος 7, 147.

Ζήνων ἀναγράφει ἐν τῷ περὶ τοῦ ὅλου . . Θεὸν εἶναι ζῷον ἀθάνα-

1) Ἔτι *Πλάτων*, Νόμοι 901 Ε. 902 C.—*Κλεάνθης* παρὰ Σέξτῳ τῷ Ἐμπειρικῷ πρὸς Φυσικοὺς Α΄. 88-91 (Bekker, σελ. 411, στίχ. 11 μέχρι σελ. 412, 5).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τον, λογικόν, τέλειον ἢ νοερὸν ἐν εὐδαιμονίᾳ, κακοῦ παντὸς ἀνεπίδεκτον.

3. Μάξιμος ὁ Τύριος 38, 6.

Τὸ θεῖον τελεώτατον καὶ αὐταρκέστατον. 1)

ιγ'. Δημιουργὸς τοῦ κόσμου ὁ Θεός.

Ὁ Θεὸς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὸν κόσμον αὐτῶν. Ὁ Θεὸς ἐθεμελίωσε τὴν γῆν καὶ ἔργα τῶν χειρῶν αὐτοῦ εἶνε οἱ οὐρανοί. Αὐτὸς εἶπε καὶ ἐγεννήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. Αὐτὸς ἐθεμελίωσε τὴν γῆν, αὐτὸς τὰ ἄστρα, αὐτὸς τὴν θάλασσαν, τὰ νέφη, τὴν ὁμίχλην, τὸ πρωϊνὸν φέγγος, τὰ ζῶα, τὸν ὑετόν, τὴν δρόσον, τὸν κρύσταλλον, τὴν πάχνην, τὴν ἄβυσσον, τὰς Πλειάδας, τὸν Ὠρίωνα, τὸ κοῖλον τοῦ οὐρανοῦ, αὐτὸς τὴν ἀκολουθίαν καὶ τὴν συναρμογὴν πάντων τούτων. Τοῦδε τοῦ παντὸς καὶ τῆσδε τῆς περικαλλοῦς διακοσμήσεως αὐτοῦ ὁ θεὸς εἶνε ποιητὴς καὶ πατήρ. Δημιουργήματα αὐτοῦ ἐκ τοῦ μὴ ὄντος εἶνε πάντα, καὶ ζῶα καὶ φυτὰ καὶ ἄψυχα σώματα τηκτά τε καὶ ἄτηκτα· αὐτοῦ ἔργα εἶνε ὁ ἥλιος, οἱ καρποί, αἱ ὧραι, ἡ πρὸς ἄλληλα συμπλοκὴ τούτων καὶ κοινωνία. Ὅλος ὁ κόσμος αὐτοῦ ἔργον εἶνε. Τὸ βούλημα αὐτοῦ κοσμοποιία, ψιλῷ τῷ βούλεσθαι δημιουργεῖ, τῷ μόνον ἐθελῆσαι αὐτὸν ἔπεται τὸ γεγενῆσθαι, ὁ λόγος αὐτοῦ ἔργον. Ἡ γῆ καὶ ὅσα γῆς θρέμματα, ἡ θάλασσα καὶ ὅσα θαλάσσης γεννήματα, ὁ ἀὴρ καὶ ὅσα ἀέρος φορήματα, ὁ οὐρανὸς καὶ ὅσα ἐν οὐρανῷ κινήματα ἅμα τῷ νεύματι τοῦ θεοῦ ἐγένοντο. Ἱερὸν ἀγιώτατον καὶ θεοπρεπέστατον ὁ κόσμος. Τὰ ἐν αὐτῷ ἀντικείμενα εἶνε αἰσθητὰ μιμήματα πρωτοτύπων νοητῶν, ἔχοντα ἐν ἑαυτοῖς ἔμφυτον τὴν ἀρχὴν τῆς ζωῆς καὶ τῆς κινήσεως καὶ ὄχι ἀγάλματα χειρόκμητα καὶ ἀκίνητα. Ὁ ἥλιος, ἡ σελήνη, τὰ ἄστρα, οἱ ποταμοί, ἡ γῆ, ἡ ἀναπέμπουσα διά τε τὰ φυτὰ καὶ τὰ ζῶα τροφάς, ζῶντα καὶ ἐξ ἰδίας ὁρμῆς κινούμενα πάντα εἶνε πάγκαλα δημιουργήματα τοῦ ἁγίου Θεοῦ.

1. Γένεσις 1, 1. 2, 1-2.

Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν — Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν.

2. Ψαλτήριον 101, 26.

Σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί.

1) Ἔτι *Ἀριστοτέλης*, Ἠθικὰ μεγάλα 1212, 6, 38. Ἀπόσπ. 15, σ. 1476, 6, 16 καὶ ἑξ. — *Κλεάνθης*, παρὰ Σέξτῳ τῷ Ἐμπειρικῷ, πρὸς Φυσικοὺς Α'. 88-91 (ἔκδ. Bekker, σελ. 411, στίχ. 11 μέχρι σελ. 412, στίχ. 5). Καὶ ἀπόσπ. τοῦ Κλεάνθους παρὰ Mullach 1, 153.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3. Ἡσαΐας 66, 1 καὶ 2.

Οὕτως λέγει Κύριος· ὁ οὐρανός μου θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου . . πάντα γὰρ ταῦτα ἐποίησεν ἡ χείρ μου, καὶ ἔστι ἐμὰ πάντα ταῦτα, λέγει Κύριος.

4. Ψαλτήριον 32, 8.

Αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

5. Ἰὼβ 38, 1 καὶ ἑξ.

Εἶπεν ὁ Κύριος τῷ Ἰώβ : .Ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι. Ποῦ ἦσθα ὅτι ἐθεμελίωσα τὴν γῆν; Τίς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας, ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ' αὐτῆς; Ἐπὶ τίνος δὲ οἱ κρίκοι αὐτῆς πεπήγασι; Τίς δέ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον αὐτῆς; Ὅτε ἐγενήθη ἄστρα, ἤνεσάν με ἐν φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου. Ἔφραξα δὲ θάλασσαν πύλαις, ὅτε ἐμαιοῦτο, καὶ ἐκ κοιλίας μητρὸς αὐτῆς ἐξεπορεύτο· ἐθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν, ὁμίχλῃ δὲ αὐτὴν ἐσπαργάνωσα· ἐθέμην δὲ αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα καὶ πύλας· εἶπον δὲ αὐτῇ· μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα. Ἦ ἐπὶ σοῦ συντέταχα φέγγος πρωϊνόν; Ἦ σὺ λαβὼν γῆν πηλὸν ἔπλασας ζῶον; καὶ λαλητὸν αὐτὸ ἔθου ἐπὶ γῆς; . . Τίς ἐστιν ὑετοῦ πατήρ; τίς δέ ἐστιν ὁ τετοκὼς βώλους δρόσου; Ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύεται κρύσταλλος; πάχνην δὲ ἐν οὐρανῷ τίς τέτοκεν; . . πρόσωπον δὲ ἀβύσσου τίς ἔπηξε; . . Δεσμὸν δὲ πλειάδος ἔγνως; ἢ φραγμὸν Ὡρίωνος ἤνοιξας; . . Τίς δὲ . . οὐρανὸν εἰς γῆν ἔκλινε;

6. Ἡσαΐας 42, 5.

Κύριος ὁ Θεός, ὁ ποιήσας τὸν οὐρανόν, καὶ πήξας αὐτόν, ὁ στερεώσας τὴν γῆν, καὶ τὰ ἐν αὐτῇ, καὶ δοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν.

7. Πλάτων, Τίμαιος 28 C. 41 A. 30 B. 37 C.

Τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν — Θεὸς ὁ τόδε τὸ πᾶν γεννήσας . . δημιουργὸς πατήρ τε ἔργων ἃ . . γενόμενα ἄλυτα — Οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα δεῖ λέγειν, τόνδε τὸν κόσμον ζῷον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι πρόνοιαν — Ὡς δὲ κινηθὲν αὐτὸ καὶ ζῶν ἐνόησε τῶν ἀϊδίων θεῶν γε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γονὸς ἄγαλμα ὁ γεννήσας πατήρ, ἠγάσθη τε καὶ εὐφρανθεὶς ἔτι δὴ μᾶλλον ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενόησεν ἀπεργάσασθαι.

8. Πλάτων, Σοφιστὴς 265 C.

Ζῶα δὴ πάντα θνητὰ καὶ φυτά, ὅσα τ' ἐπὶ γῆς ἐκ σπερμάτων καὶ ῥιζῶν φύεται καὶ ὅσα ἄψυχα ἐν γῇ ξυνίσταται σώματα τηκτὰ καὶ ἄτηκτα, μῶν ἄλλου τινὸς ἢ θεοῦ δημιουργοῦντος φήσομεν ὕστερον γίγνεσθαι πρότερον οὐκ ὄντα;

9. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 4, 1, 102.

Τὸν ἥλιον δὲ τίς πεποίηκε; τοὺς καρποὺς δὲ τίς; τὰς δ' ὥρας τίς; τὴν δὲ πρὸς ἀλλήλους συμπλοκὴν καὶ κοινωνίαν τίς;

10. Κλήμης ὁ Ἀλεξανδρεύς, Προτρεπτικὸς πρὸς Ἕλληνας κ. 4 (Potter, σ. 54-55).

Ἀλλ' ἡ μὲν ἀνθρωπεία τέχνη οἰκίας τε καὶ ναῦς καὶ πόλεις καὶ γραφὰς δημιουργεῖ· Θεὸς δὲ πῶς ἂν εἴποιμι ὅσα ποιεῖ; Ὅλον ἴδε τὸν κόσμον· ἐκείνου ἔργον ἐστὶ καὶ οὐρανὸς καὶ ἥλιος· καὶ ἄγγελοι καὶ ἄνθρωποι ἔργα τῶν δακτύλων αὐτοῦ. Ὅση γε ἡ δύναμις τοῦ Θεοῦ! μόνον αὐτοῦ τὸ βούλημα κοσμοποιία· μόνος γὰρ ὁ Θεὸς ἐποίησεν, ἐπεὶ καὶ μόνος ὄντως ἐστὶ Θεός· ψιλῷ τῷ βούλεσθαι δημιουργεῖ, καὶ τῷ μόνον ἐθελῆσαι αὐτὸν ἕπεται τὸ γεγενῆσθαι.

11. Μάξιμος ὁ Τύριος, Λόγ. 41, 2.

Ὁμοῦ δὲ τῷ Διὸς νεύματι γῆ ξυνέστη, καὶ ὅσα γῆς θρέμματα, καὶ θάλασσα ξυνέστη, καὶ ὅσα θαλάττης γεννήματα, καὶ ἀὴρ ξυνέστη, καὶ ὅσα ἀέρος φορήματα, καὶ οὐρανὸς ξυνέστη, καὶ ὅσα ἐν οὐρανοῖς κινήματα. Ταῦτα ἔργα τῶν Διὸς νευμάτων.

12. Κλήμης ὁ Ἀλεξανδρεύς, Στρωματεῖς 5, 14 (Potter, σελ. 707).

Καὶ τὸ σύνολον Πυθαγόρας καὶ Σωκράτης καὶ Πλάτων λέγοντες ἀκούειν φωνῆς Θεοῦ, τὴν κατασκευὴν τῶν ὅλων θεωροῦντες ἀκριβῶς ὑπὸ Θεοῦ γεγονυῖαν, καὶ συνεχομένην ἀδιαλείπτως· ἀκηκόασι γὰρ τοῦ Μωυσέως λέγοντος, Εἶπε καὶ ἐγένετο· τὸν λόγον τοῦ Θεοῦ, ἔργον εἶναι διαγράφοντος.

13. Πλούταρχος, περὶ Εὐθυμίας 477 C καὶ ἑξ.

Ἱερὸν γὰρ ἁγιώτατον ὁ κόσμος ἐστὶ καὶ θεοπρεπέστατον· εἰς δὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦτον ὁ ἄνθρωπος εἰσάγεται διὰ τῆς γενέσεως οὐ χειροκμήτων οὐδ' ἀκινήτων ἀγαλμάτων θεατής, ἀλλ' οἷα νοῦς θεῖος αἰσθητὰ νοητῶν μιμήματα, φησὶν ὁ Πλάτων, ἔμφυτον ἀρχὴν ζωῆς ἔχοντα καὶ κινήσεως ἔφηνεν, ἥλιον καὶ σελήνην καὶ ἄστρα καὶ ποταμοὺς νέον ὕδωρ ἐξιέντας ἀεὶ καὶ γῆν φυτοῖς τε καὶ ζῴοις τροφὰς ἀναπέμπουσαν . . ἃς δ' ὁ θεὸς ἡμῖν ἑορτὰς χορηγεῖ καὶ μυσταγωγεῖ. 1)

ιδ'. Δημιουργὸς τοῦ ἀνθρώπου ὁ Θεός.

Ὁ Θεὸς ἐποίησε τὸν ἄνθρωπον κατ' εἰκόνα αὐτοῦ. Χοῦν ἀπὸ τῆς γῆς λαβὼν ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζῶσαν. Αἱ χεῖρες τοῦ Θεοῦ ἐποίησαν καὶ ἔπλασαν τὸν ἄνθρωπον.— Ἀφοῦ ὁ Θεὸς συνεκρότησε τὸ σύμπαν, διεμοίρασε τὰς ψυχὰς εἰς τὰ διάφορα ἄστρα, ἔδειξεν εἰς αὐτὰς τὴν φύσιν τοῦ παντὸς καὶ εἶπεν εἰς αὐτὰς τοὺς νόμους τοὺς ἑκάστῃ εἱμαρμένους, καθ' οὓς ἦτο ἀνάγκη νὰ συντελεσθῇ ποτε γένεσις ἐξ αὐτῶν, ἐξ ἧς θὰ προέκυπτε τὸ θεοσεβέστατον τῶν ζώων ὁ ἄνθρωπος. Ὁ Θεὸς οὐ μόνον ἐπεμελήθη τοῦ σώματος τῶν ἀνθρώπων, προσθέσας ἐπ' ὠφελείᾳ αὐτῶν ἕκαστα, δι' ὧν αἰσθανόμεθα, ἀλλὰ καὶ τὴν ψυχὴν κρατίστην ἐνέφυσεν ἡμῖν. Τὸ σῶμα ἡμῶν ἐκ τῆς αὐτῆς ὕλης γενόμενον, ἐξ ἧς καὶ τὰ λοιπὰ ὄντα, εἶνε ὅμοιον αὐτοῖς· ἀλλ' ὁ τεχνίτης αὐτοῦ ἄριστος ὢν ἐτεχνή-

1) Ἔτι *Γένεσις*, ὅλον τὸ πρῶτον κεφάλ. πρὸς δὲ καὶ 14, 19 καὶ 22. — *Ἔξοδος* 20, 11. 31, 17. — *Βασιλειῶν* Β' 22, 32. Δ' 19, 15. — *Παραλειπομένων* Β' 2, 12. — *Ψαλτήριον* 88, 12. — *Ἰουδείθ* 8, 14. 9, 12. 13, 18. *Ὁ ἱερεὺς* 6, 12. — *Μακκαβαίων* Β' 7, 23. 28. 13, 14. Γ' 2, 3. Δ' 5, 25. 11, 5.— *Βαρούχ* 3, 32.— *Σοφία Σολομῶντος* 9, 1. 9. 11, 18. 13, 3-5. 16, 24.— *Σιρὰχ* 18, 1. 24, 8. 43, 5. 33.— *Παροιμίαι* 3, 19-21. — *Ἡσαΐας* 37, 17. 41, 20. 44, 24. 45, 12. 18. 48, 13. 51, 13. — *Ἱερεμίας* 10, 12. 16. 28, 15. 16. 19. 34, 5. 38, 35. 39, 17. 40, 2. — *Δανιὴλ* 12, 5 (δίς). — *Ὡσηὲ* 13, 4. — *Ἰωᾶς* 1, 9. — *Ζαχαρίας* 12, 1. —*Νεεμίας* 9, 6.— *Ἐσθὴρ* 4, 17.— *Ἰὼβ* 8, 3. 28, 24. 34, 13.— *Ἰωάννης* 1, 3.— *Πράξεις τῶν Ἀποστόλων* 14, 15. 17, 24. — *Παῦλος*, πρὸς Κορινθ. Α' 8, 6. πρὸς Ἑβραίους 1, 10.=*Ἡρόδοτος* 2, 52.— *Πλάτων*, Τίμαιος 30 Β καὶ ἑξ. 69 C. Πολιτικὸς 273 καὶ ἑξ. — *Ἀριστοτέλης*, περὶ κόσμου κτλ. 397, 6, 21. Ἀπόσπ. 13, σελ. 1476, α, 29.— *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 1, 6, 19. 4, 7, 6. — *Πλούταρχος*, Πλατωνικὰ ζητήματα, ζήτημα δεύτερον, κεφ. 1, σελ. 1000 F-1001 C. — *Ζήνων*, παρὰ Διογένει τῷ Λαερτίῳ 7, 1, 147. — *Εὐσέβιος*, Προπαρασκευὴ εὐαγγελικὴ 7, 3, 3, σελ. 302, α. — *Γαληνός*, περὶ τῶν καθ' Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων (Kuhn 5, 791. Müller, τόμ. 1, σελ. 811). — *Σιμπλίκιος*, Ἐξήγησις εἰς Ἐπικτήτου ἐγχειρίδιον κεφ. 31, (ἔκδ. Dübner, σελ. 100, στίχ. 7 καὶ σελ. 102, στίχ. 31).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τευσεν αὐτὸ ἀρχετύπῳ ἑαυτῷ χρώμενος. Ἄγαλμα ἔμψυχον ὁ ἄνθρωπος, ὅπερ οὐδεὶς τῶν συνήθων τεχνητῶν ἠδύνατο νὰ πλάσῃ, εἰμὴ μόνος ὁ τῶν ὅλων δημιουργός, ὁ ἀριστοτέχνης Πατήρ. Ὁ Θεὸς εἶνε ποιητὴς καὶ πατὴρ καὶ κηδεμὼν ἡμῶν.

1. Γένεσις 1, 26 καὶ 27.

Καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν . . Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς.

2. Γένεσις 2, 7.

Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.

3. Ψαλτήριον 118, 73.

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με.

4. Σιρὰχ 17, 1-3.

Κύριος ἔκτισεν ἐκ γῆς ἄνθρωπον . . Καθ' ἑαυτὸν ἐνέδυσεν αὐτοὺς ἰσχύν, καὶ κατ' εἰκόνα ἑαυτοῦ ἐποίησεν αὐτούς.

5. Μαλαχίας 2, 10.

Οὐχὶ Θεὸς εἷς ἔκτισεν ἡμᾶς;

6. Πλάτων, Τίμαιος 41 A. D. E. Νόμοι 902 B.

Ὁ τόδε τὸ πᾶν γεννήσας θεός . . ξυστήσας τὸ πᾶν διεῖλε ψυχὰς ἰσαρίθμους τοῖς ἄστροις, ἕνειμέ θ' ἑκάστην πρὸς ἕκαστον καὶ ἐμβιβάσας ὡς ἐς ὄχημα τὴν τοῦ παντὸς φύσιν ἔδειξε, νόμους τε τοὺς εἱμαρμένους εἶπεν αὐταῖς, ὅτι γένεσις πρώτη μὲν ἔσοιτο τεταγμένη μία πᾶσιν . . δέοι δὲ σπαρείσας αὐτὰς εἰς τὰ προσήκοντα ἑκάστοις ἕκαστα ὄργανα χρόνων φῦναι ζώων τὸ θεοσεβέστατον. — Θεοσεβέστατον αὐτό ἐστι πάντων ζώων ἄνθρωπος.

7. Ξενοφῶν, Ἀπομνημονεύματα 1, 4, 5 καὶ 13.

Οὔκουν δοκεῖ σοι ὁ ἐξ ἀρχῆς ποιῶν ἀνθρώπους ἐπ' ὠφελείᾳ προσθῆναι αὐτοῖς δι' ὧν αἰσθάνονται ἕκαστα; . . οὐ τοίνυν μόνον ἤρκεσε τῷ θεῷ τοῦ σώματος ἐπιμεληθῆναι, ἀλλ', ὅπερ μέγιστόν ἐστι, καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσε.

8. Εὔρυσος ὁ Πυθαγόρειος, ἀπ. 1 (Mullach 2, 112, 6).

Τὸ δὲ σκᾶνος τοῖς λοιποῖς ὅμοιον, οἷα γεγονὸς ἐκ τᾶς αὐτᾶς ὕλας,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὑπὸ τεχνίτα δὲ εἰργασμένον λώστω, ὃς ἐτεχνίτευσεν αὐτὸ ἀρχετύπῳ χρώμενος ἑαυτῷ.

9. Κλήμης ὁ Ἀλεξανδρεύς. Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 10 (Potter, σ. 78).

Ἠκόντων οὖν αὖθις... οἱ μικροτέχναι. Οὐδείς πω τούτων ἔμπνουν εἰκόνα δεδημιούργηκεν, οὐδὲ μὴν ἐκ γῆς μαλθακὴν ἐμάλαξε σάρκα. Τίς ἔτηξε μυελόν; ἢ τίς ἔπηξεν ὀστέα; τίς νεῦρα διέτεινεν; τίς φλέβας ἐφύσησεν; τίς αἷμα ἐνέχεεν ἐν αὐταῖς; ἢ τίς δέρμα περιέτεινεν; ποῦ δ' ἄν τις αὐτῶν ὀφθαλμοὺς ποιήσαι βλέποντας; τίς ἐνεφύσησε ψυχήν; τίς δικαιοσύνην ἐδωρήσατο; τίς ἀθανασίαν ὑπέσχηται; μόνος ἁ τῶν ὅλων δημιουργός, ὁ ἀριστοτέχνης Πατήρ, τοιοῦτον ἄγαλμα ἔμψυχον ἡμᾶς, τὸν ἄνθρωπον, ἔπλασεν.

10. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 1, 9, 7.

Τὸ δὲ τὸν Θεὸν ποιητὴν ἔχειν καὶ πατέρα καὶ κηδεμόνα, οὐκέτι ἡμᾶς ἐξαιρήσεται λυπῶν καὶ φόβων; 1)

ιε'. Προνοητὴς τοῦ κόσμου ὁ Θεός.

Ὁ Θεὸς περιβάλλει τὸν οὐρανὸν ἐν νεφέλαις, ἑτοιμάζει ὑετὸν διὰ τὴν γῆν, ἐξανατέλλει εἰς τὰ ὄρη χόρτον, δι' οὗ τρέφονται τὰ κτήνη καὶ οἱ νεοσσοὶ τῶν πτηνῶν. Τὰ πετεινὰ τοῦ οὐρανοῦ οὔτε σπείρουσιν οὔτε θερίζουσιν οὔτε συνάγουσιν εἰς τὰς ἀποθήκας· ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος τρέφει αὐτά· τὰ δὲ κρίνα τοῦ ἀγροῦ αὐξάνουσιν ἄνευ μόχθων καὶ φροντίδων καὶ ἐν τούτοις τῇ προνοίᾳ τοῦ Θεοῦ περιβάλλονται

1) Ἔτι *Γένεσις* 2, 21-22.—*Δευτερονόμιον* 4, 32. 32, 6. 15. 18.—*Ἰὼβ* 10, 8. —*Μακκαβαίων* Β' 7, 23. 28.— *Σοφία Σολομῶντος* 2, 23. 9, 1. 15, 11.— *Σιρὰχ* 4, 6. 7, 30. 15, 14. 35, 13. 36, 13. 39, 5.— *Ἡσαΐας* 17, 7. 44, 7. 45, 8. 12. 51, 13. — *Ἱερεμίας* 34, 5. — *Ζαχαρίας* 12, 1.— *Ματθαῖος* 19, 4. — *Μάρκος* 10, 6.— *Παῦλος*, πρὸς Κορινθ. Α' 11, 9. πρὸς Ἐφεσίους 4, 24. πρὸς Κολοσσαεῖς 3, 10. πρὸς Τιμόθ. Α' 2, 13.—*Πράξεις τῶν Ἀποστόλων* 17, 26. —*Ἰάκωβος*, Ἐπιστολὴ Καθολικὴ 3, 9. = *Ἡσίοδος*, Ἔργα καὶ Ἡμέραι 60 καὶ ἑξ.— *Ὀρφικά*, ἀπόσπ. 24 (Mullach 1, 178).—*Σιμωνίδης ὁ Ἀμοργῖνος* ἀπ. 7 (Bergk 2, 446-453).—*Πλάτων*, Τίμαιος, 41 Α-47 Ε. 69 C.—*Ξενοφῶν*, Ἀπομνημονεύματα 1, 4, 2 καὶ ἑξ.—*Γαληνός*, περὶ τῶν καθ' Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων (Kuhn 5, 789. Müller 1, 809). — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 5, 14 (ἔκδ. Potter, σελ. 708).—*Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 2, 8, 19. 21. 3, 24, 63. 4, 1, 107.— *Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, Προοίμιον (Dübner, σελ. 1, στίχ. 23).— ἔτι κεφ. 8 (σελ. 35, στίχ. 50).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δι' ἀμφιέσεως πάσης ἀνθρωπίνης λαμπροτέρας. Πάντα τὰ ἐν τῷ κόσμῳ τῇ προνοίᾳ τοῦ Θεοῦ τρέφονται καὶ αὐξάνουσι καὶ εὐδοκιμοῦσιν· ἄνευ ταύτης αὐτοστιγμεὶ πάντα ἀφανίζονται. Αὐτὸς δίδει εἰς πάντα ζωὴν καὶ πνοὴν καὶ πάντα· ἐν αὐτῷ πάντα ζῶσι καὶ κινοῦνται καὶ ὑπάρχουσιν.—Κάλλιστον καὶ ἄριστον τοῦ ἀριστοτέχνου δημιουργοῦ ὁ κόσμος· τῇ προνοίᾳ αὐτοῦ ἐγένετο σύμπας οὗτος ἔν ζῶον ἔμψυχον καὶ ἔννουν. Προνοητικὸς καὶ φιλάνθρωπος ὁ Θεός. Κόσμος εἶνε ἡ τῶν ὅλων τάξις καὶ διακόσμησις, ἡ ὑπὸ τοῦ Θεοῦ καὶ διὰ τοῦ Θεοῦ φυλαττομένη. Ἐκ τοῦ Θεοῦ πάντα ἐγένοντο καὶ διὰ τοῦ Θεοῦ πάντα καὶ συντηροῦνται καὶ διοικοῦνται· ἐρημωθέντα αὐτοῦ οὐδ' ἐπὶ στιγμὴν δύνανται νὰ συντηρηθῶσιν. Ὁ Θεὸς εἶνε προνοητικὸς τοῦ κόσμου καὶ τῶν ἐν τῷ κόσμῳ, διοικουμένων πάντων κατὰ νοῦν καὶ πρόνοιαν. Ὁ Θεὸς προνοεῖ ἡμῶν. Τὸ συμφέρον τῷ ὅλῳ κόσμῳ καὶ ἡ σωτηρία αὐτοῦ πρυτανεύει ἐν τῇ διοικήσει τοῦ παντός· θεία πρόνοια δὲ ἑκαστον τῶν ἐν τῷ κόσμῳ μεταρρυθμίζεται ἑκάστοτε καὶ μετασχηματίζεται πρὸς τὸ καθολικὸν τοῦτο συμφέρον τοῦ σύμπαντος καὶ πρὸς τὴν καθολικὴν ταύτην σωτηρίαν τοῦ ὅλου. Τὰ ποικίλα ὀνόματα καὶ αἱ διάφοροι τιμαὶ αἱ ἀπονεμόμεναι ὑπὸ τῶν διαφόρων λαῶν τῆς γῆς εἰς τὸν λόγον τὸν κοσμοῦντα τὰ σύμπαντα καὶ εἰς τὴν πρόνοιαν τὴν ἐπιτροπεύουσαν τὸν κόσμον καὶ εἰς τὰς δυνάμεις τὰς τεταγμένας πρὸς τὴν συντέλειαν τῶν ἐν αὐτῷ τελουμένων πᾶν ἄλλο ἢ τὴν ποικιλίαν καὶ τὴν διαφορότητα τῶν κοσμοδιοικητικῶν ἀρχῶν ἐμφαίνουσιν. Αὗται εἶνε αἱ αὐταὶ δι' ὅλους τοὺς λαοὺς πολυωνύμως καλούμεναι, ἀπαραλλάκτα ὅπως ὁ αὐτὸς ἥλιος, ἡ αὐτὴ σελήνη, ὁ αὐτὸς οὐρανός, ἡ αὐτὴ γῆ, ἡ αὐτὴ θάλασσα δι' ὅλους τοὺς λαοὺς τῆς γῆς ὑπάρχουσι πολυωνύμως καλούμενα. Ὁ Θεὸς ἄνωθεν ἐπισκοπεῖ καὶ φυλάττει τοὺς ἀνθρώπους καὶ φροντίζει περὶ ἡμῶν ὡς πατὴρ καὶ κηδεμών. Πάντα τὰ ἐν τῷ κόσμῳ εἶνε κτήματα τοῦ Θεοῦ, καὶ περὶ πάντων ὁ Θεὸς ἐπιμελέστατα καὶ ἄριστα φροντίζει· περὶ πάντων μικρῶν καὶ μεγάλων. Οὐδὲν εἶνε αὐτῷ ἀξιοκαταφρόνητον. Καὶ ὑπάρχει Θεὸς καὶ προνοεῖ τῶν ἀνθρώπων. Ἡ πρόνοια τοῦ Θεοῦ δὲν ἐκμηδενίζει τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου οὐδὲ παρακωλύει τὴν αὐτενέργειαν αὐτοῦ, ἀλλὰ τὴν σωτηρίαν τοῦ ὅλου ἔχουσα ὑπ' ὄψιν διὰ νόμων θείων πρὸ τῶν αἰώνων ἔχει ὁρίσῃ τὸ ἑκάστοτε ὑφ' ἑκάστου πρακτέον καὶ φευκτέον, ὁ δὲ ἄνθρωπος εἶνε ἐλεύθερος νὰ πράξῃ κατὰ τοὺς νόμους ἢ παρὰ τοὺς νόμους τούτους. Ἀλλά, κατὰ διάταξιν πάλιν τῆς αὐτῆς θείας προνοίας, ἐὰν πράξῃ κατὰ τοὺς θείους τούτους νόμους, μόνον τότε ἕπεται αὐτῷ βίος ἀγαθός· ἐὰν ὅμως πράξῃ παρὰ τοὺς θείους τούτους νόμους, τότε πάντως ἕπεται αὐτῷ δυστυχία καὶ ὄλεθρος.

1. Ψαλτήριον 146, 7-10.

Ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ· τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν· τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον καὶ διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν.

2. Ματθαῖος 6, 26-31.

Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; . . καταμά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει· λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ, σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι;

3. Ψαλτήριον 103, 24 καὶ 27-31.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας . . Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς καιρόν· δόντος σου αὐτοῖς, συλλέξουσιν· ἀνοίξαντος δέ σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος. Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν· ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

4. Πράξεις τῶν Ἀποστόλων 17, 25.

Ὁ θεὸς . . διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα· ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων . . Ζητεῖν τὸν Κύριον, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν, καίτοι γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα. ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν.

5. Πλάτων, Τίμαιος 30 Β.

Διὰ δὴ τὸν λόγον τόνδε νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι ξυνιστὰς — ὁ ποιητὴς καὶ πατὴρ τοῦδε τοῦ παντὸς — τὸ πᾶν ξυνετεκταίνετο, ὅπως ὅ τι κάλλιστον εἴη κατὰ φύσιν ἄριστόν τε ἔργον ἀπειργασμένος. οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα δεῖ λέγειν, τόνδε τὸν κόσμον ζῶον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι πρόνοιαν.

6. Πλούταρχος, περὶ Στωικῶν ἐναντιωμάτων 1052 Β.

Ἐπίσης ἄτοπος ὁ φθαρτοὺς ἡγούμενος τοὺς θεοὺς τῷ μὴ νομίζοντι προνοητικοὺς εἶναι καὶ φιλανθρώπους.

7. Ἀριστοτέλης, περὶ κόσμου πρὸς Ἀλέξανδρον 391, 6, 11.

Κόσμος ἡ τῶν ὅλων τάξις τε καὶ διακόσμησις, ὑπὸ θεῶν τε καὶ διὰ θεῶν φυλαττομένη.

8. Αὐτόθι 397, 6, 13.

Ἀρχαῖος μὲν οὖν τις λόγος καὶ πάτριός ἐστι πᾶσιν ἀνθρώποις ὡς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐκ θεοῦ πάντα καὶ διὰ θεοῦ ἡμῖν συνέστηκεν, οὐδεμία δὲ φύσις αὐτὴ καθ' ἑαυτήν ἐστιν αὐτάρκης, ἐρημωθεῖσα τῆς ἐκ τούτου σωτηρίας.

9. Διογένης Λαέρτιος 7, 1, 145. 147. 138.

Ζήνων ἀναγράφει ἐν τῷ περὶ τοῦ ὅλου: — Θεὸν εἶναι ζῷον ἀθάνατον, λογικόν, τέλειον ἢ νοερὸν ἐν εὐδαιμονίᾳ, κακοῦ παντὸς ἀνεπίδεκτον, προνοητικὸν κόσμου τε καὶ τῶν ἐν κόσμῳ . . . δημιουργὸν τῶν ὅλων καὶ ὥσπερ πατέρα πάντων — τὸν δὴ κόσμον διοικεῖσθαι κατὰ νοῦν καὶ πρόνοιαν.

10. Ἀρριανός, Ἐπικτήτου διατριβαί 2, 14, 11.

Μαθεῖν δεῖ πρῶτον τοῦτο, ὅτι ἐστὶ θεὸς καὶ προνοεῖ τῶν ὅλων.

11. Διογένης Λαέρτιος 8, 1, 27.

Πυθαγόρας φησὶν — ἀνθρώποις εἶναι πρὸς θεοὺς συγγένειαν . . διὸ καὶ προνοεῖσθαι τὸν θεὸν ἡμῶν.

12. Ἰωάννης ὁ Στοβαῖος, Ἐκλογαί, Φυσικά, κεφ. 21, 6.

Ἔκφαντος ἐκ μὲν τῶν ἀτόμων συνεστάναι τὸν κόσμον, διοικεῖσθαι δὲ ὑπὸ προνοίας.

13. Μάρκος Ἀντωνῖνος, Τῶν εἰς ἑαυτὸν 2, 3.

Τὰ τῶν θεῶν προνοίας μεστά. Τὰ τῆς τύχης οὐκ ἄνευ φύσεως, ἢ συγκλώσεως καὶ ἐπιπλοκῆς τῶν προνοίᾳ διοικουμένων. Πάντα ἐκεῖθεν ῥεῖ· πρόσεστι δὲ τὸ ἀναγκαῖον, καὶ τῷ ὅλῳ κόσμῳ συμφέρον, οὗ μέρος εἶ.

14. Πλούταρχος, περὶ Ἴσιδος καὶ Ὀσίριδος 377 F καὶ ἑξ.

Ὥσπερ ἥλιος καὶ σελήνη καὶ οὐρανὸς καὶ γῆ καὶ θάλασσα κοινὰ πᾶσιν, ὀνομάζεται δ' ἄλλως ὑπ' ἄλλων, οὕτως ἑνὸς λόγου τοῦ ταῦτα κοσμοῦντος καὶ μιᾶς προνοίας ἐπιτροπευούσης καὶ δυνάμεων ὑπουργῶν ἐπὶ πάντα τεταγμένων, ἕτεραι παρ' ἑτέροις κατὰ νόμους γεγόνασι τιμαὶ καὶ προσηγορίαι.

15. Αἰσχύλος, Ἱκέτιδες 381.

Τὸν ὑψόθεν σκοπὸν ἐπισκόπει,
φύλακα πολυπόνων βροτῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

16. Μένανδρος, ἀπόσπ. 752 (Kock 3, 212).

Οὐκ ἄρα φροντίζει τις ἡμῶν ἢ μόνος θεός.

17. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 1, 9, 7.

Τὸ δὲ τὸν θεὸν ποιητὴν ἔχειν καὶ πατέρα καὶ κηδεμόνα, οὐκέτι ἡμᾶς ἐξαιρήσεται λυπῶν καὶ φόβων;

18. Πλάτων, Νόμοι 902 B-C.

Θεῶν γε μὴν κτήματά φαμεν εἶναι πάντα, ὁπόσα θνητὰ ζῶα, ὥνπερ καὶ τὸν οὐρανὸν ὅλον.. Ἤδη τοίνυν σμικρὰ ἢ μεγάλα τις φάτω ταῦτα εἶναι τοῖς θεοῖς· οὐδετέρως γὰρ τοῖς κεκτημένοις ἡμᾶς ἀμελεῖν ἂν εἴη προσῆκον, ἐπιμελεστάτοις γε οὖσι καὶ ἀρίστοις.

19. Ξενοφῶν, Ἀπομνημονεύματα 1, 4, 18.

Τὸ θεῖον . . τοσοῦτον καὶ τοιοῦτόν ἐστιν, ὥσθ' ἅμα πάντα ὁρᾶν καὶ πάντα ἀκούειν καὶ πανταχοῦ παρεῖναι καὶ ἅμα πάντων ἐπιμελεῖσθαι αὐτούς.

20. Μάρκος Ἀντωνῖνος, Τῶν εἰς ἑαυτόν, βιβλ. 2, ια'.

Τὸ δὲ ἐξ ἀνθρώπων ἀπελθεῖν, εἰ μὲν θεοί εἰσιν, οὐδὲν δεινόν· κακῷ γάρ σε οὐκ ἂν περιβάλοιεν· εἰ δὲ ἤτοι οὐκ εἰσίν, ἢ οὐ μέλει αὐτοῖς τῶν ἀνθρωπείων, τί μοι ζῆν ἐν κόσμῳ κενῷ θεῶν, ἢ προνοίας κενῷ; Ἀλλὰ καὶ εἰσί, καὶ μέλει αὐτοῖς τῶν ἀνθρωπείων.

21. Πλωτῖνος, Ἐννεὰς 3, λόγ. 2, κεφ. 9, σελ. 262.

Οὐ γὰρ δὴ οὕτω τὴν πρόνοιαν εἶναι δεῖ, ὥστε μηδὲν ἡμᾶς εἶναι· πάντα δὲ οὔσης προνοίας καὶ μόνης αὐτῆς, οὐδ' ἂν εἴη. Τίνος γὰρ ἂν ἔτι εἴη; ἀλλὰ μόνον ἂν εἴη τὸ θεῖον. Τοῦτο δὲ καὶ νῦν ἐστι, καὶ πρὸς ἄλλο δὲ ἐλήλυθεν, οὐχ ἵνα ἀνέλῃ τὸ ἄλλο, ἀλλ' ἐπιόν τῳ, οἷον ἀνθρώπῳ, ἦν ἐπ' αὐτῷ, τηροῦσα τὸν ἄνθρωπον ὄντα· τοῦτο δέ ἐστι νόμῳ προνοίας ζῶντα· ὃ δή ἐστι πράττοντα ὅσα ὁ νόμος αὐτῆς λέγει. Λέγει δὲ τοῖς μὲν ἀγαθοῖς γενομένοις ἀγαθὸν βίον ἔσεσθαι κἀκεῖθεν καὶ εἰσύστερον, τοῖς δὲ κακοῖς τὰ ἐναντία. 1)

---

1) Ἔτι *Ψαλτήριον* 135, 25. 144, 15 καὶ 16.— *Ἰὼβ* 34, 13-21. 38, 26-27 καὶ 39-41. 39, 3. — *Μακκαβαίων* Γ' 4, 21. 5, 30. Δ' 13, 19. — *Σοφία Σολομῶντος*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ις'. Πανταχοῦ παρὼν ὁ Θεός.

Καὶ εἰς τὸν οὐρανὸν καὶ εἰς τὸν Ἅδην καὶ εἰς τὰ ἔσχατα τῆς θαλάσσης καὶ εἰς τὰ ἔγκατα τῆς γῆς, πανταχοῦ πάρεστιν ὁ Θεός. Μετὰ πάντων συμπαρευρίσκεται καὶ πάντοτε μετὰ πάντων συνυπάρχει καὶ πανταχόθεν ἐξ ἴσου ἀπέχει καὶ συγχρόνως καὶ πανταχοῦ καὶ μετὰ πασῶν αὐτοῦ τῶν θείων δυνάμεων εἶνε παρὼν ὁ Θεός.

1. Ψαλτήριον 138, 5-11.

Κύριε, σὺ ἔγνως πάντα, τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα . . Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ εἶ ἐκεῖ· ἐὰν καταβῶ εἰς τὸν Ἅδην, πάρει· ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.

2. Πλάτων, Νόμοι 904 Ε καὶ ἑξ.

Αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν, ὦ παῖ καὶ νεανίσκε, ἀμελεῖσθαι δοκῶν ὑπὸ θεῶν . . ταύτης τῆς δίκης οὔτε σὺ μή ποτε οὔτε ἄλλος ἀτυχὴς γενόμενος ἐπεύξηται περιγενέσθαι θεῶν· ἣν πασῶν δικῶν διαφερόντως ἔταξαν τε οἱ τάξαντες χρεών τε ἐξευλαβεῖσθαι τὸ παράπαν. οὐ γὰρ ἀμεληθήσει ποτὲ ὑπ' αὐτῆς· οὐχ οὕτω σμικρὸς ὢν δύσῃ κατὰ τὸ τῆς γῆς βάθος, οὐδὲ ὑψηλὸς γενόμενος εἰς τὸν οὐρανὸν ἀναπτήσει, τίσεις δὲ αὐτῶν τὴν προσήκουσαν τιμωρίαν εἴτ' ἐν-

12, 13. 17, 2.= *Ὁμηρος*, Ὀδύσ. ρ 485-487. — *Ἡρόδοτος* 3, 108.— *Σοφοκλῆς*, Τραχίνιαι 823. Οἰδίπους ἐπὶ Κολωνῷ 1180.—*Εὐριπίδης*, Ὀρέστης 1179. Φοίνισσαι 637. — *Πλάτων*, Νόμοι 899 D - 907 C. Ἐπινομὶς 980 D. Πολιτεία 365 E. Τίμαιος 44 C.— *Ἀριστοτέλης*, Ἠθικὰ Νικομάχεια 1179, α, 24.— *Πλωτῖνος*, Ἐννεὰς 3, λόγ. 2, κεφ. 9 (ἔκδ. Dübner, σελ. 124, στίχ. 51 καὶ ἑξ.).—*Ξενοφῶν*, Κύρου Παιδεία 8, 7, 22. Ἀπομνημονεύματα 1, 1, 19. 1, 4, 11-19. 4, 3, 12.—*Πολύβιος* 25, 1, 10. — *Μελανιππίδης*, ἀπόσπ. 6 (Bergk 3, 591). — *Πλούταρχος*, περὶ τοῦ βίου καὶ τῆς ποιήσεως Ὁμήρου, κεφ. 115. Περὶ Στωικῶν ἐναντιωμάτων 1051 E. —*Γαληνός*, περὶ τῶν καθ' Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων (ἔκδ. Kuhn, τόμ. 5, σελ. 784-794. ἔκδ. Müller, τόμ. 1, σελ. 802-814). — *Ὠριγένης*, κατὰ πασῶν αἱρέσεων ἔλεγχος, βιβλ. Α'. (ἔκδ. Miller, σελ. 26). — *Πορφύριος*, πρὸς Μάρκελλαν 16, 22. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 4, 12 (ἔκδ. Potter, σελ. 602). — *Μάρκος Ἀντωνῖνος*, Τῶν εἰς ἑαυτόν, βιβλ. 2, γ'. καὶ ια'.— *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 1, 6, 1-43. 3, 24, 3 καὶ 19 καὶ 113. 3, 26, 28. — *Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 7 (Dübner, σελ. 34, στίχ. 17. σελ. 91, στίχ. 43. σελ. 101, στίχ. 47. σελ. 106, στίχ. 2).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θάδε μένων εἴτε καὶ ἐν Ἅδου διαπορευθεὶς εἴτε καὶ τούτων εἰς ἀγριώτερον ἔτι διακομισθεὶς τόπον.

3. Ξενοφῶν, Ἀπομνημονεύματα 1, 4, 18.

Τὸ θεῖον . . τοσοῦτον καὶ τοιοῦτόν ἐστιν, ὥσθ' ἅμα πάντα ὁρᾶν καὶ πάντα ἀκούειν καὶ πανταχοῦ παρεῖναι καὶ ἅμα πάντων ἐπιμελεῖσθαι αὐτούς.

4. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 1, 14, 9.

Ὁ δὲ θεὸς οὐχ οἷός τ' ἐστὶ πάντα ἐφορᾶν, καὶ πᾶσι συμπαρεῖναι, καὶ ἀπὸ πάντων τινὰ ἴσχειν διάδοσιν;

5. Φιλήμων, ἀπ. 118 (Kock 2, 515).

Θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μὴ . .
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου.

6. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 4, 4, 48.

Ἔτι διαφέρῃ, ποῦ ὢν εὐδαιμονήσεις, ποῦ ὢν ἀρέσεις τῷ θεῷ; Οὐ πανταχόθεν τὸ ἴσον ἀπέχουσιν; οὐ πανταχόθεν ὁμοίως ὁρῶσι τὰ γινόμενα;

7. Σιμπλίκιος, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 31 (Dübner, σελ. 94, στίχ. 9).

Ὁ μὲν γὰρ θεὸς ἅμα πανταχοῦ πάρεστιν ἀεὶ μετὰ πασῶν αὐτοῦ τῶν θείων δυνάμεων. 1)

ιζ'. Παντεπόπτης ὁ Θεός.

Ὅπου καὶ ἂν κρυβῇς ὁ Θεὸς σὲ βλέπει. Ἡ θεία αὐτοῦ οὐσία πληροῖ σύμπαντα τὸν οὐρανὸν καὶ σύμπασαν τὴν γῆν. Ἐξ οὐρανοῦ ὁ Θεὸς ἐπιβλέπει ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν· ὁ πλάσας τὰς καρδίας τῶν ἀνθρώπων ἐννοεῖ καὶ τὰ ἔργα αὐτῶν. Οὐδεὶς κρύπτεται ἀπ' αὐτοῦ· πᾶσαι αἱ ὁδοὶ τῶν ἀνθρώπων φανεραὶ πρόκεινται πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ. Οἱ ὀφθαλμοὶ τοῦ Κυρίου εἶνε μυριοπλασίως φωτεινότεροι τοῦ ἡλίου· βλέπουσι καὶ τὰ μᾶλλον ἀπόκρυφα μέρη. Καὶ πρὶν κτισθῶσι τὰ τοῦ κόσμου ἐγίνωσκεν αὐτὰ καὶ μετὰ τὴν κτίσιν αὐτῶν καθορᾷ αὐτὰ ὁ Κύριος. Γυμνὰ καὶ τετραχηλισμένα τὰ πάντα πρόκεινται πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ. Πάντα βλέπει καὶ

1) Ἔτι Ἀμὼς 9, 2-4.— Ξενοφῶν, Ἀπομνημονεύματα 1, 1, 19. — Κλήμης ὁ Ἀλεξανδρεύς, Στρωματεῖς 7, 7 (ἔκδ. Potter, σελ. 851).— Σιμπλίκιος, ἔνθ. ἀν. (Dübner, σελ. 104, στίχ. 11).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πάντα νοεῖ ὁ Θεός. Πάντα τὰ λεγόγενα ἀκούει καὶ πάντα τὰ πραττόμενα βλέπει· ἀκόμη καὶ τὰ ἐν σιγῇ μελετώμενα καὶ σχεδιαζόμενα δὲν διαφεύγουσιν αὐτόν, ἀκόμη καὶ τὰ μέλλοντα δὲν λανθάνουσιν αὐτόν. Νοῦς ὢν ὁ Θεὸς καὶ ἀρχή, ἐξ ἧς πᾶσα νοητικὴ ἐν τῷ κόσμῳ φύσις ἀποφύεται, καὶ τούτου ἕνεκα εἰς διηνεκῆ ἐπαφὴν μετ' αὐτῶν εὑρισκόμενος, βλέπει πᾶσαν κίνησιν καὶ αἰσθάνεται πᾶν διανόημα αὐτῶν. Συνδεδεμέναι δὲ καὶ συναφεῖς τῷ Θεῷ αἱ ψυχαί, ἅτε μόρια καὶ ἀποσπασμάτια αὐτοῦ οὖσαι, ὀψέποτε κινηθῶσί πως μεταδίδουσι τὴν ἑαυτῶν κίνησιν καὶ εἰς τὸν Θεόν, αἰσθανόμενον αὐτῶν ὡς τινων ἰδίων αὐτοῦ καταστάσεων καὶ παθημάτων. Τοῦτο δ' εἶνε τὸ λεγόμενον ὅτι ὁ Θεὸς πάντα ἐφορᾷ καὶ παντεχοῦ πάρεστιν· ὥστε καὶ αἱ θύραι ἐὰν κλεισθῶσι καὶ σκότος βαθὺ ἐὰν γένηται ἐν τῇ οἰκίᾳ, μὴ ἔχετε τὴν ἰδέαν ὅτι εἶσθε μόνοι. Παντάπασιν· ὁ Θεὸς εἶνε ἔνδον· ὁ Θεός, ὅστις οὐδεμίαν ἀνάγκην φωτὸς ἔχει, ἵνα βλέπῃ τί διανοεῖσθε καὶ τί πράττετε ἐν τῷ σκότει. Παντεπόπτης ὁ Θεός· ἄριστα καθορᾷ πάντα τὰ φύλλα, ὅσα κατὰ τὸ ἔαρ ἀναπέμπει ἡ γῆ, καὶ πάντας τοὺς κόκκους τῆς ἄμμου, ὅσοι εὑρίσκονται εἰς τὰς θαλάσσας καὶ τοὺς ποταμούς, καὶ πάντα, ὅσα μέλλουσι νὰ γείνωσι, καὶ πάντα, ἐξ ὅσων τὰ ἐν τῷ κόσμῳ γιγνόμενα προέρχονται.

1. Ἱερεμίας 23, 23-24.

Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐ Θεὸς πόρρωθεν. Εἰ κρυβήσεται ἄνθρωπος ἐν κρυφαίοις, καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν; φησὶ Κύριος· μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ;

2. Ψαλτήριον 32, 13-16.

Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν· ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν.

3. Ἱερεμίας 16, 17.

Ὅτι οἱ ὀφθαλμοί μου ἐπὶ πάσας τὰς ὁδοὺς αὐτῶν· οὐκ ἐκρύβησαν ἀπὸ προσώπου μου καὶ οὐκ ἐκρύβη τὰ ἀδικήματα αὐτῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου.

4. Σοφία Σιρὰχ 23, 19.

Ὀφθαλμοὶ Κυρίου μυριοπλασίως ἡλίου φωτεινότεροί εἰσιν, ἐπιβλέποντες πάσας ὁδοὺς ἀνθρώπων, καὶ κατανοοῦντες ἀπόκρυφα μέρη· πρινὴ κτισθῆναι τὰ πάντα ἔγνωσται αὐτῷ, οὕτως καὶ μετὰ τὸ τελεσθῆναι καθορᾷ τὰ πάντα.

4. Παῦλος, πρὸς Ἑβραίους 4, 13.

Οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

6. Σοφοκλῆς, Οἰδίπους ἐπὶ Κολωνῷ 1085.

Ἰὼ πάνταρχε θεῶν,
παντόπτα Ζεῦ.

7. Ἡσίοδος, Ἔργα καὶ Ἡμέραι 267.

Πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας
καί νυ τάδ', αἴ κ' ἐθέλῃσ' ἐπιδέρκεται, οὐδέ ἑ λήθει.

8. Κριτίας, ἀπ. 1, Σίσυφος, στίχ. 17 (Nauck, σελ. 598).

Ἔστι δαίμων ἀφθίτῳ θάλλων βίῳ
νόῳ τ' ἀκούων καὶ βλέπων φρονῶν τε καὶ
προσέχων τε ταῦτα καὶ φύσιν θείαν φορῶν,
ὃς πᾶν τὸ λεχθὲν ἐν βροτοῖς ἀκούσεται,
τὸ δρώμενον δὲ πᾶν ἰδεῖν δυνήσεται.
ἐὰν δὲ κἂν σιγῇ τι βουλεύῃς κακόν,
ταῦτ' οὐχὶ λήσει τοὺς θεούς.

9. Ἀριστοτέλης, Περὶ ποιητικῆς 1454, 6, 6.

Ἅπαντα γὰρ ἀποδίδομεν τοῖς θεοῖς ὁρᾶν.

10. Πλάτων, Νόμοι 691 D.

Θεὸς . . τὰ μέλλοντα προορᾷ.

11. Μάρκος Ἀντωνῖνος, Τῶν εἰς ἑαυτὸν 12, 6'.

Ὁ θεὸς πάντα τὰ ἡγεμονικὰ γυμνὰ τῶν ὑλικῶν ἀγγείων καὶ φλοιῶν καὶ καθαρμάτων ὁρᾷ. Μόνῳ γὰρ τῷ ἑαυτοῦ νοερῷ μόνων ἅπτεται τῶν ἐξ ἑαυτοῦ εἰς ταῦτα ἐρρυηκότων καὶ ἀπωχετευμένων.

11. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 1, 14, 6. 9. 13. 14.

Αἱ ψυχαί . . . εἰσὶν ἐνδεδεμέναι καὶ συναφεῖς τῷ θεῷ, ἅτε αὐτοῦ μόρια οὖσαι καὶ ἀποσπάσματα· οὐ παντὸς δ' αὐτῶν κινήματος, ἅτε οἰκείου καὶ συμφυοῦς, ὁ θεὸς αἰσθάνεται; — Ὁ δὲ θεὸς οὐχ οἷός τ' ἐστὶ πάντα ἐφορᾶν, καὶ πᾶσι συμπαρεῖναι, καὶ ἀπὸ πάντων τινὰ ἴσχειν διάδοσιν; — Ὥσθ', ὅταν κλείσητε τὰς θύρας, καὶ σκότος ἔνδον ποιήσητε, μέμνησθε μηδέποτε λέγειν ὅτι μόνοι ἐστέ· οὐ γάρ ἐστέ· ἀλλ' ὁ θεὸς ἔνδον ἐστίν . . καὶ τίς (τῷ θεῷ) χρεία φωτὸς εἰς τὸ βλέπειν τί ποιεῖτε;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

12. Πίνδαρος, Πυθιονικῶν 9, 44.

Ὦ ἄνα, κύριον ὃς πάντων τέλος
οἶσθα καὶ πάσας κελεύθους·
ὅσσα τε χθὼν ἠρινὰ φύλλ' ἀναπέμπει, χὠπόσαι
ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι
κύμασιν ῥιπαῖς τ' ἀνέμων κλονέονται, χῶτι μέλλει, χὠπόθεν
ἔσσεται, εὖ καθορᾷς. 1)

ιη'. Παντειδήμων ὁ Θεός.

Ὁ Θεὸς γινώσκει πάντα. Γινώσκει καὶ τὰς βουλὰς τῶν καρδιῶν. Ὁ φυτεύσας τὸ οὖς ἀκούει, ὁ πλάσας τὸν ὀφθαλμὸν κατανοεῖ. Ὁ Θεὸς γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων. Οὐδὲν ἀγνοεῖ. Ἀπαγγέλλει τὰ παρελθόντα καὶ τὰ μέλλοντα. Ἀποκαλύπτει τὰ ἴχνη τῶν ἀποκρύφων. Οὐδὲν διανόημα λανθάνει αὐτόν, οὐδεὶς λογισμὸς κρύπτεται ἀπ' αὐτοῦ. Σοφώτατος ἦτο πάντοτε· οὔτε ἠλαττώθη ποτὲ ἡ σοφία αὐτοῦ οὔτε προσετέθη ποτέ τι εἰς αὐτήν· συμβούλου οὐδέποτε ἐδεήθη. Τὰ πάντα γνωρίζει! Καὶ πόσα φύλλα κατὰ τὸ ἔαρ εὑρίσκονται εἰς τὰ δένδρα καὶ πόσοι κόκκοι ἄμμου εὑρίσκονται εἰς τὴν θάλασσαν καὶ τοὺς ποταμούς, καὶ τὰ μέλλοντα καὶ τὰ ἐλατήρια πάσης πράξεως. Πάντες οἱ κατοικοῦντες τὴν γῆν ἔχουσι τὴν γνώμην ταύτην περὶ τοῦ Θεοῦ. Γνωρίζει τὰ ὄντα καὶ τὰ ἐσόμενα καὶ τὸν τρόπον, καθ' ὃν ἕκαστον συντελεῖται. Βλέπει γυμνὴν τὴν ψυχὴν καὶ ἑνορᾷ ἐν αὐτῇ συγχρόνως, ἐν μιᾷ στιγμῇ τοῦ χρόνου, πάσας τὰς ἐν τῷ χρόνῳ ἐξελισσομένας κινήσεις αὐτῆς καὶ πάσας τὰς κατὰ μέρος ἐπινοίας αὐτῆς. Ὅπως τὰ πάμπολλα καὶ ποικιλώτατα συστατικὰ τοῦ θεάτρου, ἡ ἀρχιτεκτονική, ἡ μουσική, ἡ ποίησις, ἡ ὀρχηστική, οἱ ὑποκριταί, οἱ θεαταὶ συγχρόνως, ἐν μιᾷ στιγμῇ τοῦ χρόνου, προσπίπτουσιν εἰς τὴν ἀντίληψιν τῶν ἐν αὐτῷ, οὕτω σύμπας ὁ κόσμος, ὁ χρόνος, ὁ τόπος, αἱ κινήσεις, αἱ ἀλλοιώσεις, αἱ μεταβολαί, οἱ διαλογισμοί, αἱ ἀποφάσεις, αἱ πράξεις, ἐνταῦθά τε καὶ πανταχοῦ, νῦν τε καὶ πάλαι καὶ ἐν τῷ μέλλοντι, γενόμενά τε καὶ γιγνόμενα καὶ

1) Ἔτι *Μακκαβαίων* Β' 9, 5. 15, 21. Γ' 2, 21. — *Σιρὰχ* 15, 19. 39, 19-21. — *Ἱερεμίας* 16, 17. 39, 19 καὶ 24. — *Παραλειπομένων* Β' 16, 9. — *Ἐσθὴρ* 5, 1. 8, 13. — *Ἰὼβ* 28, 24. 31, 4. 34, 21. 24. = *Πίνδαρος* Πυθιονικῶν 9, 49. — *Ὀρφικά*, ἀπόσπ. 1, στίχ. 10 (Mullach 1, 166). — *Δημόκριτος*, ἀπόσπ. 46 (Mullach 1, 382). — *Βακχυλίδης*, ἀπόσπ. 29 (Bergk 3, 580). — *Σοφοκλῆς*, Οἰδίπους ἐπὶ Κολωνῷ 279. Ἀντιγόνη 184. Ἠλέκτρα 659. 824. Φιλοκτήτης 843. — *Εὐριπίδης*, Βάκχαι 394. — *Κωμῳδίας νέας* ἀδέσποτ. 148 (Kock 3, 437). — *Πλάτων*, Νόμοι 901 D. — *Ξενοφῶν*, Ἀπομνημονεύματα 1, 4, 17-18. Κύρου Παιδεία 8, 7, 22. — *Ἐπίχαρμος*, ἀπόσπ. 297 (Mullach 1, 146). — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 5, 14, (ἔκδ. Potter, σελ. 720). Παιδαγωγὸς 2, 10 (Potter, σελ. 229). — *Ἀρριανός*, Ἐπικτήτου διατριβαί 1, 14, 1-17. 1, 30, 1. 4, 4, 48.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γενησόμενα, πραγματοποιηθέντα τε καὶ πραγματοποιούμενα καὶ σχεδιαζόμενα, ἐξελιχθέντα τε καὶ ἐξελισσόμενα καὶ κυοφορούμενα, πάντα ἐν γένει τὰ ἐν τῷ κόσμῳ, ἀπὸ τῆς γενέσεως αὐτοῦ μέχρι τῆς συντελείας, παρίστανται πρὸ τῆς συνειδήσεως τοῦ Θεοῦ συγχρόνως, ἐν ἑνὶ σημείῳ τοῦ χρόνου, εἶνε ἀείποτε παρόντα.

1. Ἰωάννης, Ἐπιστολὴ Καθολικὴ Α΄. 3, 20.

Ὁ Θεὸς . . γινώσκει πάντα.

2. Παῦλος, πρὸς Κορινθίους Α΄. 4, 5.

Μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν.

3. Ψαλτήριον 93, 7-12.

Καὶ εἶπαν· οὐκ ὄψεται Κύριος· οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ. Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ· καὶ μωροὶ πότε φρονήσετε; Ὁ φυτεύσας τὸ οὖς, οὐχὶ ἀκούει; Ἡ ὁ πλάσας τὸν ὀφθαλμόν, οὐχὶ κατανοεῖ; Ὁ παιδεύων ἔθνη, οὐχὶ ἐλέγξει, ὁ διδάσκων ἄνθρωπον γνῶσιν; Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων.

4. Σιρὰχ 42, 18.

Ἔγνω γὰρ ὁ ὕψιστος πᾶσαν εἴδησιν, καὶ ἐνέβλεψεν εἰς σημεῖον αἰῶνος. Ἀπαγγέλλων τὰ παρεληλυθότα καὶ τὰ ἐσόμενα, καὶ ἀποκαλύπτων ἴχνη ἀποκρύφων· οὐ παρῆλθεν αὐτὸν πᾶν διανόημα, οὐκ ἐκρύβη ἀπ' αὐτοῦ εἷς λόγος. Τὰ μεγαλεῖα τῆς σοφίας αὐτοῦ ἐκόσμησεν· ὃς ἐστι πρὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα, οὔτε προσετέθη οὔτε ἠλασσώθη, καὶ οὐ προσεδεήθη οὐδενὸς συμβούλου.

5. Πίνδαρος, Πυθιονικῶν 9, 44.

Ὦ ἄνα, κύριον ὃς πάντων τέλος
οἶσθα καὶ πάσας κελεύθους·
ὅσσα τε χθὼν ἠρινὰ φύλλ' ἀναπέμπει, χώπόσαι
ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι
κύμασιν ῥιπαῖς τ' ἀνέμων κλονέονται, χῶτι μέλλει, χώπόθεν
ἔσσεται, εὖ καθορᾷς.

6. Ὅμηρος, Ὀδύσ. δ 379.

Θεοὶ δέ τε πάντα ἴσασιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

7. Ξενοφῶν, Συμπόσιον 4, 47.

Καὶ Ἕλληνες καὶ βάρβαροι τοὺς θεοὺς ἡγοῦνται πάντα εἰδέναι τά τε ὄντα καὶ τὰ μέλλοντα.

8. Διογένης Λαέρτιος 1, 1, 36.

Ἠρώτησέ τις Θαλῆν εἰ λάθοι θεοὺς ἀνθρώπους ἀδικῶν· «ἀλλ' οὐδὲ διανοούμενος», ἔφη.

9. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 2, 14, 11.

Μαθεῖν δεῖ πρῶτον τοῦτο, ὅτι ἐστὶ θεός, καὶ προνοεῖ τῶν ὅλων· καὶ οὐκ ἔστι λαθεῖν αὐτόν, οὐ μόνον ποιοῦντα, ἀλλ' οὐδὲ διανοούμενον ἢ ἐνθυμούμενον.

10. Κλήμης ὁ Ἀλεξανδρεύς, Στρωματεῖς 6, 16 (Potter 821).

Ὁ γάρ τοι Θεὸς πάντα οἶδεν, οὐ μόνον τὰ ὄντα, ἀλλὰ καὶ τὰ ἐσόμενα, καὶ ὡς ἔσται ἕκαστον· τάς τε ἐπὶ μέρους κινήσεις προορῶν, «πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει», γυμνὴν ἔσωθεν τὴν ψυχὴν βλέπων, καὶ τὴν ἐπίνοιαν τὴν ἑκάστου τῶν κατὰ μέρος ἔχει δι' αἰῶνος· καὶ ὅπερ ἐπὶ τῶν θεάτρων γίνεται, καὶ ἐπὶ τῶν ἑκάστου μερῶν κατὰ τὴν ἐνόρασίν τε καὶ περιόρασιν, καὶ συνόρασιν, τοῦτο ἐπὶ τοῦ Θεοῦ γίνεται. Ἀθρόως τε γὰρ πάντα, καὶ ἕκαστον ἐν μέρει, μιᾷ προσβολῇ προσβλέπει· οὐ πάντα μέντοι κατὰ τὴν προηγουμένην ἐπέρεισιν.

---

1) Ἔτι *Βασιλειῶν* Α'. 2, 3. — *Παραλειπομένων* Α'. 28, 9. Β'. 6, 30-31. — *Ἐσθὴρ* 4, 17.—*Ἰὼβ* 28, 24. 34, 21-23. 38, 2 καὶ ἑξ. 42, 3.— *Βαρούχ* 3, 32. — *Σιρὰχ* 15, 19.— *Παροιμίαι* 24, 12. — *Ἱερεμίας* 1, 5. 20, 12. 39, 17. 27.— *Δανιήλ*, Ὅρασις α'. 42.— *Ματθαῖος* 6, 32. = *Ὅμηρος*, Ἰλ. Γ 308. Ὀδύσ. υ 75.— *Πίνδαρος*, Πυθιονικῶν 3, 29.— *Σοφοκλῆς*, Οἰδίπους τύραννος 499.—*Πλάτων*, Πολιτεία 365 D. 612 E. Νόμοι 901 D. Κριτίας 121 B.— *Ξενοφῶν*, Συμπόσιον 4, 48. Ἀπομνημονεύματα 1, 1, 19. — *Πορφύριος*, πρὸς Μάρκελλαν 13. —*Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 7, 7 (Potter, σελ. 853). —

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ιθ'. Αἴτιος πάντων τῶν ὄντων καὶ τῶν γιγνομένων ὁ Θεός.

Ἀγαθὰ καὶ κακά, ζωὴ καὶ θάνατος, πτωχεία καὶ πλοῦτος, σοφία καὶ ἐπιστήμη, γνῶσις τῶν θείων ἐντολῶν καὶ ἀγάπησις τῶν καλῶν ἔργων, δίκαιοι καὶ σοφοί, λόγος καὶ φρόνησις, ἐργασία καὶ εὐδοκίμησις, πάντα ἐκ Θεοῦ. Οὐδὲν προέρχεται ἐκ τοῦ ἀνθρώπου· ὁ Θεὸς δίδει πάντα τὰ ἀγαθὰ καὶ ὁ Θεὸς ταπεινοῖ ὅντινα θέλῃ. Ὁ Θεὸς ἐνεργεῖ τὰ πάντα ἐν πᾶσι κατὰ τὸ ἅγιον αὐτοῦ θέλημα· αὐτὸς παρέχει τοῖς ἀνθρώποις τὰ ποικίλα χαρίσματα, αὐτὸς διαπεραίνει τὰ ποικίλα εὐεργετήματα, αὐτὸς κατευθύνει καὶ ἐνισχύει τὴν θέλησιν εἰς τὸ ἀγαθόν, αὐτὸς διαρρυθμίζει τὴν ἐνέργειαν ἡμῶν. Ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα. Αὐτὸς παρέχει πᾶσιν ἡμῖν τὴν ζωήν, τὴν πνοὴν καὶ τὰ πάντα. Ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. Αὐτὸς τὸ αἴτιον πάντων τῶν ὄντων. Τὰ ἑκάστοτε ἁρμόζοντα καλὰ παρ' αὐτοῦ πρέπει νὰ ἀπεκδέχωνται οἱ ἄνθρωποι. Ἐκ τῆς ἰδίας ἱκανότητος σμικρὰ πάνυ κατορθοῦσιν. Πάντα τὰ σπουδαῖα καὶ τὰ μεγάλα μόνον τῇ βοηθείᾳ τοῦ Θεοῦ συντελοῦνται. Ὅταν ὁ Θεὸς θέλῃ νὰ εὐλογήσῃ τὰ ἔργα τῶν ἀνθρώπων, συντελοῦνται ταῦτα εὐκόλως, εὐδοκιμοῦσι σφόδρα καὶ ἀποτελευτῶσιν εὐκλεῶς. Πάντων τῶν ἀγαθῶν, ὅσα πράττομεν, ὁ Θεὸς εἶνε τὸ πρῶτον καὶ κύριον αἴτιον. Οὐδὲν ἐπὶ τῆς γῆς, οὐδὲν κατὰ τὸν οὐρανόν, οὐδὲν κατὰ τὸν πόντον γίνεται ἄνευ τῆς θελήσεως τοῦ Θεοῦ. οὐδέν, πλὴν τῶν μωριῶν, ἅστινας διαπράττουσιν οἱ μωροὶ τῶν ἀνθρώπων. Πάντα ἠρέμα καὶ ἀνεπαισθήτως ὁ Θεὸς ἐξεργάζεται. Ὁ Θεὸς δίδει ταῦτα καὶ ἐκεῖνα, ὁ Θεὸς εἶναι πάντων τῶν ὄντων καὶ τῶν γινομένων αἴτιος, δι' αὐτοῦ συντελοῦνται πάντα· αἱ ἀρεταὶ τῇ βουλήσει αὐτοῦ τοῖς ἀνθρώποις καὶ τοῖς ἔθνεσι δίδονται. Ἐξ αὐτοῦ ἡ σοφία, ἡ ἀνδρία, ἡ εὐγλωττία καὶ σύμπασαι αἱ μεγάλαι ἀρεταί, αἱ προφαινόμεναι ἑκάστοτε εἴς τε τὰ ἄτομα καὶ τὰ ἔθνη.

1. Σιρὰχ 11, 14.

Ἀγαθὰ καὶ κακά, ζωὴ καὶ θάνατος, πτωχεία καὶ πλοῦτος παρὰ Κυρίου ἐστί. Σοφία καὶ ἐπιστήμη καὶ γνῶσις νόμου Κυρίου· ἀγάπησις καὶ ὁδοὶ καλῶν ἔργων παρ' αὐτοῦ εἰσιν.

2. Ἐκκλησιαστὴς 9, 1.

Οἱ δίκαιοι καὶ οἱ σοφοὶ καὶ αἱ ἐργασίαι αὐτῶν ἐν χειρὶ τοῦ Θεοῦ.

3. Σοφία Σολομῶντος 7, 16.

Ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς καὶ οἱ λόγοι ἡμῶν, πᾶσά τε φρόνησις καὶ ἐργατειῶν ἐπιστήμη.

4. Τωβὶτ 4, 19.

Πᾶν ἔθνος οὐκ ἔχει βουλήν, ἀλλὰ αὐτὸς ὁ Κύριος δίδωσι πάντα τὰ ἀγαθά, καὶ ὃν ἐὰν θέλῃ ταπεινοῖ καθὼς βούλεται.

5. Παῦλος, πρὸς Κορινθίους Α' 12, 4 καὶ 6-11.

Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα . . καὶ διαιρέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτός ἐστι Θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι .. Πάντα δὲ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

6. Παῦλος, πρὸς Φιλιππησίους 2, 13.

Ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας.

6. Παῦλος, πρὸς Ῥωμαίους 11, 34 καὶ 36.

Τίς ἔγνω νοῦν Κυρίου; .. ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα.

8. Πράξεις τῶν Ἀποστόλων 17, 24-28.

Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος .. αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα .. ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν.

9. Κλήμης ὁ Ἀλεξανδρεύς, ἀπ. 10 (Potter, σελ. 1007).

Θεὸς οὐσία θεία ἐστίν, ἀίδιόν τε καὶ ἄναρχον, ἀσώματον τε καὶ ἀπερίγραφον, καὶ τῶν ὄντων αἴτιον.

10. Πίνδαρος, Πυθιονικῶν 11, 50.

Θεόθεν ἐραίμαν καλῶν,
δυνατὰ μαιόμενος ἐν ἀλικίᾳ.

11. Διαγόρας, ἀπ. 1 (Bergk 3, 562).

Θεός, θεὸς πρὸ παντὸς ἔργου βροτείου
νωμᾷ φρέν', ὑπερτάταν,
αὐτοδαὴς δ' ἀρετὰ βραχὺν οἶμον ἕρπει.

12. Πίνδαρος, ἀπ. 108.

Θεοῦ δὲ δείξαντος ἀρχὰν
ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ κέλευθος ἀρετὰν ἐλεῖν,
τελευταί τε καλλίονες.

13. Πίνδαρος, Πυθιονικῶν 8, 95.

Ἐπάμεροι· τί δέ τις; τί δ' οὔτις; σκιᾶς ὄναρ
ἄνθρωπος. ἀλλ' ὅταν αἴγλα διόσδοτος ἔλθῃ,
λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν καὶ μείλιχος αἰών.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

14. Πορφύριος, πρὸς Μάρκελλαν 12.

Πάσης πράξεως καὶ παντὸς ἔργου καὶ λόγου θεὸς ἐπόπτης παρέστω καὶ ἔφορος. καὶ πάντων ὧν πράττομεν ἀγαθῶν τὸν θεὸν αἴτιον ἡγώμεθα.

15. Σοφοκλῆς, Αἴας 1036.

Ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ τὰ πάντ' ἀεὶ
φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς·
ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ φίλα,
κεῖνος τ' ἐκεῖνα στεργέτω κἀγὼ τάδε.

16. Σιμπλίκιος, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον 1, 1 (Dübner, σελ. 5, στίχ. 13).

Ταὐτὸν γάρ ἐστιν ἓν καὶ ἀρχὴ καὶ ἀγαθὸν καὶ Θεός. Καὶ γὰρ Θεὸς μὲν τὸ πρῶτον, καὶ πάντων αἴτιον.

17. Κλεάνθης, Ὕμνος εἰς Δία, στίχ. 15 (Mullach 1, 151).

Οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα, δαῖμον,
οὔτε κατ' αἰθέριον θεῖον πόλον, οὔτ' ἐνὶ πόντῳ,
πλὴν ὁπόσα ῥέζουσι κακοὶ σφετέρῃσιν ἀνοίαις.

18. Μένανδρος, ἀπ. 818 (Kock 3, 221).

Ἅπαντα σιγῶν ὁ θεὸς ἐξεργάζεται.

19. Πίνδαρος, Ἰσθμιονικῶν 5, 52.

Ζεὺς τά τε καὶ τὰ νέμει,
Ζεὺς ὁ πάντων Κύριος.

20. Αἰσχύλος, Ἑπτὰ ἐπὶ Θήβας 116.

Ὦ Ζεῦ πάτερ, πᾶν τέλος ὃς νέμεις.

21. Ὀρφικά, ἀπ. 2, στίχ. 10 (Mullach 1, 166).

Εἷς ἔστ' αὐτοτελής, αὐτοῦ δ' ὕπο πάντα τελεῖται.

22. Πίνδαρος, ἀπ. 141.

Θεὸς ὁ τὰ πάντα τεύχων βροτοῖς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

23. Πίνδαρος, Πυθιονικῶν 1, 41.

Ἐκ θεῶν γὰρ μηχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς,
καὶ σοφοὶ καὶ χερσὶ βιαταὶ περίγλωσσοί τ' ἔφυν.

24. Σιμωνίδης, ἀπ. 61 (Bergk 3, 416).

Οὔτις ἄνευ θεῶν
ἀρετὰν λάβεν, οὐ πόλις, οὐ βροτός.

25. Πίνδαρος, Ὀλυμπιονικῶν 11, 10.

Ἐκ θεοῦ δ' ὁμῶς σοφαῖς ἀνθεῖ τις ἀεὶ πραπίδεσσιν.

26. Πίνδαρος, Ἰσθμιονικῶν 3, 4.

Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἔπονται
ἐκ σέθεν. 1)

---

1) Ἔτι *Ἔξοδος* 4, 11.—*Δευτερονόμιον* 8, 18.—*Βασιλειῶν* Α' 2, 6-11.—*Παραλειπομένων* Α' 29, 12 καὶ 16. — *Ἰὼβ* 12, 17-25. 38, 3-41. 39, 5-31. — *Ἡσαΐας* 44, 24. 45, 7. 46, 9 καὶ ἑξ. 50, 11. — *Ἐσθὴρ* 10, 3.— *Ἀμὼς* 5, 7-10.— *Δανιὴλ* 2, 21 καὶ ἑξ.—*Σιρὰχ* 10, 4 καὶ ἑξ.—*Πράξεις τῶν Ἀποστόλων* 14, 15-18. — *Ὅμηρος*, Ἰλ. Α 5. 178. 290. Β 205. 375. 670. Γ 64. 365. 439. Ε 1. 185. 225. 290. 603. Ζ 171. 228. 526. Η 154. Θ 141. Ι 18. 24. Κ 290. 556. Μ 275. Ν 632. Ξ 120. Ρ 514. Ὀδύσσεια α 82. 234. 267. 348. 384. 400. δ 462. ζ 188. λ 298. π 129. τ 80.— *Ἡσίοδος*, Ἔργα καὶ Ἡμέραι 3-8. Ἀπαράσημα, ἀπ. 98 (Ἐκδ. Schömann).—*Ὀρφικά*, ἀπ. 6 (Mullach 1, 169). — *Πίνδαρος*, Ὀλυμπιονικῶν 8, 14. 13, 104. Πυθιονικῶν 2, 88. 3, 110. 4, 274. 5, 117. 8, 76. 10, 10. Νεμεονικῶν 7, 30-32. Ἰσθμιονικῶν 4, 1 καὶ 5. 6, 12. — *Θέογνις* 591.— *Σόλων*, ἀπ. 13, στίχ. 69. — *Βακχυλίδης*, ἀπ. 1 (Bergk 3, 569).— *Αἰσχύλος*, ἀπ. 160. — *Σοφοκλῆς*, Ἀντιγόνη 163. Φιλοκτήτης 176. Αἴας 383. 489. 824. 950. Οἰδίπους ἐπὶ Κολωνῷ 1451. — *Δίφιλος*, ἀπ. 138 (Kock 2, 580). — *Πλάτων*, Πολιτεία 379 C-380 D. 492 A καὶ ἑξ. — *Ἀριστοτέλης*, Ἠθικὰ Νικομάχεια 1099, 6, 11. Ἠθικὰ μεγάλα 1207, α, 15. Περὶ Κόσμου πρὸς Ἀλέξανδρον 397, 6, 14. Ἀπ. 508, σελ. 1561, 6, 3. — *Ξενοφῶν*, Κύρου Παιδεία 8, 5, 23. — *Δημοσθένης*, περὶ τοῦ στεφάνου 200, σελ. 295.— *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 4, 4, 47.—*Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 15 (Dübner, σελ. 67, στίχ. 13). κεφ. 31 (Dübner, σελ. 91, στίχ. 42). αὐτόθι (Dübner, σελ. 101, στίχ. 29-46).— *Κλήμης ὁ Ἀλεξανδρεύς*, Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 1 (Potter, σελ. 6).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κ'. Βασιλεὺς τῶν πάντων καὶ κύριος ὁ Θεός.

Ὁ Θεὸς ἔκτισε τὰ πάντα. Διὰ τῆς χειρός αὐτοῦ οἰακίζει τὸν κόσμον. Πάντα ὑπακούουσιν εἰς τὸ ἅγιον αὐτοῦ θέλημα. Ὁ κόσμος εἶνε τὸ βασίλειον τοῦ Θεοῦ καὶ ὁ Θεὸς ὁ βασιλεὺς αὐτοῦ. Εἶνε ὕψιστος καὶ φοβερός, εἶνε βασιλεὺς μέγας καὶ κραταιός, εἶνε κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς. Αὐτὸς εἶνε ὁ δυνάστης τοῦ κόσμου τούτου. Αὐτὸς εἶνε ὁ βασιλεὺς τῶν βασιλευόντων, ὁ κύριος τῶν κυριευόντων, ὁ οἰκῶν φῶς ἀπρόσιτον. Τὴν δύναμιν αὐτοῦ οὐδὲν δύναται νὰ ἐπίσχῃ, οὐδὲν νὰ ἀπαμβλύνῃ· ἰσχὺς ἀνθρωπίνη, ὕπνος, χρόνος οὐδεμίαν ἐπίδρασιν ἔχουσιν ἐπ' αὐτοῦ. Ἀεί-ποτε κραταιός, ἐν τῷ οὐρανῷ, ἐν τῷ μέσῳ τοῦ φωτός, ἐνιδρυμένος, βασιλεύει εἰς αἰῶνα τὸν ἅπαντα σύμπαντος τοῦ κόσμου, κύριος καὶ πατὴρ πάντων. Περὶ τὸν μέγαν τοῦτον καὶ ὑπέρλαμπρον βασιλέα ὑπάρχουσι πάντα τὰ ὄντα καὶ αὐτοῦ ἕνεκα πάντα γίνονται καὶ αὐτὸς εἶνε ὁ αἴτιος πάντων τῶν ἐν τῷ κόσμῳ καλῶν. Ἡ βασιλεία αὐ-τοῦ ἐκτείνεται πανταχοῦ, ἔν τε τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς καὶ ἐν ἡμῖν. Αὐτὸς διατάττει, αὐτὸς γνωρίζει, αὐτὸς δίδει, αὐτὸς ἀφαιρεῖ, αὐτός, ὁ βασιλεὺς τῶν πάντων καὶ κύριος.

1. Σιρὰχ 18, 1 καὶ ἑξ.

Ὁ ζῶν εἰς τὸν αἰῶνα ἔκτισε τὰ πάντα κοινῇ. Κύριος μόνος δι-καιωθήσεται, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ· ὁ οἰακίζων τὸν κόσμον ἐν σπιθαμῇ χειρὸς αὐτοῦ, καὶ πάντα ὑπακούει τῷ θελήματι αὐτοῦ· αὐτὸς γὰρ βασιλεὺς πάντων ἐν κράτει αὐτοῦ.

2. Ψαλτήριον 46, 3.

Κύριος ὕψιστος, φοβερός· βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

3. Πράξεις τῶν Ἀποστόλων 17, 24.

Ὁ Θεὸς . . οὗτος οὐρανοῦ καὶ γῆς κύριος.

4. Μαλαχίας 1, 14.

Μέγας βασιλεὺς ἐγώ εἰμι, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ ὄ-νομά μου ἐπιφανὲς ἐν τοῖς ἔθνεσιν.

5. Παῦλος, πρὸς Τιμόθεον Α'. 6, 15.

Μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρό-σιτον.

6. Σοφοκλῆς, Ἀντιγόνη 604.

Τεάν, Ζεῦ, δύνασιν τίς ἀνδρῶν
ὑπερβασία κατάσχῃ,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὰν οὔθ' ὕπνος αἱρεῖ ποθ' ὁ παντογήρως
οὔτ' ἄκοποι θεῶν νιν
μῆνες, ἀγήρως δὲ χρόνῳ δυνάστας
κατέχεις Ὀλύμπου μαρμαρόεσσαν αἴγλαν.

7. Πίνδαρος, Ἰσθμιονικῶν 5, 52.

Ζεὺς τά τε καὶ τὰ νέμει,
Ζεὺς ὁ πάντων κύριος.

8. Μάξιμος ὁ Τύριος, λόγ. 17, 5.

Θεὸς εἰς πάντων βασιλεύς, καὶ πατήρ.

9. Πλάτων, Ἐπιστολαὶ Β' 312 Ε.

Περὶ τῶν πάντων βασιλέα πάντ' ἐστὶ καὶ ἐκείνου ἕνεκα πάντα, καὶ ἐκεῖνο αἴτιον ἁπάντων τῶν καλῶν.

10. Ἡσίοδος, Ἀπαράσημα, ἀπ. 89 (Schömann).

Αὐτὸς γὰρ πάντων βασιλεὺς καὶ κοίρανός ἐστιν,
ἀθανάτων δέ οἱ οὔτις ἐρήρισται κράτος ἄλλος.

11. Φιλόλαος, ἀπ. 15 (Mullach 2, 5).

Ἔστι γὰρ . . ὁ ἀγεμὼν καὶ ἄρχων ἁπάντων θεὸς εἷς ἀεὶ ἑών, μόνιμος, ἀκίνατος, αὐτὸς αὑτῷ ὁμοῖος, ἄτερος τῶν ἄλλων.

12. Δημόκριτος, παρὰ Κλήμεντι (Στρωματεῖς 5, 14, Potter, σ. 709).

Πάντα Ζεὺς μυθέεται, καὶ πάνθ' οὗτος οἶδε καὶ διδοῖ καὶ ἀφαιρέεται· καὶ βασιλεὺς οὗτος τῶν πάντων. 1)

---

1) Ἔτι Ἔξοδος 15, 18. 19, 6. 23, 22.— Δευτερονόμιον 9, 26. — Ἰησοῦς Ναυῆ 22, 23.— Παραλειπομένων Α' 16, 31. 29, 11-15.— Ἔσθηρ 4, 17. 8, 13. — Ἰὼβ 5, 8. 8, 5. 41, 2.— Τωβὶτ 13, 6. 10. 11. 16.— Ἰουδεὶθ 9, 12. — Ὁ ἱερεὺς 4, 58. —Μακκαβαίων Β' 7, 9. 12, 15. 13, 4. Γ' 2, 2. 3. 8. 13. 5, 35. 6, 2. 12. 39. 7, 9.— Σοφία Σολομῶντος 8, 4. 12, 16. — Σιρὰχ 51, 1.— Ἱερεμίας 10, 7. 10.— Δανιὴλ 2, 47. 3, 33. 4, 22. 31. 34. 5, 21. 6, 26. — Ζαχαρίας 14, 17. — Μαλαχίας 1, 14.— Ψαλτήριον 46, 8.—Παῦλος, πρὸς Τιμόθεον Α'. 1, 17. 6, 15.=Ὅμηρος, Ἰλ. Β 669. Ὀδύσ. υ 112. — Πίνδαρος, Ὀλυμπιονικῶν 7, 34. Πυθιονικῶν 3, 94.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κα'. Κυβερνήτης τοῦ παντὸς ὁ Θεός.

Διέπει τὰ πάντα ὁ Θεός. Ἡ πρόνοια αὐτοῦ διακυβερνᾷ τὰ πάντα. Ἐν ἐλέει διοικεῖ τὸν κόσμον. Αὐτὸς οἰκίζει διὰ τῆς χειρὸς αὐτοῦ τὰ σύμπαντα καὶ ταῦτα ὑπακούουσι τῷ θελήματι αὐτοῦ. Νοῦς καὶ φρόνησις τὰ σύμπαντα καὶ τόδε τὸ καλούμενον ὅλον ἐπιτροπεύει καὶ διακυβερνᾷ. Ἡ εὔτακτος οἰκονομία τοῦ κόσμου ἐλέγχει σαφῶς τὴν ὕπαρξιν διοικητοῦ σοφοῦ. Ὁ Θεὸς εἶνε ἐν τῷ κόσμῳ ὅ τι εἶνε ἐν τῷ πλοίῳ ὁ κυβερνήτης, ἐν τῇ ἁμάξῃ ὁ ἡνίοχος, ἐν τῷ χορῷ ὁ κορυφαῖος, ἐν τῇ πόλει ὁ νόμος, ἐν τῷ στρατοπέδῳ ὁ ἀρχιστράτηγος, μὲ τὴν διαφορὰν ὅτι ἐν τοῖς ἀνθρώποις τὸ ἄρχειν εἶνε πολύμοχθον, πολυκίνητον καὶ πολυμέριμνον, ἐνῷ ὁ Θεὸς ἐν ἀκινήτῳ ἱδρυμένος ἄνευ οὐδενὸς μόχθου κινεῖ καὶ περιάγει τὰ πάντα ὅπου θέλῃ καὶ ὅπως θέλῃ. Ἐν τῇ διοικήσει τοῦ κόσμου ὁ Θεὸς δὲν ἐπιδρᾷ ἀμέσως ἐφ' ἑκάστου τῶν συστατικῶν αὐτοῦ, αὐτὸς ὁρίζων τὴν ἰδιόρρυθμον ἑκάστου ἐνέργειαν καὶ αὐτὸς συντελῶν καὶ διαπεραίνων ταύτην· ἀλλ' οὖσης τῆς ἰδιορρύθμου ἑκάστου ἐνεργείας καὶ τῆς οἰκείας ἐπ' ἄλληλα ἐπιδράσεως καὶ συναρμογῆς καὶ κοινοπραγίας πρό τῶν αἰώνων, ἀπὸ τῆς πρώτης ὥρας τῆς δημιουργίας αὐτῶν, ὡρισμένης, βαίνουσι πάντα τὰ ἐν τῷ κόσμῳ ἀμέσως καὶ ἀπροσκόπτως εἰς τὴν ἔκφανσιν τῶν ἰδίων αὐτῶν ἐνεργειῶν, ὅταν θείᾳ ἐπιπνοίᾳ ἐπιστῇ ἡ ἁρμοδία πρὸς τοῦτο ὥρα, ἀπαράλλακτα ὅπως ἐν τῷ πολέμῳ δὲν ἐπιδρᾷ ἀμέσως ὁ στρατάρχης ἐπὶ τῆς διαμορφώσεως τῶν διαφόρων στοιχείων, ἐξ ὧν συναποτελεῖται τὸ στρατόπεδον, οὔτε ἐπὶ τῆς ἰδιορρύθμου ἐνεργείας ἑκάστου αὐτῶν οὔτε ἐπὶ τῆς προσηκούσης ἀμοιβαίας ἀλληλεπιδράσεως καὶ τῆς τελικῆς ἐκ τῆς κοινοπραγίας πάντων τούτων συντελείας. Ὁ στρατάρχης διατάσσει μόνον τὸν σαλπιγκτὴν νὰ σαλπίσῃ τὸ οἰκεῖον σάλπισμα καὶ πλέον οὐ. Τὰ λοιπὰ συντελοῦνται καὶ διαπεραίνονται δυνάμει τοῦ ἀρχικοῦ διοργανισμοῦ τῶν στοιχείων, ἐξ ὧν συναποτελεῖται τὸ στρατόπεδον, ἄνευ τῆς ἀμέσου ἀναμίξεως τοῦ στρατάρχου. Ὁ Θεὸς ἐν τῇ διοικήσει τοῦ κόσμου ἀόρατος ὢν ἀπ' αὐτῶν τῶν ἔργων αὐτοῦ θεωρεῖται, ἀπαράλλακτα ὅπως καὶ ἡ ψυχὴ ἐν τῇ διοικήσει τῶν κατὰ τὸν ἀνθρώπινον βίον ἀόρατος οὖσα ἀπ' αὐτῶν τῶν ἔργων αὐτῆς θεωρεῖται.

1. Σοφία Σολομῶντος 12, 15.

Δίκαιος δὲ ὢν — Κύριε — δικαίως τὰ πάντα διέπεις.

2. Σοφία Σολομῶντος 14, 3.

Ἡ σή, πάτερ, διακυβερνᾷ πρόνοια.

3. Σοφία Σολομῶντος 15, 1.

Σὺ δὲ ὁ Θεὸς ἡμῶν χρηστὸς καὶ ἀληθής, μακρόθυμος καὶ ἐν ἐλέει διοικῶν τὰ πάντα.

Νεμεονικῶν 4, 67. 5, 35. 7, 82. 10, 16. Ἰσθμιονικῶν 8, 20.— *Πλάτων*, Κριτίας 121 Β.— *Σοφοκλῆς*, Ἀντιγόνη 608.— *Κλεάνθης*, Ὕμνος εἰς Δία, στίχ. 14 (Mullach 1, 151).— *Ὀρφικά*, ἀπ. 1, στίχ. 7 (Mullach 1, 166).— *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 5, 14 καὶ 7, 2. (Potter σελ. 709 καὶ 832).— *Ἀρριανός*, Ἐπικτήτου διατριβαί 1, 6, 40. 4, 10, 30.— *Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 31 (ἔκδ. Dübner, σελ. 101, στίχ. 36).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4. Σιρὰχ 18, 1-3.

Ὁ ζῶν εἰς τὸν αἰῶνα ἔκτισε τὰ πάντα κοινῇ. Κύριος μόνος δικαιωθήσεται, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ· ὁ οἰακίζων τὸν κόσμον ἐν σπιθαμῇ χειρὸς αὐτοῦ, καὶ πάντα ὑπακούει τῷ θελήματι αὐτοῦ.

5. Τέρπανδρος, ἀπ. 1 (Bergk 3, 8).

Ζεῦ πάντων ἀρχά,
πάντων ἀγήτωρ.

6. Κλεάνθης, Ὕμνος εἰς Δία, στίχ. 33-34 (Mullach 1, 151).

Πάτερ ... σὺ δίκης μέτα πάντα κυβερνᾷς.

7. Πλάτων, Φίληβος 28 D-E.

Τὰ ξύμπαντα καὶ τόδε τὸ καλούμενον ὅλον ἐπιτροπεύειν φῶμεν .. νοῦν καὶ φρόνησίν τινα θαυμαστὴν συντάττουσαν διακυβερνᾶν .. τὸ δὲ νοῦν πάντα διακοσμεῖν αὐτὰ φάναι καὶ τῆς ὄψεως τοῦ κόσμου καὶ ἡλίου καὶ σελήνης καὶ ἀστέρων καὶ πάσης τῆς περιφορᾶς ἄξιον, καὶ οὐκ ἄλλως ἔγωγ' ἄν ποτε περὶ αὐτῶν εἴποιμι οὐδ' ἂν δοξάσαιμι.

8. Ἀρριανός, Ἐπικτήτου διατριβαί 2, 14, 25-27.

Τί ποτ' οὖν ἐστιν ὁ κόσμος, τίς αὐτὸν διοικεῖ; Οὐδείς; Καὶ πῶς οἷόν τε πόλιν μὲν ἢ οἶκον μὴ δύνασθαι διαμένειν μηδ' ὀλιγοστὸν χρόνον δίχα τοῦ διοικοῦντος καὶ ἐπιμελουμένου, τὸ δ' οὕτω μέγα καὶ καλὸν κατασκεύασμα εἰκῇ καὶ ὡς ἔτυχεν οὕτως εὐτάκτως οἰκονομεῖσθαι; Ἔστιν οὖν ὁ διοικῶν.

9. Ἀριστοτέλης, περὶ Κόσμου πρὸς Ἀλέξανδρον 400, 6, 6.

Καθόλου δέ, ὅπερ ἐν νηὶ μὲν κυβερνήτης, ἐν ἅρματι δὲ ἡνίοχος, ἐν χορῷ δὲ κορυφαῖος, ἐν πόλει δὲ νόμος, ἐν στρατοπέδῳ δὲ ἡγεμών, τοῦτο θεὸς ἐν κόσμῳ, πλὴν καθ' ὅσον τοῖς μὲν καματηρὸν τὸ ἄρχειν πολυκίνητόν τε καὶ πολυμέριμον, τῷ δὲ ἄλυπον ἄπονόν τε καὶ πάσης κεχωρισμένον σωματικῆς ἀσθενείας· ἐν ἀκινήτῳ γὰρ ἱδρυμένος πάντα κινεῖ καὶ περιάγει, ὅπου βούλεται καὶ ὅπως, ἐν διαφόροις ἰδέαις τε καὶ φύσεσιν, ὥσπερ ἀμέλει καὶ ὁ τῆς πόλεως νόμος ἀκίνητος ὢν ἐν ταῖς τῶν χρωμένων ψυχαῖς πάντα οἰκονομεῖ τὰ κατὰ τὴν πολιτείαν.

10. Ἀριστοτέλης, περὶ Κόσμου πρὸς Ἀλέξανδρον 399, α, 30.

Ὅταν οὖν ὁ πάντων ἡγεμών τε καὶ γενέτωρ, ἀόρατος οὖν ἄλλῳ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πλὴν λογισμῷ, σημήνῃ πάσῃ φύσει μεταξὺ οὐρανοῦ τε καὶ γῆς φερομένῃ, κινεῖται πᾶσα ἐνδελεχῶς ἐν κύκλοις καὶ πέρασιν ἰδίοις, ποτὲ μὲν ἀφανιζομένη, ποτὲ δὲ φαινομένη, μυρίας ἰδέας ἀναφαίνουσα τε καὶ πάλιν ἀποκρύπτουσα ἐκ μιᾶς ἀρχῆς. ἔοικε δὲ κομιδῇ τὸ δρώμενον τοῖς ἐν πολέμῳ καιροῖς μάλιστα γινομένοις, ἐπειδὰν ἡ σάλπιγξ σημήνῃ τῷ στρατοπέδῳ· τότε γὰρ τῆς φωνῆς ἕκαστος ἀκούσας ὁ μὲν ἀσπίδα ἀναιρεῖται, ὁ δὲ θώρακα ἐνδύεται, ὁ δὲ κνημῖδας ἢ κράνος ἢ ζωστῆρα περιτίθεται· καὶ ὁ μὲν ἵππον χαλινοῖ, ὁ δὲ συνωρίδα ἀναβαίνει, ὁ δὲ σύνθημα παρεγγυᾷ· καθίσταται δὲ εὐθέως ὁ μὲν λοχαγὸς εἰς λόχον, ὁ δὲ ταξίαρχος εἰς τάξιν, ὁ δὲ ἱππεὺς ἐπὶ κέρας, ὁ δὲ ψιλὸς εἰς τὴν ἰδίαν ἐκτρέχει χώραν· πάντα δὲ ὑφ' ἕνα σημάντορα δινεῖται κατὰ πρόσταξιν τοῦ τὸ κράτος ἔχοντος ἡγεμόνος. οὕτω χρὴ καὶ περὶ τοῦ σύμπαντος φρονεῖν· ὑπὸ γὰρ μιᾶς ροπῆς ὀτρυνομένων ἁπάντων γίνεται τὰ οἰκεῖα, καὶ ταύτης ἀοράτου καὶ ἀφανοῦς. ὅπερ οὐδαμῶς ἐστιν ἐμπόδιον οὔτε ἐκείνῃ πρὸς τὸ δρᾶν οὔτε ἡμῖν πρὸς τὸ πιστεῦσαι· καὶ γὰρ ἡ ψυχή, δι' ἣν ζῶμέν τε καὶ οἴκους καὶ πόλεις ἔχομεν, ἀόρατος οὖσα τοῖς ἔργοις αὐτῆς ὁρᾶται· πᾶς γὰρ ὁ τοῦ βίου διάκοσμος ὑπὸ ταύτης εὑρηται καὶ διατέτακται καὶ συνέχεται, γῆς ἀρόσεις καὶ φυτεύσεις, τέχνης ἐπίνοιαι, χρήσεις νόμων, κόσμος πολιτείας, ἔνδημοι πράξεις, ὑπερόριος πόλεμος, εἰρήνη. ταῦτα χρὴ καὶ περὶ θεοῦ διανοεῖσθαι, δυνάμει μὲν ὄντος ἰσχυροτάτου, κάλλει δὲ εὐπρεπιστάτου, ζωῇ δὲ ἀθανάτου, ἀρετῇ δὲ κρατίστου, διότι πάσῃ θνητῇ φύσει γενόμενος ἀθεώρητος ἀπ' αὐτῶν τῶν ἔργων θεωρεῖται. τὰ γὰρ πάθη, καὶ τὰ δι' ἀέρος ἅπαντα καὶ τὰ ἐπὶ γῆς καὶ τὰ ἐν ὕδατι, θεοῦ λέγοιτ' ἂν ὄντως ἔργα εἶναι τοῦ τὸν κόσμον ἐπέχοντος. 1)

---

1) Ἔτι *Πλάτων*, Πολιτικὸς 272 E. Φίληβος 30 D. Νόμοι 709 B. — *Κλεάνθης*, Ὕμνος εἰς Δία, στίχ. 2 καὶ 7-16 (Mullach 1, 151). — *Ἀρριανός*, Ἐπικτήτου διατριβαί 2, 16, 33. 3, 5, 10. 3, 24, 19. 3, 26, 28. — *Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 7 (ἔκδ. Dübner, σελ. 33, στίχ. 39). κεφ. 7 (Dübner, σελ. 34, στίχ. 16 καὶ 32). κεφ. 8 (Dübner, σελ. 35, στίχ. 50). κεφ. 31 (Dübner, σελ. 91, στίχ. 43 καὶ 50. σελ. 101, στίχ. 47 καὶ ἑξ.).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κϐ'. Παντοδύναμος ὁ Θεός.

Τὰ ἀδύνατα παρ' ἀνθρώποις δυνατὰ παρὰ τῷ Θεῷ. Πάντα δυνατὰ παρὰ τῷ Θεῷ. Δὲν ὑπάρχει δύναμις ἐν τῷ κόσμῳ τούτῳ ἱκανή, ὅπως ματαιώσῃ τὰ βουλεύματα τοῦ Θεοῦ, ἢ ὅπως ἀποστρέψῃ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλήν. Ἰσχυρὸς ὁ Θεὸς καὶ δυνατὸς ἐν τοῖς ἔργοις αὐτοῦ. Πάντα δύναται ὁ Θεός, ἀδυνατεῖ δ' αὐτῷ οὐδέν. Μεγάλη ἡ ἰσχὺς τοῦ Θεοῦ καὶ ἀνυπόστατος. Ὅλος ὁ κόσμος ἔναντι τοῦ Θεοῦ εἶνε ὡς μία ῥανὶς δρόσου πρωϊνῆς. Τὰ πάντα δύναται ὁ Θεός. Δύναται ἐκ βαθυτάτου σκότους νὰ ἐγείρῃ λαμπρὸν φῶς καὶ διὰ σκότους βαθυτάτου νὰ καλύψῃ τὸ λαμπρὸν τῆς ἡμέρας φῶς. Δύναται καὶ τὸν πτερόεντα ἀετὸν νὰ καταλάβῃ καὶ τὸν θαλάσσιον δελφῖνα νὰ παραδράμῃ. Δύναται καὶ τοὺς ἀγερώχους νὰ ταπεινώσῃ καὶ τοὺς ταπεινοὺς νὰ ἀνυψώσῃ. Πάντα εἶνε ἀσθενέστερα, πάντα εἶνε ἀδυνατώτερα τῶν θείων. Τὰ ἀνθρώπινα ἔργα πάντα ἀνεξαιρέτως, καὶ τὰ στερεώτατα θεωρούμενα, σὺν τῷ χρόνῳ φθείρονται καὶ ἀφανίζονται. Ἀγάλματα, ναοί, στῆλαι καὶ αἱ στερεώταται ἔτι σὺν τῷ χρόνῳ φθείρονται καὶ ἐκλείπουσιν· ἀλλὰ τὰ νάματα τῶν ποταμῶν, ἡ εὐωδία καὶ τὸ εὔχρουν τῶν ἐαρινῶν ἀνθέων, ἡ χρυσῆ φλὸξ τοῦ ἡλίου, τὸ γλυκὺ σέλας τῆς σελήνης, αἱ δῖναι τῆς θαλάσσης εἰς αἰῶνα τὸν ἅπαντα παραμένουσιν ἄφθαρτα καὶ πάντοτε ἐν τῇ ἀρχικῇ αὐτῶν μεγαλοπρεπείᾳ καὶ δυνάμει· διότι ταῦτα εἶνε θεῖα, ἐκεῖνα ἀνθρώπινα. Ὁ Θεὸς ἔχει τὴν ἰσχυροτάτην δύναμιν, ἀφοῦ αὐτὸς εἶνε ἡ πηγὴ καὶ ἡ αἰτία πάσης ἐν τῷ κόσμῳ δυνάμεως.

1. Λουκᾶς 18, 27.

Τὰ ἀδύνατα παρὰ ἀνθρώποις δυνατά ἐστι παρὰ τῷ Θεῷ.

2. Ματθαῖος 19, 26.

Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστι, παρὰ δὲ Θεῷ πάντα δυτά ἐστι.

3. Ἡσαΐας 14, 27.

Ἄ ἔ γὰρ ὁ Θεὸς ὁ ἅγιος βεβούλευται τίς διασκεδάσει; καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει;

4. Ἱερεμίας 39, 17-19.

Ὁ ὢν Κύριε Κύριε, σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν ἐν τῇ ἰσχύϊ σου τῇ μεγάλῃ, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ καὶ τῷ μετεώρῳ, οὐ μὴ ἀποκρυβῇ ἀπὸ σοῦ οὐθὲν ῥῆμα, ποιῶν ἔλεος εἰς χιλιάδας . . ὁ Θεὸς ὁ μέγας, ὁ ἰσχυρός, Κύριος μεγάλης βουλῆς, καὶ ὁ δυνατὸς τοῖς ἔργοις, ὁ Θεὸς ὁ μέγας ὁ παντοκράτωρ, καὶ μεγαλώνυμος Κύριος.

5. Ἰὼβ 10, 13.

Οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

6. Σοφία Σολομῶντος 11, 22-24.

Τὸ γὰρ μεγάλως ἰσχύειν σοι πάρεστι πάντοτε, καὶ κράτει βραχίονός σου τίς ἀντιστήσεται; Ὅτι ὡς ῥοπὴ ἐκ πλαστίγγων ὅλος ὁ κόσμος ἐναντίον σου, καὶ ὡς ῥανὶς δρόσου ὀρθρινὴ κατελθοῦσα ἐπὶ γῆν.

7. Ἐπίχαρμος, ἀποσπάσματα, στίχ. 297 (Mullach 1, 146).

Οὐδὲν ἐκφεύγει τὸ θεῖον· τοῦτο γινώσκειν τυ δεῖ·
αὐτὸς ἐσθ' ἁμῶν ἐπόπτας, ἀδυνατεῖ δ' οὐδὲν θεός.

8. Πίνδαρος, ἀπόσπ. 142.

Θεῷ δὲ δυνατὸν ἐκ μελαίνας
νυκτὸς ἀμίαντον ὄρσαι φάος,
κελενεφέϊ δὲ σκότει καλύψαι καθαρὸν
ἀμέρας σέλας.

9. Πίνδαρος, Πυθιονικῶν 2, 50-52.

Θεός, ὃ καὶ πτερόεντ' αἰετὸν κίχε, καὶ θαλασσαῖον παραμείβεται
δελφῖνα, καὶ ὑψιφρόνων τιν ἔκαμψε βροτῶν,
ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκε

10. Καλλίμαχος, ἀπόσπ. 137.

Εἰ θεὸν οἶσθα,
ἴσθ' ὅτι καὶ ῥέξαι δαίμονι πᾶν δυνατόν.

11. Σιμωνίδης, ἀπόσπ. 57 (Bergk 3, 414).

Τίς κεν αἰνήσειε νόῳ πίσυνος Λίνδου ναέταν Κλεόβουλον
ἀενάοις ποταμοῖς ἄνθεσί τ' εἰαρινοῖσιν
ἀελίου τε φλογὶ χρυσέᾳ λιπαρᾶς τε σελάνας
καὶ θαλασσαίαισι δίναις ἀντία θέντα μένος στάλας;
ἅπαντα γὰρ ἐστι θεῶν ἥσσω· λίθον δὲ
καὶ βρότεοι παλάμαι θραύοντι· μωροῦ φωτὸς ἅδε βουλά.

12. Σιμπλίκιος, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 25 (Dübner, σελ. 67, στίχ. 12).

Ὁ γὰρ θεὸς δύναμιν ἔχει τὴν ἰσχυροτάτην, πάσης δυνάμεως αἴτιος ὑπάρχων. 1)

---

1) Ἔτι *Γένεσις* 18, 14.—*Δευτερονόμιον* 3, 24. 11, 2-3.—*Ἰησοῦς Ναυῆ* 23, 10.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κγ'. Μέγας ὁ Θεός.

Φοβερὸς ὁ Θεὸς καὶ μέγας σφόδρα. Ὁ οὐρανὸς εἶνε ὁ θρόνος αὐτοῦ καὶ ἡ γῆ τὸ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. Μέγας καὶ ἔνδοξος καὶ θαυμαστὸς ἐν ἰσχύϊ καὶ ἀνυπέρβλητος ὁ Κύριος. Τὰ πάντα πτήσσουσι πρὸ τοῦ μεγαλείου αὐτοῦ. Πρὸ τοῦ προσώπου αὐτοῦ τὰ ὄρη καὶ ἡ θάλασσα ἐκ θεμελίων σαλεύονται, οἱ λίθοι καὶ οἱ βράχοι ὡς κηρὸς τήκονται. Ἀφανίζονται ἐν τῇ ὀργῇ αὐτοῦ τὰ ὄρη, σαλεύεται ἐκ θεμελίων πᾶσα ἡ ὑπ' οὐρανὸν καὶ διασείονται οἱ στῦλοι αὐτῆς. Διατάσσει τὸν ἥλιον νὰ μὴ ἀνατείλῃ, καὶ δὲν ἀνατέλλει· διατάσσει τὰ ἄστρα νὰ μὴ μετατοπισθῶσι, καὶ δὲν μετατοπίζονται· τανύει τὸν οὐρανόν, περιπατεῖ ἐπὶ τῆς θαλάσσης, προάγει εἰς τὸ εἶναι τὴν Πλειάδα καὶ τὸν Ἔσπερον, τὸν Ἀρκτοῦρον καὶ τὰ ἄστρα τοῦ νότου· ποιεῖ μεγάλα καὶ ἀνεξιχνίαστα, συντελεῖ ἔνδοξα ἀναρίθμητα καὶ ἐξαίρετα ἄπειρα. Ἡ μεγαλειότης αὐτοῦ εἶνέ τι ἀπερινόητον. Εἶνε μέγας βασιλεύς, οὔτινος τὸ ὄνομα εἶνε ἐπιφανὲς ἐν πᾶσι τοῖς ἔθνεσιν. Εἶνε μέγας καὶ ἄχραντος καὶ ἄκρατος. Σείει καὶ ἀτρεμίζει τὰ πάντα· βαίνει, καὶ ἡ γῆ σείεται· περιπατεῖ, καὶ τὰ δάση συγκλονοῦνται· βλέπει, καὶ ἡ γῆ σαλεύεται καὶ ὁ οὐρανὸς διασείεται καὶ ἡ ἄβυσσος ἀναταράσσεται καὶ τὰ θεμέλια τῆς γῆς κραδαίνονται· οἱ ὠκεανοὶ φοβοῦνται, αἱ ἄβυσσοι φρίττουσιν, αἱ νεφέλαι βοῶσιν, ἡ οἰκουμένη ἀστράπτει, ἡ ἀπέραντος γῆ καὶ αἱ ὑψηλαὶ κορυφαὶ τῶν ὀρέων πάλλονται, αἱ πόλεις τῶν ἀνθρώπων καὶ τὰ πλοῖα τῆς θαλάσσης καὶ τὰ ἔγκατα τῆς γῆς συνταράσσονται· ἐπιβλέπει ἐπὶ τὴν γῆν, καὶ τρέμει ἡ ὑφήλιος· ἅπτεται τῶν ὀρέων, καὶ καπνίζουσιν· ἡ θάλασσα φεύγει, οἱ ποταμοὶ στρέφονται πρὸς τὰς πηγὰς αὐτῶν ὀπίσω· τρέμουσιν ὑπὸ τοὺς πόδας αὐτοῦ τὰ ὑψηλὰ ὄρη καὶ σείονται τὰ πυκνόφυλλα δάση· ἐλαύνει ἐπὶ τῶν κυμάτων καὶ σκιρτῶντα προδαίνουσιν ἐκ τῶν κευθμώνων αὐτῶν τὰ κήτη καὶ γηθόσυνος διίσταται ἡ θάλασσα.

1. Σιρὰχ 43, 29.

Φοβερὸς Κύριος καὶ σφόδρα μέγας, καὶ θαυμαστὴ ἡ δυναστεία αὐτοῦ.

— *Βασιλειῶν* Β' 22, 32 καὶ 33. — *Παραλειπομένων* Β' 14, 11. 20, 6.— *Ἰὼβ* 9, 19. 12, 14-17. 37, 21-22. 38, 15-18. 22-23. 34-35. 40, 4-28. 41, 1-25. —*Ζαχαρίας* 8, 6.—*Ἰουδειθ* 9, 14. 13, 19.—*Μακκαβαίων* Β' 7, 17. 11, 13. Γ' 6, 12.— *Σοφία Σολομῶντος* 10, 20. 11, 18. 21. 12, 12. 14. 14, 4.— *Ἡσαΐας* 41, 18. 46, 10-11. 50, 2. 59, 1.— *Ἱερεμίας* 27, 44. 29, 19. 39, 18. καὶ ἑξ. — *Δανιὴλ* 3, 17.—*Ματθαῖος* 19, 16.—*Λουκᾶς* 1, 37.=*Ὅμηρος* Ἰλ. Ι 25. Υ 243. Ὀδύσσ. γ 231. δ 237. ε 4. κ 306. ψ 11-13. — *Ὀμηρικοὶ ὕμνοι* 5, 148. — *Πίνδαρος*, Ὀλυμπιονικῶν 13, 83. Πυθιονικῶν 10, 49. — *Αἰσχύλος*, Ἑπτὰ ἐπὶ Θήβας 166.—*Σοφοκλῆς*, Αἴας 86. 118. Ἠλέκτρα 696. — *Κλεάνθης*, Ὕμνος εἰς Δία, στίχ. 1. 6. 9 (Mullach 1, 151). — *Πλάτων*, Νόμοι 944 D. Ἀλκυών, κεφ. 4.—*Ξενοφῶν*, Κύρου Παιδεία 8, 7, 22. Συμπόσιον 4, 48. — *Κωμικῶν ἀδέσποτα*, ἀπόσπ. 1266 (Kock 3, 618).—*Πλούταρχος*, περὶ τῶν ἀρεσκόντων φιλοσόφοις κτλ. 880 F καὶ ἑξ. —*Γαληνός*, περὶ τῶν καθ' Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων (ἔκδ. Kuhn, τόμ. 5, σελ. 787 καὶ 791. ἔκδ. Ivan Müller, τόμ. 1, σελ. 806 καὶ 811).— *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 5, 14 (ἔκδ. Potter, σελ. 708 καὶ 728). — *Εὐσέβιος*, Προπαρασκευὴ Εὐαγγελική 13, 13, 60 κτλ. σελ. 689 α καὶ ἑξ. — *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 4, 12, 15.—*Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 31 (ἔκδ. Dübner, σελ. 100, στίχ. 54 καὶ σελ. 102, στίχ. 30).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

2. Ἡσαΐας 66, 1.

Οὕτως λέγει Κύριος· ὁ οὐρανός μου θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου.

3. Ἰουδεὶθ 16, 13.

Ὑμνήσω τῷ Κυρίῳ ὕμνον καινόν. Κύριε, μέγας εἶ, καὶ ἔνδοξος, θαυμαστὸς ἐν ἰσχύϊ, ἀνυπέρβλητος. Σοὶ δουλευσάτω πᾶσα ἡ κτίσις σου· ὅτι εἶπας, καὶ ἐγεννήθησαν· ἀπέστειλας τὸ πνεῦμά σου, καὶ ᾠκοδόμησε· καὶ οὐκ ἔστιν ὡς ἀντιστήσεται τῇ φωνῇ σου. Ὄρη γὰρ ἐκ θεμελίων σὺν ὕδασι σαλευθήσεται, πέτραι δὲ ἀπὸ προσώπου σου ὡς κηρὸς τακήσονται.

4. Ἰὼβ 9, 5.

Τίς σκληρὸς γενόμενος ἐναντίον αὐτοῦ ὑπέμεινεν; Ὁ παλαιῶν ὄρη, καὶ οὐκ οἴδασιν, ὁ καταστρέφων αὐτὰ ἐν ὀργῇ· ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στῦλοι αὐτῆς σαλεύονται· ὁ λέγων τῷ ἡλίῳ μὴ ἀνατέλλειν, καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει· ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ἐπὶ θαλάσσης, ὡς ἐπ' ἐδάφους· ὁ ποιῶν Πλειάδα καὶ Ἕσπερον καὶ Ἀρκτοῦρον καὶ ταμεῖα νότου· ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξα τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός.

5. Ψαλτήριον 144, 3.

Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.

6. Μαλαχίας 1, 14.

Μέγας βασιλεὺς ἐγώ εἰμι, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ ὄνομά μου ἐπιφανὲς ἐν τοῖς ἔθνεσιν.

7. Λογγῖνος, περὶ ὕψους, κεφ. 9, ἐδάφ. 8.

Ἄχραντόν τι καὶ μέγα τὸ δαιμόνιον ὡς ἀληθῶς καὶ ἄκρατον.

8. Ξενοφῶν, παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ, Στρωματεῖς 5, 14 (ἔκδ. Potter, σελ. 714).

Ὁ γοῦν πάντα σείων καὶ ἀτρεμίζων, ὡς μὲν μέγας τις καὶ δυνατὸς φανερός· ὁποῖος δέ τις τὴν μορφὴν ἀφανής.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

9. Ψαλτήριον 67, 8.

Ὁ Θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ — Γῆ ἐσείσθη.

10. Ὅμηρος, Ἰλ. Ξ 284.

Τὼ δ' ἐπὶ χέρσου—ἡ Ἥρα καὶ ὁ Ὕπνος—
βήτην, ἀκροτάτη δὲ ποδῶν ὕπο σείετο ὕλη.

11. Ψαλτήριον 96, 1-5.

Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ .. Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ, εἶδε καὶ ἐσαλεύθη ἡ γῆ.

12. Σιρὰχ 16, 18.

Ἰδοὺ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ, ἄβυσσος καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἐν τῇ ἐπισκοπῇ αὐτοῦ σαλευθήσονται· ἅμα τὰ ὄρη καὶ τὰ θεμέλια τῆς γῆς, ἐν τῷ ἐπιβλέψαι εἰς αὐτά, τρόμῳ συσσείονται.

13. Ὅμηρος, Ἰλ. Α 528.

Ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων·
ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος
κρατὸς ἀπ' ἀθανάτοιο, μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.

14. Ψαλτήριον 76, 17-19.

Εἴδοσάν σε ὕδατα ὁ Θεός, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν· καὶ ἐταράχθησαν ἄβυσσοι . . φωνὴν ἔδωκαν αἱ νεφέλαι . . Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ, ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ· ἐσαλεύθη καὶ ἔντρομος ἐγεννήθη ἡ γῆ.

15. Ὅμηρος, Ἰλ. Υ 56.

Δεινὸν δὲ βρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε
ὑψόθεν· αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξεν
γαῖαν ἀπειρεσίην ὀρέων τ' αἰπεινὰ κάρηνα.
πάντες δ' ἐσείοντο πόδες πολυπίδακος Ἴδης
καὶ κορυφαί, Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν.
ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀιδωνεύς,
δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ὕπερθεν
γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων.

16. Ψαλτήριον 103, 31. 113, 3.

Ἔστω ἡ δόξα Κυρίου εἰς τὸν αἰῶνα· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται — Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.

17. Ὅμηρος, Ἰλ. Ν 17.

Αὐτίκα δ' ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος,
κραιπνὰ ποσὶ προβιβάς· τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη
ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος . .
βῆ δ' ἐλάαν ἐπὶ κύματ'. ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα·
γηθοσύνη δὲ θάλασσα διίστατο. 1)

κδ'. Ἀόρατος ὁ Θεός.

Οὐδεὶς οὐδέποτε εἶδε τὸν Θεόν, οὐδεὶς οὐδέποτε δύναται διὰ τῶν ὀφθαλμῶν αὐτοῦ νὰ ἴδῃ αὐτόν. Ἀόρατος διὰ τῶν αἰσθήσεων ὁ Θεὸς καὶ ἀθεώρητος διὰ τῶν ὀφθαλμῶν, εἶνε ὁρατὸς μόνον διὰ τοῦ λογισμοῦ καὶ θεωρητὸς μόνον διὰ τοῦ νοῦ. Ἐναργῆ καὶ πᾶσι τοῖς ἀνθρώποις αἰσθητὰ εἶνε μόνον τὰ ἔργα αὐτοῦ. Αὐτὸς δύναται νὰ θεωρηθῇ μόνον διὰ τοῦ καλλίστου καὶ καθαρωτάτου καὶ νοερωτάτου καὶ πρεσβυτάτου τῆς ψυχῆς· τοῦτο δὲ ἕνεκα τῆς πρὸς αὐτὸν ὁμοιότητος καὶ συγγενείας αὐτῆς. Τὰ τοῦ ἀνθρώπου πάντα εὐδοκίᾳ τοῦ Θεοῦ συντελοῦνται. Οὗτος εἶνε ἀόρατος· πυκνὸν νέφος καλύπτει αὐτόν, αἱ δὲ κόραι τῶν ὀμμάτων τῶν θνητῶν εὑρισκόμεναι ἐντὸς ὀφθαλμῶν θνητῶν ἀδυνατοῦσι νὰ ἴδωσιν αὐτόν. Καὶ πῶς εἶναι δυνατὸν νὰ ἴδωσιν αὐτόν; Ὁ χρυσοῦς θρόνος αὐτοῦ εὑρίσκεται εἰς τὸν οὐρανόν, οἱ πόδες αὐτοῦ βαίνουσιν ἐπὶ τῆς γῆς, ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ φθάνει εἰς τὰ πέρατα τῆς θαλάσσης· περὶ αὐτὸν τὰ ὄρη τρέμουσιν, οἱ ποταμοὶ συνταράσσονται, ὁ βαθὺς πυθμὴν τῆς θαλάσσης διασείεται. Ὁ συντάττων καὶ συνέχων τὸν πάγκαλον τοῦτον κόσμον, ἀόρατος αὐτός, καθορᾶται ἐν τοῖς

1) Ἔτι *Ἔξοδος* 18, 11.—*Δευτερονόμιον* 7, 21. 10, 17. 11, 2.—*Κριταὶ* 5, 4-6.—*Βασιλειῶν* Β' 7, 21-22.—*Παραλειπομένων* Α' 16, 25. Β' 2, 5-6. 6, 18.—*Νεεμίας* 1, 5. 4, 14. 8, 6. 9, 32.—*Ἐσθὴρ* 8, 13.—*Ἰὼβ* 9, 4.—*Ψαλτήριον* 134, 5 καὶ ἑξ.—*Τωβὶτ* 13, 4.—*Μακκαβαίων* Γ' 3, 11. 5, 25. 7, 2 καὶ 22.—*Σιρὰχ* 2, 18. 18, 4-5. 33, 8. 39, 6 καὶ 15. 43, 5-33. 44, 3. 46, 5.—*Παροιμίαι* 18, 10.—*Ἡσαΐας* 26, 4. 33, 22. 64, 1.—*Ἱερεμίας* 10, 6. 28, 15. 39, 18.—*Δανιὴλ* 2, 45. 9, 4. 12, 41.—*Ναοὺμ* 1, 3-6.—*Ἀμβακούμ*, προσευχή, 6.—*Αἰσχύλος*, Ἀποσπάσματα, 452 (ἔκδ. Nauck, σελ. 100. ἔκδ. Dindorf, τὸ τελευταῖον πάντων, σελ. 167). — *Ξενοφῶν*, Ἀπομνημονεύματα 4, 3, 13. — *Εὐσέβιος*, Προπαρασκευὴ Εὐαγγελική, βιβλ. 13, κεφ. 13, ἐδ. 36 καὶ 60. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 5, 14 (ἔκδ. Potter, σελ. 715). Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 6 (Potter, σελ. 62).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔργοις αὐτοῦ τοῖς θαυμασίοις. Τιμῶσι δ' οὐχ ἥκιστα οἱ ἄνθρωποι τὸν Θεὸν ὡς ὑπάρχοντα καὶ διέποντα τὰ σύμπαντα βλέποντες φανερὰ τὰ πάγκαλα ἔργα αὐτοῦ καὶ πεῖραν καθ' ἑκάστην λαμβάνοντες τῆς μεγάλης δυνάμεως αὐτοῦ, ἀπαράλλακτα ὅπως τιμῶσι καὶ τὴν ἐπίσης ἀόρατον ψυχὴν βλέποντες φανερὰ τὰ θαυμάσια ἔργα αὐτῆς καὶ πεῖραν καθ' ἑκάστην λαμβάνοντες τῆς ἐξαισίας δυνάμεως αὐτῆς.

1. Ἰωάννης 1, 18.

Θεὸν οὐδεὶς ἑώρακε πώποτε.

2. Παῦλος, πρὸς Τιμόθεον Α΄ 6, 15.

Ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται.

3. Ἀριστοτέλης, περὶ Κόσμου πρὸς Ἀλέξανδρον 399, α, 30.

Ὁ πάντων ἡγεμών τε καὶ γενέτωρ, ἀόρατος.. ἄλλῳ πλὴν λογισμῷ.

4. Ὄνατος, παρὰ Διογένει τῷ Λαερτίῳ, (Ἐκλογαί, Φυσικά, βιβλ. 1, κεφ. 2, ἀριθμ. 39, σελ. 94).

Ὁ μὲν ὢν θεὸς αὐτὸς οὔτε ὁρατὸς οὔτε αἰσθητός, ἀλλὰ λόγῳ μόνον καὶ νόῳ θεωρητός· τὰ δ' ἔργα αὐτῶ καὶ ταὶ πράξιες ἐναργέες τε καὶ αἰσθηταὶ ἐντὶ πάντεσιν ἀνθρώποις.

5. Μάξιμος ὁ Τύριος, λογ. 17, 9.

Τὸ θεῖον αὐτὸ ἀόρατον ὀφθαλμοῖς, ἄρρητον φωνῇ, ἀναφὲς σαρκί, ἀπευθὲς ἀκοῇ, μόνῳ δὲ τῷ τῆς ψυχῆς καλλίστῳ καὶ καθαρωτάτῳ καὶ νοερωτάτῳ καὶ κουφοτάτῳ καὶ πρεσβυτάτῳ ὁρατὸν δι' ὁμοιότητα, καὶ ἀκουστὸν διὰ συγγένειαν, ὅλον ἀθρόον ἀθρόᾳ συνέσει παραγινόμενον.

6. Ὀρφικά, ἀπ. 1, στίχ. 13 (Mullach 1, 166).

Οὐδέ τις ἔσθ' ἕτερος χωρὶς μεγάλου βασιλῆος.
αὐτὸν δὲ οὐχ ὁρόω· πέρι γὰρ νέφος ἐστήρικται.
πᾶσιν γὰρ θνητοῖς θνηταὶ κόραι εἰσὶν ἐν ὄσσοις,
ἀσθενέες δὲ ἰδέειν Δία τὸν πάντων μεδέοντα.
οὗτος γὰρ χάλκειον ἐς οὐρανὸν ἐστήρικται
χρυσέῳ ἐνὶ θρόνῳ, γαίης δ' ἔπι ποσσὶ βέβηκε,
χεῖρά τε δεξιτερὴν ἐπὶ τέρματος ὠκεανοῖο
πάντοθεν ἐκτέτακεν· περὶ γὰρ τρέμει οὖρεα μακρά,
καὶ ποταμοί, πολιῆς τε βάθος χαροποῖο θαλάσσης,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

7. Ξενοφῶν, Ἀπομνημονεύματα 4, 3, 13.

Ὁ τὸν ὅλον κόσμον συντάττων καὶ συνέχων, ἐν ᾧ πάντα καλὰ καὶ ἀγαθά ἐστι . . οὗτος τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τάδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν.

8. Μάρκος Ἀντωνῖνος, Τῶν εἰς ἑαυτὸν 12, κη΄.

Πρὸς τοὺς ἐπιζητοῦντας, «Ποῦ γὰρ ἰδὼν τοὺς θεούς, ἢ πόθεν κατειληφὼς ὅτι εἰσίν, οὕτω σέβεις;» πρῶτον μὲν καὶ ὄψει ὁρατοί εἰσιν· ἔπειτα μέντοι οὐδὲ τὴν ψυχὴν τὴν ἐμαυτοῦ ἑώρακα, καὶ ὅμως τιμῶ. Οὕτως οὖν καὶ τοὺς θεούς, ἐξ ὧν τῆς δυνάμεως αὐτῶν ἑκάστοτε πειρῶμαι, ἐκ τούτων, ὅτι τε εἰσί, καταλαμβάνω, καὶ αἰδοῦμαι.

9. Ἀριστοτέλης, περὶ Κόσμου πρὸς Ἀλέξανδρον 399, 6, 10.

Οὕτω χρὴ περὶ τοῦ σύμπαντος φρονεῖν· ὑπὸ γὰρ μιᾶς ροπῆς ὀτρυνομένων ἁπάντων γίνεται τὰ οἰκεῖα, καὶ ταύτης ἀοράτου καὶ ἀφανοῦς. ὅπερ οὐδαμῶς ἐστιν ἐμπόδιον οὔτε ἐκείνῃ πρὸς τὸ δρᾶν οὔτε ἡμῖν πρὸς τὸ πιστεῦσαι· καὶ γὰρ ἡ ψυχή, δι' ἣν ζῶμέν τε καὶ οἴκους καὶ πόλεις ἔχομεν, ἀόρατος οὖσα τοῖς ἔργοις αὐτῆς ὁρᾶται· πᾶς γὰρ ὁ τοῦ βίου διάκοσμος ὑπὸ ταύτης εὑρηται καὶ διατέτακται καὶ συνέχεται, γῆς ἀρόσεις καὶ φυτεύσεις, τέχνης ἐπίνοιαι, χρήσεις νόμων, κόσμος πολιτείας, ἔνδημοι πράξεις, ὑπερόριος πόλεμος, εἰρήνη. ταῦτα χρὴ καὶ περὶ θεοῦ διανοεῖσθαι, δυνάμει μὲν ὄντος ἰσχυροτάτου, κάλλει δὲ εὐπρεπεστάτου, ζωῇ δὲ ἀθανάτου, ἀρετῇ δὲ κρατίστου, διότι πάσῃ θνητῇ φύσει γενόμενος ἀθεώρητος ἀπ' αὐτῶν τῶν ἔργων θεωρεῖται. τὰ γὰρ πάθη, καὶ τὰ δι' ἀέρος ἅπαντα καὶ τὰ ἐπὶ γῆς καὶ τὰ ἐν ὕδατι, θεοῦ λέγοιτ' ἂν ὄντως ἔργα εἶναι, τοῦ τὸν κόσμον ἐπέχοντος· ἐξ οὗ κατὰ τὸν φυσικὸν Ἐμπεδοκλέα

πάνθ' ὅσα τ' ἦν ὅσα τ' ἐστὶν ὅσα τ' ἔσται ὀπίσσω,
δένδρεά τ' ἐβλάστησε καὶ ἀνέρες ἠδὲ γυναῖκες.
θῆρές τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς. 1)

---

6. Ἔτι Ἔξοδος 33, 20-23.—Σιρὰχ 43, 31.—Παῦλος, πρὸς Τιμόθεον Α΄. 1, 17. = Ὀρφικά, ἀπ. 1, στίχ. 9. ἀπ. 12, στίχ. 12 καὶ 20 (Mullach 1, 166).—Τίμαιος ὁ Λοκρός, περὶ ψυχᾶς κόσμου καὶ φύσιος 96 C. — Ξενοφῶν, Ἀπομνημονεύματα 1, 4, 9.—Γαληνός, περὶ τῶν καθ' Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων (ἔκδ. Kuhn, τόμ. 5, σελ. 789-790. ἔκδ. Ivan Müller, τόμ. 1, σελ. 809-810).— Πλούταρχος, περὶ Ἴσιδος καὶ Ὀσίριδος 376 C.—Κλήμης ὁ Ἀλεξανδρεύς, Ἀποσπάσματα, μέρ. 16. ἀριθ. 7 (ἔκδ. Migne, τόμ. 2, σελ. 768 A).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κε'. Ἀνεξερεύνητα τὰ κρίματα καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ τοῦ Θεοῦ.

Οὐδεὶς δύναται νὰ ἐξιχνιάσῃ τὸν νοῦν τοῦ Θεοῦ καὶ τὸ ἅγιον θέλημα αὐτοῦ, δημιουργήσαντος τοιοῦτον τὸν κόσμον καὶ τοσοῦτον, δημιουργήσαντος τοιαύτας τὰς δυνάμεις αὐτοῦ καὶ τοσαύτας, δημιουργήσαντος τοιοῦτον τὸν τρόπον τῆς ἀμοιβαίας τῶν πάντων ἐπικοινωνίας καὶ συμπαθείας, δημιουργήσαντος τοιούτους τοὺς νόμους τῆς διαβιώσεως τῶν συμπάντων καὶ τοσούτους. Οὐδεὶς δύναται νὰ ἐννοήσῃ τὸν σκοπόν, ὃν προέθετο ὁ δημιουργὸς τῶν πάντων διὰ τῆς δημιουργίας τοῦ πρὸ τῶν ὀφθαλμῶν ἡμῶν κόσμου· οὐδεὶς τὸ τέλος, πρὸς ὃ βαίνει οὗτος· οὐδεὶς τὸν σκοπὸν τῆς ὑπάρξεως αὐτοῦ. Δὲν ἠδύνατο ἆρά γε καὶ νὰ μὴ ὑπάρχῃ ὁ κόσμος; Δὲν ἠδύνατο ἆρά γε νὰ δημιουργηθῇ καὶ κατ' ἄλλον τρόπον; Μόνον ὁ τοιοῦτος τρόπος τῆς δημιουργίας ἦτο δυνατός; Ἡ ἀνθρωπίνη σοφία οὐδὲν τούτων εἶνε δυνατὸν νὰ ἐννοήσῃ. Ἐν τοῖς τοιούτοις οὐδὲν διαφέρει ὁ σοφώτατος τοῦ ἀσοφωτάτου. Ἡ ἐν τοῖς τοιούτοις διαφορὰ τῆς σοφίας τῶν ἀνθρώπων εἶνε μηδαμινή. Καὶ ὁ σοφώτατος καὶ ὁ ἀσοφώτατος οὐδὲν τούτων δύναται νὰ ἐννοήσῃ. Ἀνεξερεύνητα τὰ κρίματα καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ τοῦ Θεοῦ.

1. Ἡσαΐας 40, 12-13. 15. 17. 21. 26. 28.

Τίς ἐμέτρησε τῇ χειρὶ αὐτοῦ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; τίς ἔστησε τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ; Τίς ἔγνω νοῦν Κυρίου, καὶ τίς σύμβουλος αὐτοῦ ἐγένετο;—Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ροπὴ ζυγοῦ ἐλογίσθησαν καὶ ὡς σίελος λογισθήσονται; — Πάντα τὰ ἔθνη ὡς οὐδέν εἰσι, καὶ εἰς οὐθὲν ἐλογίσθησαν αὐτῷ — Οὐ γνώσεσθε; οὐκ ἀκούσεσθε, οὐκ ἀνηγγέλη ἐξ ἀρχῆς ὑμῖν; οὐκ ἔγνωτε τὰ θεμέλια τῆς γῆς;—Ἀναβλέψατε εἰς τὸ ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε, τίς κατέδειξε πάντα ταῦτα; — Θεὸς αἰώνιος, Θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς . . οὐκ ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ.

2. Ἱερεμίας 23, 18.

Τίς ἔστη ἐν ὑποστήματι Κυρίου, καὶ ἴδε καὶ ἤκουσε τὸν λόγον αὐτοῦ; τίς ἐνωτίσατο τὸν λόγον αὐτοῦ, καὶ ἤκουσε;

3. Σοφία Σολομῶντος 9, 13. 16.

Τίς γὰρ ἄνθρωπος γνώσεται βουλὴν Θεοῦ; ἢ τίς ἐνθυμηθήσεται τί θέλει ὁ Κύριος;— Τὰ δὲ ἐν οὐρανοῖς τίς ἐξιχνίασε; Βουλὴν δέ σου τίς ἔγνω;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4. Παῦλος, πρὸς Ῥωμαίους 11, 33.

Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ. ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. «τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο»;

5. Πίνδαρος, ἀπ. 61.

Τί δ' ἔλπεαι σοφίαν ἔμμεν, ᾧ τ' ὀλίγον τοι
ἀνὴρ ὑπὲρ ἀνδρὸς ἰσχύει;
οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνάσει βροτεᾷ φρενί·
δστις καρπὸν ἀρούρας αἴνυται, θνατᾶς τ' ἀπὸ ματρὸς ἔφυ.

6, Ὅμηρος, Ὀδύσ. ψ 80.

Τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετάων
δήνεα εἰρυσθαι, μάλα περ πολύϊδριν ἐοῦσαν.

7. Εὐριπίδης, Ἰφιγένεια ἐν Ταύροις 476.

Πάντα γὰρ τὰ τῶν θεῶν
εἰς ἀφανὲς ἕρπει, κοὐδὲν οἶδ' οὐδείς..
ἡ γὰρ τύχη παρήγαγ' ἐς τὸ δυσμαθές. 1)

κς'. Ὁ Θεὸς πατὴρ τῶν ἀνθρώπων.

Ὁ Θεὸς ὁ ἐν οὐρανοῖς εἶνε πατὴρ τῶν ἀνθρώπων. Πατὴρ ἡμῶν ὁ κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὁ μέγιστος καὶ ἁγιώτατος Θεός, εὐδοκίᾳ τοῦ ὁποίου συντελοῦνται πάντα καὶ διαπεραίνονται ὅσα ἐπιποθεῖ μὲν ἐνδομύχως ἡ ψυχή, σιγᾷ δὲ τὸ στόμα. Παντοδύναμος ὁ ἐν οὐρανοῖς πατὴρ ἡμῶν καὶ ἀριστοτέχνης, σεβαστότατος τοῖς ἀνθρώποις, μεριμνῶν περὶ τῆς ψυχῆς ἡμῶν καὶ ἐπισκοπῶν τὰ ἔργα ἡμῶν. Ἐγενό-

1) Ἔτι *Ἰουδεὶθ* 8, 13-14.—*Σιρὰχ* 11, 4. 16, 20. 18, 4-8.—*Ἰὼβ* 5, 9. 9, 10. 15, 8.—*Παῦλος*, πρὸς Κορινθίους Α' 2, 16. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 5, 14 (ἔκδ. Potter,, σελ. 726-727).—*Εὐσέβιος* Προπαρασκευὴ Εὐαγγελικὴ 13, 13, 56 καὶ ἑξῆς, σελ. 688, 6 καὶ ἑξ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μεθα ὑπ' αὐτοῦ, βασιλευόμεθα ὑπ' αὐτοῦ καὶ αὐτὸς εἶνε κοινὸς πατὴρ πάντων ἡμῶν· Οὐδεὶς εἶνε ὀρφανός· πάντες ἔχομεν φιλόστοργον καὶ ἄγρυπνον κηδεμόνα τὸν πατέρα ἡμῶν τὸν ἐν οὐρανοῖς· ὅταν δὲ πρὸς ἐκεῖνον ἀφορῶντες πράττωμεν ὅ τι πράττωμεν, δυνάμεθα πανταχοῦ καὶ πάντοτε εὐδαιμόνως νὰ διάγωμεν τὸν βίον ἡμῶν.

1. Ματθαῖος 6, 9.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

2. Μαλαχίας 2, 10.

Οὐχὶ Θεὸς εἷς ἔκτισεν ἡμᾶς; οὐχὶ πατὴρ εἷς πάντων ἡμῶν;

3. Ἰωάννης 8, 41.

Ἡμεῖς ἕνα πατέρα ἔχομεν, τὸν Θεόν.

4. Παῦλος, πρὸς Ἐφεσίους 4, 6.

Εἷς Θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ὑμῖν.

5. Ματθαῖος 11, 25.

Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς.

6. Παῦλος, πρὸς Κορινθίους Α'. 8, 6.

Ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν.

7. Ὅμηρος, Ἰλ. Γ 276.

Ζεῦ πάτερ, Ἰδηθεν μεδέων, κύδιστε μέγιστε.

8. Κλεάνθης, Ὕμνος εἰς Δία, στίχ. 31 (Mullach 1, 151).

Ἀλλὰ Ζεῦ πάνδωρε, κελαινεφές, ἀρχικέραυνε,
ἀνθρώπους ῥύοιο ἀπειροσύνης ἀπὸ λυγρῆς,
ἣν σύ, πάτερ, σκέδασον ψυχῆς ἄπο.

9. Πίνδαρος, Νεμεονικῶν 10, 29.

Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενί, σιγᾷ οἱ στόμα· πᾶν δὲ τέλος ἐν τὶν ἔργων.

10. Πίνδαρος, ἀπόσπ. 57.

Δωδωναῖε μεγάσθενες, ἀριστοτέχνα πάτερ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

11. Μελανιππίδης, ἀπόσπ. 6 (Bergk 3, 591).

Κλῦθι μοι, ὦ πάτερ, θαῦμα βροτῶν,
τᾶς ἀειζώου μεδέων ψυχᾶς.

12. Ἀρχίλοχος, ἀποσπ. 88 (Bergk 2, 408).

Ὦ Ζεῦ, πάτερ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος,
σὺ δ' ἔργ' ἐπ' ἀνθρώπων ὁρᾷς.

13. Πλούταρχος, Ἀλέξανδρος, κεφ. 27, σελ. 681.

Πάντες οἱ ἄνθρωποι βασιλεύονται ὑπὸ θεοῦ.. ὡς πάντων.. ὄντα κοινὸν ἀνθρώπων πατέρα τὸν θεόν.

14. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 1, 3, 1.

Γεγόναμεν ὑπὸ τοῦ θεοῦ πάντες προηγουμένως, καὶ ὁ θεὸς πατήρ ἐστι τῶν ἀνθρώπων.

15. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 3, 24, 15.

Ὁ Ἡρακλῆς.. ᾔδει ὅτι οὐδείς ἐστιν ἄνθρωπος ὀρφανός, ἀλλὰ πάντων ἀεὶ καὶ διηνεκῶς ὁ πατὴρ ἐστιν ὁ κηδόμενος. Οὐ γὰρ μέχρι λόγου ἠκηκόει ὅτι πατήρ ἐστιν ὁ Ζεὺς τῶν ἀνθρώπων, ὅς γε καὶ αὐτοῦ πατέρα ᾕρετο αὐτόν, καὶ ἐκάλει, καὶ πρὸς ἐκεῖνον ἀφορῶν ἔπραττεν ἃ ἔπραττε. Τοιγάρτοι πανταχοῦ ἐξῆν αὐτῷ διάγειν εὐδαιμόνως. 1)

---

1) Ἔτι *Δευτερονόμιον* 32, 6.—*Ἡσαΐας* 63, 16. —*Ματθαῖος* 6, 1. 4. 6. 8. 15. 18. 26. 32. 7, 11. 23, 9.— *Ἰωάννης* 20, 17.— *Λουκᾶς* 6, 36. 11, 13. 12, 30.— *Μάρκος* 11, 25. 26.=*Ὅμηρος* Ἰλ. Ζ 259. Η 203. Θ 236. Ν 631. Ο 372. Υ 56. Ω 308. Ὀδύσσ. μ 371. 445. υ 98. 112.— *Πίνδαρος*, Πυθιονικῶν 3, 98. Ὀλυμπιονικῶν 7, 87. Νεμεονικῶν 8, 35.—*Ὀρφικά*, ἀπ. 38 καὶ 39 (Mullach 1, 183).— *Σοφοκλῆς*, Τραχίνιαι 275. Οἰδίπους Τύραννος 202.—*Πλούταρχος*, Πελοπίδας, κεφ. 21, σελ. 289. — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 5, 15 (ἔκδ. Potter, σελ. 710-711).—*Μάξιμος* ὁ Τύριος, λόγ. 17, 5.—*Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 1, 6, 40. 1, 9, 7. 1, 13, 3 καὶ 4. 3, 22, 82. 4, 1, 154. 4, 10, 16. — *Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, Προοίμιον, σελ. 4-8 (ἔκδ. Dübner, σελ. 1, στίχ. 23).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κζ'. Ὁ ἄνθρωπος κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν.

Ὁ Θεὸς ἐποίησε τὸν ἄνθρωπον κατ' εἰκόνα αὐτοῦ καὶ ὁμοίωσιν. Ὁ Θεὸς κατ' εἰκόνα τῆς ἰδίας αὐτοῦ ἀϊδιότητος ἐποίησε τὸν ἄνθρωπον. Ἡ οὐσία τῆς ἀνθρωπίνης ὑποστάσεως εἶνε ἡ αὐτὴ τῇ οὐσίᾳ τοῦ Θεοῦ, καθ' ὁμοίωσιν τοῦ ὁποίου ἐγένετο, ἡ δικαιοσύνη δηλ. καὶ ἡ ἀλήθεια. Ἡ ψυχή, ἐν ᾗ ἡ οὐσία τοῦ ἀνθρώπου κεῖται εἶνε ἀόρατος, ὡς ἀόρατος εἶνε καὶ ὁ Θεός, κατ' εἰκόνα τοῦ ὁποίου ἐπλάσθη. Ὅμοιον τῷ Θεῷ πρέπει ἕκαστος νὰ ὑπολαμβάνῃ ἑαυτόν. Οἱ ἀγαθοὶ ἄνδρες εἶνε τέλειαι εἰκόνες τοῦ Θεοῦ. Ὁ ἄνθρωπος εἶνε τὸ ἀριστούργημα τῆς δημιουργίας, ἅτε εἰργασμένος ὑπὸ τεχνίτου ἀρίστου, τεχνιτεύσαντος αὐτὸν κατὰ τὸ ἴδιον αὐτοῦ ἀρχέτυπον. Τὴν ἑαυτοῦ φωτοειδῆ μορφὴν ὁ Θεὸς ἀπετύπωσεν εἰς τὸν καθ' ὁμοίωσιν αὐτοῦ δημιουργηθέντα ἄνθρωπον, ὅστις εἶνε τούτου ἕνεκα ἡ ὁρατὴ εἰκὼν τοῦ ἀοράτου Θεοῦ.

1. Γένεσις 1, 26-27.

Καὶ εἶπεν ὁ Θεός, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν .. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς.

2. Σοφία Σολομῶντος 2, 23.

Ὁ Θεὸς ἔκτισε τὸν ἄνθρωπον ἐπ' ἀφθαρσίᾳ· καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν.

3. Παῦλος, πρὸς Ἐφεσίους 4, 24.

Ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας.

4. Ἰάκωβος, Ἐπιστολὴ καθολικὴ 3, 9.

Ἀνθρώπους τοὺς καθ' ὁμοίωσιν Θεοῦ γεγονότας.

5. Διόδωρος ὁ Ἀσπένδιος (Mullach 2, 112).

Τινὲς κατ' εἰκόνα θεοῦ τὸν ἄνθρωπον ἐνόμισαν κατὰ τὸ τῆς ψυχῆς ἀόρατον πεπλάσθαι.

6. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 1, 12, 21.

Ἔδει δέ . . ὁμοιφν τοῖς θεοῖς ἡγεῖσθαι σαυτόν.

7. Διογένης ὁ Σινωπεύς, παρὰ Διογένει τῷ Λαερτίῳ (6, 2, 51).

Διογένης ὁ Σινωπεὺς ἔλεγε — τοὺς ἀγαθοὺς ἄνδρας θεῶν εἰκόνας εἶναι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

8. Εὔρυσος ὁ Πυθαγόρειος (Mullach 2, 112).

Τὸ δὲ σκᾶνος τοῖς λοιποῖς ὅμοιον, οἷα γεγονὸς ἐκ τᾶς αὐτᾶς ὕλας, ὑπὸ τεχνίτα δὲ εἰργασμένον λώστω, ὃς ἐτεχνίτευσεν αὐτὸ ἀρχετύπῳ χρώμενος ἑαυτῷ.

9. Κλήμης ὁ Ἀλεξανδρεύς, ἀπ. 16, 7 (ἔκδ. Migne, τόμ. 2, σελ. 768 A).

Τῇ ἑαυτοῦ φωτοειδεῖ μορφῇ ὁ Θεός, ὡς ἐν σφραγῖδι μεγίστῃ, τὸν ἐν ὁμοιώματι ἄνθρωπον ἐνετυπώσατο, ὅπως ἂν πάντων ἄρχῃ καὶ κυριεύῃ . . διὸ κρίνεται ὁ Θεὸς εἶναι τὸ πᾶν αὐτὸν καὶ τὴν ἑαυτοῦ εἰκόνα τὸν ἄνθρωπον. Οὗτος ἀόρατος, ἡ δὲ αὐτοῦ εἰκών, ὁ ἄνθρωπος, ὁρατός. 1)

κη'. Οἱ ἄνθρωποι συγγενεῖς, τέκνα, φίλοι, ναὸς τοῦ Θεοῦ.

Τὴν καταγωγὴν αὐτοῦ ἕλκει ὁ ἄνθρωπος ἐκ τοῦ Θεοῦ. Ὁ Θεὸς δὲν εἶνε ὅμοιος μὲ τὰ ἄψυχα ἐκ χρυσοῦ καὶ ἀργύρου καὶ μαρμάρου ἀγάλματα, ἀλλὰ μὲ τὸν ἄνθρωπον, ὅστις ἔχει ἔμφυτόν τινα κοινωνίαν πρὸς τὸν οὐρανόν, διαγινωσκομένην ἅμα διασκεδασθέντος τοῦ ἐκ τῆς ἀμαθείας σκότους. Μόνον ὁ ἄνθρωπος ἐκ πάντων τῶν ἐπὶ τῆς γῆς ζώντων εἶνε ἀπομίμημα τοῦ Θεοῦ, ὅπερ ἀριδήλως ἐμφαίνει τὴν ἐξ αὐτοῦ καταγωγὴν αὐτοῦ. Ἐκ τῆς αὐτῆς ἀρχῆς ὁ Θεὸς καὶ ὁ ἄνθρωπος. Καὶ διαφέρουσι μὲν σφόδρα ὡς πρὸς τὸν βαθμὸν τῆς ἰσχύος, ὁμοιάζουσι δὲ οὐκ ὀλίγον ὡς πρὸς τὸν νοῦν καὶ τὴν φύσιν. Εἴμεθα συγγενεῖς τοῦ Θεοῦ, ἅτε ἐξ αὐτοῦ καταγόμενοι· ἐνταῦθα δὲ κεῖται ἀκριβῶς ὁ λόγος τῆς περὶ ὑπάρξεως αὐτοῦ πίστεως σύμπαντος τοῦ ἀνθρωπίνου γένους καὶ τῶν τιμῶν, δι' ὧν πανταχοῦ τῆς γῆς τιμᾶται ὁ Θεός. Ἐκ τῶν ἐν ἡμῖν ὁ νοῦς εἶνε συγγενὴς τοῦ Θεοῦ· καὶ διὰ τοῦτο αὐτὸς εἶνε ὁ ἄρχων ἡμᾶς ἀπὸ τῆς γῆς πρὸς τὸν οὐρανόν, τὴν ἀρχικὴν πατρίδα τῆς ψυχῆς, καθόσον ὁ ἄνθρωπος εἶνε φυτὸν οὐκ ἔγγειον, ἀλλ' οὐράνιον. Τέκνα τοῦ Θεοῦ, εἰμεθα· ἀπ' αὐτοῦ κατέπεσον ἐπὶ τῆς γῆς τὰ σπέρματα πάντων τῶν ὄντων, λογικῶν τε καὶ ἀλόγων. Ἀλλὰ κατὰ προτίμησιν πρῶτον ἔπεσον τὰ σπέρματα τῶν λογικῶν ὄντων, καθότι μόνον ταῦτα, τῆς κοινῆς λογικότητος ἕνεκα, εὑρίσκονται εἰς διηνεκῆ ἐπικοινωνίαν μετὰ τῆς πηγῆς πάσης λογικότητος, μετὰ τοῦ Θεοῦ. Οἱ δίκαιοι καὶ οἱ ἐνάρετοι εἶνε ὅμοιοι τῷ ἐπουρανίῳ Θεῷ. Οἱ ἄνθρωποι τὸ μὲν σῶμα ἔχουσι κοινὸν πρὸς τὰ ζῶα,

1) Ἔτι *Γένεσις* 5, 1. 9, 6.—*Σιράχ* 17, 3.—*Παῦλος*, πρὸς Κορινθίους Α' 11, 7. πρὸς Κολοσσαεῖς 3, 10.=*Πίνδαρος*, Νεμεονικῶν 6, 4.—*Κλεάνθης*, Ὕμνος εἰς Δία, στίχ. 4 (Mullach 1, 151).— *Κλήμης ὁ Ἀλεξανδρεύς*, Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 1. 4. 10. 12 (ἔκδ. Potter, σελ. 5. 52. 78. 94). Παιδαγωγός, κεφ. 12 (Potter, σελ. 157).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν δὲ λόγον καὶ τὴν γνώμην πρὸς τὸν Θεόν· τούτου δ' ἕνεκα τινὲς μὲν ἀποκλίνουσι πρὸς τὴν συγγένειαν τῶν ζώων, ἄλλοι δὲ ἀποκλίνουσιν ἐπὶ τὴν θείαν καὶ μακαρίαν συγγένειαν. Δὲν εἶνε τέκνα τοῦ Θεοῦ οἱ σάρκινοι, ἀλλὰ μόνον οἱ ὑπὸ τοῦ πνεύματος τοῦ Θεοῦ ἀγόμενοι. Μόνον ἡ κοινότης τοῦ πνεύματος δηλοῖ τὴν συγγένειαν πρὸς τὸν Θεόν. Τέκνα τοῦ Θεοῦ εἶνε οἱ λαβόντες τοῦτο τὸ πνεῦμα καὶ οἱ ἀγαθοί. Ὁ Θεὸς καίτοι κοινὸς πατὴρ πάντων τῶν ἀνθρώπων, θεωρεῖ οὐχ ἧττον ὡς ἰδίους αὐτοῦ μόνον τοὺς ἀρίστους. Φίλοι τοῦ Θεοῦ εἶνε μόνον οἱ δίκαιοι· οἱ ἄδικοι οὐδαμῶς· οὗτοι εἶνε ἐχθροὶ τοῦ Θεοῦ. Οὐδένα ὁ Θεὸς ἄλλον ἀγαπᾷ εἰμὴ τοὺς σοφούς, τοὺς ἀγαπῶντας τὴν σοφίαν, καὶ τοὺς σώφρονας· μόνον οὗτοι εἶνε ὅμοιοι αὐτῷ. Ὁ Θεὸς πάντοτε ὠφελεῖ τοὺς ἀνθρώπους καὶ δὴ καὶ ὡς Θεὸς καὶ ὡς ἄνθρωπος· ὡς Θεὸς μὲν συγχωρῶν τὰ παραπτώματα ἡμῶν, ὡς ἄνθρωπος δὲ παιδαγωγῶν ἡμᾶς εἰς τὸ μὴ ἐξαμαρτάνειν. Ὁ Θεὸς εἶνε φίλος τῶν ἀνθρώπων, διότι οἱ ἄνθρωποι εἶνε πλάσματα αὐτοῦ. Οἱ ἄνθρωποι εἶνε ναὸς Θεοῦ, διότι τὸ πνεῦμα αὐτοῦ ἐνοικεῖ ἐν αὐτοῖς. Ὅστις φθείρει τὸν ναὸν τοῦτον τοῦ Θεοῦ, φθείρει καὶ ὁ Θεὸς τοῦτον ὡς ἐναγῆ καὶ ἱερόσυλον· διότι ὁ φθείρων ἄνθρωπον φθείρει τὸν ναὸν τοῦ Θεοῦ, ὅστις εἶνε ἅγιος. Ὁ ἐν τῷ ἀνθρώπῳ νοῦς εἶνε ὁ ναὸς τοῦ Θεοῦ, ὃν ἕκαστος ὕψιστον καθῆκον ἔχει νὰ παρασκευάζῃ καὶ κατακοσμῇ οὕτως, ὥστε νὰ καταστήσῃ αὐτὸν ἐπιτήδειον εἰς ὑποδοχὴν τοῦ Θεοῦ. Ψυχῆς ἀγνῆς τόπον οἰκειότερον ἐπὶ τῆς γῆς δὲν ἔχει ὁ Θεός.

1. Πράξεις τῶν Ἀποστόλων 17, 28.

Τοῦ γὰρ καὶ γένος ἐσμέν. γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον.

2. Κλήμης ὁ Ἀλεξανδρεύς, Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 2 (ἔκδ. Potter, σελ. 21).

Ἦν δέ τις ἔμφυτος ἀρχαία πρὸς οὐρανὸν ἀνθρώποις κοινωνία, ἀγνοίᾳ μὲν ἐσκοτισμένη, ἄφνω δέ που διεκθρώσκουσα τοῦ σκότους καὶ ἀναλάμπουσα.

3. Κλεάνθης, Ὕμνος εἰς Δία, στίχ. 2 - 5 (Mullach 1, 151).

Ζεῦ, φύσεως ἀρχηγέ, νόμου μέτα πάντα κυβερνῶν,
χαῖρε· σὲ γὰρ πάντεσσι θέμις θνητοῖσι προσαυδᾶν.
Ἐκ σοῦ γὰρ γένος ἐσμέν, ἐνὸς μίμημα λαχόντες
μοῦνον, ὅσα ζώει τε καὶ ἕρπει θνήτ' ἐπὶ γαῖαν.

4. Πίνδαρος, Νεμεονικῶν 6, 1.

Ἓν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν
μητρὸς ἀμφότεροι· διείργει δὲ πᾶσα κεκριμένα
δύναμις, ὡς τὸ μὲν οὐδέν, ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος
μένει οὐρανός. ἀλλά τι προσφέρομεν ἔμπαν
ἢ μέγαν νόον ἢτοι φύσιν ἀθανάτοις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 1, 9, 13 καὶ 25.

Συγγενεῖς τινες τοῦ θεοῦ ἐσμεν, κἀκεῖθεν ἐληλύθαμεν — Τοῦτ' ἔστιν ἄνθρωπος ταῖς ἀληθείαις συγγενὴς τῶν θεῶν.

6. Πλάτων, Νόμοι 899 D.

Ὦ ἄριστε .. ὅτι μὲν ἡγεῖ θεούς, συγγένειά τις ἴσως σε θεία πρὸς τὸ ξύμφυτον ἄγει τιμᾶν καὶ νομίζειν εἶναι.

7. Πλάτων, Τίμαιος 90 A.

Τὸ δὲ περὶ τοῦ κυριωτάτου παρ' ἡμῖν ψυχῆς εἴδους — τοῦ λογιστικοῦ δηλ. — διανοεῖσθαι δεῖ τῇδε, ὡς ἄρα αὐτὸ δαίμονα θεὸς ἑκάστῳ δέδωκε, τοῦτο ὃ δή φαμεν οἰκεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ τῷ σώματι, πρὸς δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν ὡς ὄντας φυτὸν οὐκ ἔγγειον ἀλλ' οὐράνιον, ὀρθότατα λέγοντες· ἐκεῖθεν γάρ, ὅθεν ἡ πρώτη τῆς ψυχῆς γένεσις ἔφυ, τὸ θεῖον τὴν κεφαλὴν καὶ ῥίζαν ἡμῶν ἀνακρεμαννὺν ὀρθοῖ πᾶν τὸ σῶμα.

8. Ἰωάννης, Ἐπιστολὴ καθολικὴ Α' 3, 1-3.

Ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατήρ, ἵνα τέκνα Θεοῦ κληθῶμεν .. ἀγαπητοί, νῦν τέκνα Θεοῦ ἐσμεν.

9. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 1, 9, 7 καὶ 4-6.

Τὸ δὲ τὸν θεὸν ποιητὴν ἔχειν καὶ πατέρα καὶ κηδεμόνα — ἀπ' ἐκείνου τὰ σπέρματα καταπέπτωκεν .. εἰς ἅπαντα μὲν τὰ ἐπὶ γῆς γεννώμενά τε καὶ φυόμενα, προηγουμένως δὲ εἰς τὰ λογικά (ὅτι κοινωνεῖν μόνον ταῦτα πέφυκε τῷ θεῷ τῆς συναναστροφῆς, κατὰ τὸν λόγον ἐπιπεπλεγμένα), διὰ τί μὴ εἴπῃ τις αὐτόν .. υἱὸν τοῦ θεοῦ;

10. Παῦλος, πρὸς Κορινθίους Α' 15, 44-50.

Ἔστι σῶμα ψυχικόν, καί ἐστι σῶμα πνευματικόν .. ἀλλ' οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν. ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκός· ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.

11. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 1, 3, 3.

Δύο ταῦτα ἐν τῇ γενέσει ἡμῶν ἐγκαταμέμικται, τὸ σῶμα μὲν κοι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νὸν πρὸς τὰ ζῷα, ὁ λόγος δὲ καὶ ἡ γνώμη κοινὸν πρὸς τοὺς θεούς· ἄλλοι μὲν ἐπὶ ταύτην ἀποκλίνουσι τὴν συγγένειαν τὴν ἀτυχῆ καὶ νεκράν· ὀλίγοι δέ τινες ἐπὶ τὴν θείαν καὶ μακαρίαν.

12. Παῦλος, πρὸς Ῥωμαίους 9, 8 καὶ 8, 14 καὶ 16.

Οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Θεοῦ—Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ . . αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ.

13. Ἰωάννης 1, 12.

Ὅσοι δὲ ἔλαβον αὐτὸν (τὸν λόγον), ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν.

14. Πλάτων, Κρατύλος 398 C.

Ταύτῃ οὖν τίθεμαι καὶ ἐγὼ πάντ' ἄνδρα, ὃς ἂν ἀγαθὸς ᾖ, δαιμόμονιον εἶναι καὶ ζῶντα καὶ τελευτήσαντα, καὶ ὀρθῶς δαίμονα καλεῖσθαι.

15. Πλούταρχος, Ἀλέξανδρος, κεφ. 27, σελ. 681.

Πάντες οἱ ἄνθρωποι βασιλεύονται ὑπὸ θεοῦ . . ὡς πάντων μὲν ὄντα κοινὸν ἀνθρώπων πατέρα τὸν θεόν, ἰδίους δὲ ποιούμενον ἑαυτοῦ τοὺς ἀρίστους.

16. Ἰάκωβος, Ἐπιστολὴ καθολικὴ 2, 23.

Ὁ Ἀβραάμ . . φίλος Θεοῦ ἐκλήθη.

17. Σοφία Σολομῶντος 5, 1 καὶ 5.

Ὁ δίκαιος . . κατελογίσθη ἐν υἱοῖς Θεοῦ, καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστιν.

18. Πλάτων, Πολιτεία 352 B.

Θεοῖς ἐχθρός . . ὁ ἄδικος, ὁ δὲ δίκαιος φίλος.

19. Σοφία Σολομῶντος 7, 28.

Οὐδένα γὰρ ὁ Θεὸς ἀγαπᾷ, εἰ μὴ τὸν σοφίᾳ συνοικοῦντα.

20. Διογένης Λαέρτιος 6, 2, 37.

Διογένης ὁ Σινωπεὺς ἔλεγε—τῶν θεῶν ἐστι πάντα, φίλοι δὲ οἱ σοφοὶ τοῖς θεοῖς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

21. Σιρὰχ 4, 14.

Τοὺς ἀγαπῶντας (σοφίαν) ἀγαπᾷ ὁ Κύριος.

22. Πλάτων, Νόμοι 716 D.

Ὁ σώφρων . . θεῷ φίλος, ὅμοιος γάρ.

23. Κλήμης ὁ Ἀλεξανδρεύς, Παιδαγωγὸς 1, 3 (Potter, σελ. 101 - 102).

Πάντα ὀνίνησιν ὁ Κύριος, καὶ πάντα ὠφελεῖ, καὶ ὡς ἄνθρωπος, καὶ ὡς Θεός· τὰ μὲν ἁμαρτήματα ὡς Θεὸς ἀφιείς, εἰς δὲ τὸ μὴ ἐξαμαρτάνειν παιδαγωγῶν ὡς ἄνθρωπος. Εἰκότως ἄρα φίλος ὁ ἄνθρωπος τῷ Θεῷ, ἐπεὶ καὶ πλάσμα αὐτοῦ ἐστι . . Φιλητὸς δὲ ὁ ἄνθρωπος . . Φιλεῖται . . πρὸς τοῦ Θεοῦ ὁ ἄνθρωπος . . αὐτὸς σαφῶς ὁ Κύριος ὁμολογῶν καὶ λέγων· Αὐτὸς γὰρ ὁ Πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε· καὶ πάλιν ὁ αὐτός· Καὶ ἠγάπησας αὐτούς, καθὼς ἐμὲ ἠγάπησας.

24. Παῦλος, πρὸς Κορινθίους Α′ 3, 16.

Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστέ, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς.

25. Πορφύριος, πρὸς Μάρκελλαν 19.

Σοὶ δέ, ὥσπερ εἴρηται, νεὼς μὲν ἔστω τοῦ Θεοῦ ὁ ἐν σοὶ νοῦς. παρασκευαστέον δὲ αὐτὸν καὶ κοσμητέον εἰς καταδοχὴν τοῦ Θεοῦ ἐπιτήδειον.

26. Δημόφιλος ὁ Πυθαγορικός, ἀπ. 45 (Mullach 1, 499).

Ψυχῆς ἀγνῆς τόπον οἰκειότερον ἐπὶ γῆς οὐκ ἔχει θεός. 1)

---

1) Ἔτι Ἰησοῦς Ναυῆ 1, 7. 13. 11, 12.—Βασιλειῶν Β′ 7, 14.—Παραλειπομένων Α′ 17, 13. 28, 6. Β′ 8, 14. 24, 9. 30, 16. — Ἔσδρας 3, 2.— Νεεμίας 1, 7. 12, 24. — Σιρὰχ 45, 1. 46, 13. — Ἡσαΐας 41, 9.— Παῦλος, πρὸς Κορινθίους Α′ 6, 19. 11, 7. πρὸς Φιλιππησίους 2, 15.—Λουκᾶς 6, 35. 11, 13. — Ματθαῖος 5, 9. 45. — Ἰωάννου Ἀποκάλυψις 20, 1 - 6. = Πλάτων, Φαῖδρος 246 D. Πολιτεία 518 Ε καὶ ἑξ. Φαίδων 69 C. 83 Ε καὶ ἑξ. Ἀλκιβιάδης Α′. 133 Β.— Ἀριστοτέλης, Ἠθικὰ Νικομάχεια 1179, α, 24 - 30. — Ξενοφῶν, Ἀπομνημονεύματα 3, 9, 15. 4,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κθ'. Πεποίθησις εἰς τὸν Θεόν.

Πάντες οἱ ἄνθρωποι πρέπει νὰ ἔχωσι πεποίθησιν εἰς τὸν Θεόν. Ὁ Θεὸς δύναται πάντα πολέμιον νὰ συνθραύσῃ, καὶ δι' ἑνὸς μόνον νεύματος ὅλον τὸν κόσμον νὰ καταβάλῃ. Ὅσοι ἔχουσι πεποίθησιν εἰς τὸν Θεόν, εὐδοκιμοῦσιν ἐν τῷ βίῳ. Ὅταν ὁ Θεὸς βοηθῇ τὸν ἄνθρωπον, οὐδεὶς οὐδέποτε δύναται νὰ βλάψῃ αὐτόν. Τὰ πάντα πρέπει νὰ ἀναθέτωσιν οἱ ἄνθρωποι εἰς τὸν Θεόν. Ἀπ' αὐτοῦ ἐξαρτᾶται ἡ τύχη αὐτῶν. Πολλάκις τοὺς ἐν ἐσχάτῃ ἀθλιότητι κειμένους ἀνορθοῖ ὁ Θεὸς καὶ πολλάκις τοὺς σφόδρα εὐδαιμονοῦντας ἀνατρέπει. Καὶ ἐν τῇ μεγίστῃ δυστυχίᾳ πρέπει νὰ ἔχῃ τις θάρρος, πεποιθὼς εἰς τὴν θείαν συναντίληψιν καὶ δικαιοσύνην. Ὅταν ὁ Θεὸς εἶνε σύμμαχος τοῦ ἀνθρώπου, οὐδεὶς φόβος ἐκ τῶν κακοβούλων καὶ τῶν πονηρῶν.

1. Μακκαβαίων Β' 8, 18.

Ἡμεῖς . . ἐπὶ τῷ παντοκράτορι Θεῷ, δυναμένῳ καὶ τοὺς ἐρχομένους ἐφ' ἡμᾶς, καὶ τὸν ὅλον κόσμον ἐν ἑνὶ νεύματι καταβαλεῖν πεποίθαμεν.

2. Σοφία Σολομῶντος 3, 9.

Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.

3. Ἡσαΐας 43, 3-5.

Ἐγὼ Κύριος ὁ Θεός σου ὁ ἅγιος . . ὁ σώζων σε — Μὴ φοβοῦ, ὅτι μετὰ σοῦ εἰμι.

4. Ψαλτήριον 117, 6.

Κύριος ἐμοὶ βοηθός, οὐ φοβηθήσομαι τί ποιήσει με ἄνθρωπος. Κύριος ἐμοὶ βοηθός, καὶ ἐγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου. Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον· ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχοντας.

5. Παῦλος, πρὸς Ῥωμαίους 8, 31.

Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;

3, 5.— *Ἰσοκράτης*, ἀπόσπ. III, 6', 8 (ἔκδ. Blass, τόμ. 2, Lipsiae, 1885, σελ. 277).—*Πλούταρχος*, Πλατωνικὰ ζητήματα, Ζήτημα Β', 2, σελ. 1001 C.—*Ἀρριανός*, Ἐπικτήτου διατριβαί 1, 9, 1. 1, 13, 3. 1, 19, 9. 2, 8, 11. 2, 14, 27. 2, 16, 33. 3, 24, 60. — *Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 31 (ἔκδ. Dübner, σελ. 102, στίχ. 54).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

6 Ἀρχίλοχος ἀπ. 56 (Bergk 2, 397).

Τοῖς θεοῖς τίθει τὰ πάντα· πολλάκις μὲν ἐκ κακῶν
ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονί,
πολλάκις δ' ἀνατρέπουσιν καὶ μάλ' εὖ βεβηκότας
ὑπτίους κλίνουσιν.

7. Σοφοκλῆς, Ἠλέκτρα 173.

Θάρσει μοι, θάρσει, τέκνον.
ἔτι μέγας οὐρανῷ
Ζεύς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει.

8. Εὐριπίδης, Ἡρακλεῖδαι 766.

Ζεύς μοι ξύμμαχος, οὐ φοβοῦμαι,
Ζεύς μοι χάριν ἐνδίκως
ἔχει· οὔποτε θνατῶν
ἥσσονες παρ' ἐμοὶ θεοὶ φανοῦνται. 1)

λ'. Ὑποταγὴ εἰς τὸν Θεὸν καὶ ὑπακοὴ εἰς τὰ κελεύσματα αὐτοῦ.

Ἀφοῦ εἶσαι θνητός, μάταιον νὰ εἶσαι ὑπερήφανος καὶ μωρὸν νὰ φρονῇς ὡς Θεός· δίκαιον εἶνε νὰ ὑποτάσσησαι εἰς αὐτόν. Οἱ εἰς τὸν Θεὸν ὑποτασσόμενοι πληροῦνται ἰσχύος καὶ δυνάμεως, πτεροφυοῦσιν ὡς ἀετοί, τρέχουσι, καὶ δὲν κοπιάζουσι· βαδίζουσι, καὶ δὲν πεινῶσιν. Ὁ Θεὸς εἶνε βασιλεὺς καὶ κύριος ἁπάντων· ὀφείλεις λοιπὸν νὰ ὑπακούῃς εἰς τὰ κελεύσματα αὐτοῦ. Ποτὲ μὴ ἔχῃς πεποίθησιν εἰς τὴν ἰδίαν σου σοφίαν· ἀληθινὸς σοφὸς εἶνε μόνον ἐκεῖνος, ὃν τιμᾷ ὁ Θεός. Ὁ σεβόμενος αὐτὸν

1) Ἔτι *Δευτερονόμιον* 7, 17-20. 20, 1. 31, 6. 33, 12.—*Ἰησοῦς Ναυῆ* 1, 9.—*Ῥοὺθ* 2, 12.—*Βασιλειῶν* Α'. 17, 37. 45-48. Β'. 22, 3. 29-32. Δ. '18, 22. 19, 10. — *Παραλειπομένων* Α'. 5, 20. 28, 20. Β'. 13, 18. 14, 11. 16, 8. 20, 12. 32, 7-8. — *Ἡσαΐας* 8, 14 καὶ 17. 10, 20. 12, 2. 17, 7. 25, 9. 26, 3. 31, 1. 32, 17. 33, 2. 36, 7. 37, 10. 49, 5. 50, 9-10. 58, 14.—*Ἱερεμίας* 1, 8. 17, 7 καὶ ἑξ. 26, 28. 37, 11. 49, 11. — *Μακκαβαίων* Α'. 12, 15. Β'. 2, 18. 7, 20 καὶ 41. 15, 7.—*Σοφία Σολομῶντος* 16, 24.—*Σιρὰχ* 2, 10. 35, 24. — *Παροιμίαι* 3, 5. 16, 20. 28, 25. 29, 25.—*Δανιήλ*, Ὅρασις α'. 35 καὶ 60.— *Ψαλτήριον* 17, 2 καὶ 3. 21, 5. 26, 1. 55, 11.=*Ὅμηρος*, Ἰλ. Α 175. 217. Δ 408.Θ 526. Μ 241. —*Σοφοκλῆς*, Αἴας 455.—*Πολύβιος* 10, 2, 11-12.—*Πλούταρχος*, περὶ τοῦ βίου καὶ τῆς ποιήσεως Ὁμήρου,κεφ. 118.—*Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 3, 26, 37. 4, 7, 17 καὶ 20.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ῥυθμίζων κατὰ τὰ κελεύσματα αὐτοῦ τὸν ἴδιον βίον καὶ ἄν ποτε κελευσθῇ ὑπὸ τοῦ Θεοῦ νὰ βαδίσῃ ὁδὸν κατὰ τὸ φαινόμενον ἄδικον, χρεωστεῖ καὶ ἐκεῖ νὰ ὁδοιπορήσῃ ἐν τῇ πεποιθήσει ὅτι οὐδὲν κελευόμενον ὑπὸ τοῦ Θεοῦ εἶνε αἰσχρόν. Τέλος τοῦ ἐν ἀνθρώποις βίου εἶνε τὸ ἕπεσθαι Θεῷ. Ὁ πεπαιδευμένος εἰς τοῦτο τὸ τέλος ἐνδελεχῶς ἔχει τὴν προσοχὴν αὐτοῦ ἐστραμμένην καὶ κατὰ τοῦτο ῥυθμίζει τὸν βίον αὐτοῦ. Ἡ ἀληθὴς παιδεία ἐν τούτῳ κεῖται· νὰ μάθῃ τις οὕτω νὰ θέλῃ ἕκαστα, ὅπως γίνονται ταῦτα· διότι ταῦτα γίνονται, ὅπως ὁ Θεὸς διέταξεν αὐτά. Ὅταν τις ὑποτάσσηται εἰς τὸν Θεὸν καὶ ῥυθμίζῃ τὸν ἑαυτοῦ βίον κατὰ τὰ προστάγματα αὐτοῦ, ἀποκαθαίρει ἑαυτόν· ἐκβάλλει τουτέστιν ἐκ τῆς διανοίας αὐτοῦ τὴν λύπην, τὸν φόβον, τὴν ἐπιθυμίαν, τὸν φθόνον, τὴν ἐπιχαιρεκακίαν, τὴν φιλαργυρίαν, τὴν μαλακίαν, τὴν ἀκρασίαν. Ὅταν δέ τις δὲν ὑποτάσσηται εἰς τὸν Θεὸν καὶ ἀπειθῇ εἰς τὰ θεῖα αὐτοῦ διατάγματα, οἰμώζει καὶ στένει διὰ παντὸς τοῦ βίου αὐτοῦ, διότι ἡ ζωὴ αὐτοῦ οὐδὲν ἄλλο εἶνε ἢ συνεχὴς λύπη, πένθος, φθόνος, ἀτυχία, δυστυχία. Πάντες πρέπει νὰ γείνωμεν ἀρεστοὶ εἰς τὸν Θεόν, νὰ εἱμεθα ὑποτεταγμένοι εἰς αὐτὸν καὶ νὰ πειθώμεθα εἰς τὰ θεῖα αὐτοῦ κελεύσματα.

1. Μακκαβαίων Β' 9, 12.

Δίκαιον ὑποτάσσεσθαι τῷ Θεῷ, καὶ μὴ θνητὸν ὄντα ἰσόθεα φρονεῖν ὑπερηφάνως.

2. Ἡσαΐας 40, 31.

Οἱ δὲ ὑπομένοντες τὸν Θεὸν ἀλλάξουσιν ἰσχύν, πτεροφυήσουσιν ὡς ἀετοί, δραμοῦνται καὶ οὐ κοπιάσουσι, βαδιοῦνται καὶ οὐ πεινάσουσιν.

3. Ὅμηρος, Ἰλ. Μ 241.

Ἡμεῖς δὲ μεγάλοιο Διὸς πειθώμεθα βουλῇ,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.

4. Σοφοκλῆς, ἀπ. 234 α.

Σοφὸς γὰρ οὐδεὶς πλὴν ὃν ἂν τιμᾷ θεός·
ἀλλ' ἐς θεοὺς ὁρῶντα κἂν ἔξω δίκης
χωρεῖν κελεύῃ, κεῖσ' ὁδοιπορεῖν χρεών·
αἰσχρὸν γὰρ οὐδὲν ὧν ὑφηγοῦνται θεοί.

5. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 1, 12, 5. 8. 15.

Τέλος ἕπεσθαι θεοῖς. — Ὁ δὲ παιδευόμενος ταύτην ὀφείλει τὴν ἐπιβολὴν ἔχων ἐλθεῖν ἐπὶ τὸ παιδεύεσθαι· πῶς ἂν ἑποίμην ἐγὼ ἐν παντὶ τοῖς θεοῖς; καὶ πῶς ἂν εὐαρεστοίην τῇ θείᾳ διοικήσει; καὶ πῶς ἂν γενοίμην ἐλεύθερος; . . τὸ παιδεύεσθαι, τοῦτ' ἔστι, μανθάνειν ἕκαστα οὕτω θέλειν, ὡς γίνεται. Πῶς δὲ γίνεται; Ὡς διέταξεν αὐτὰ ὁ διατάσσων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

6. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 2, 16, 45 καὶ 46.

Τὰ σαυτοῦ κάθαρον· ἐντεῦθεν, ἐκ τῆς διανοίας, ἔκβαλε, ἀντὶ Προκρούστου καὶ Σκίρωνος, λύπην, φόβον, ἐπιθυμίαν, φθόνον, ἐπιχαιρεκακίαν, φιλαργυρίαν, μαλακίαν, ἀκρασίαν. Ταῦτα δ' οὐκ ἔστιν ἄλλως ἐκβαλεῖν, εἰ μὴ πρὸς μόνον τὸν Θεὸν ἀποβλέποντα, ἐκείνῳ μόνῳ προσπεπονθότα, τοῖς ἐκείνου προστάγμασι καθωσιωμένον.

7. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 4, 4, 32.

Οἴμωζε τοίνυν, καὶ στένε, ὥσπερ ἄξιος εἶ. Τίς γὰρ ἄλλη μείζων ταύτης ζημία τῷ ἀπαιδεύτῳ καὶ ἀπειθοῦντι τοῖς θείοις διατάγμασιν, ἢ τὸ λυπεῖσθαι, τὸ πενθεῖν, τὸ φθονεῖν, ἁπλῶς τὸ ἀτυχεῖν καὶ δυστυχεῖν;

8. Ὅμηρος, Ἰλ. Α 215.

Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
« χρὴ μὲν σφωίτερόν γε, θεά, ἔπος εἰρύσσασθαι,
καὶ μάλα περ θυμῷ κεχολωμένον· ὣς γὰρ ἄμεινον.
ὃς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ ».

9. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 4, 12, 11.

Ἐγὼ δ' ἔχω τίνι με δεῖ ἀρέσκειν, τίνι ὑποτετάχθαι, τίνι πείθεσθαι· τῷ Θεῷ. 1)

λα'. Φόβος Θεοῦ.

Ὁ προσφέρων τῷ Θεῷ θυσίας καὶ ὁλοκαυτώματα οὐδὲν κερδαίνει· μόνον ὁ φοβούμενος τὸν Θεὸν εἶνε μέγας διὰ παντός· ἐνόσῳ ζῇ, εὐφραίνεται, ἀγάλλεται, εὐδοκιμεῖ, ἐπαινεῖται καὶ δοξάζεται· ὅταν δ' ἀποθάνῃ, ἐγκαταλείπει μνήμην ἀγαθοῦ ἀνδρὸς καὶ εὐλογεῖται ὑπὸ τῶν ἐπιζώντων. Δῶρον τοῦ Θεοῦ πολύτιμον, παρεχόμενον ἐξ

1) Ἔτι *Γένεσις* 22, 18. 26, 5.—*Λευιτικόν* 26, 3 καὶ ἑξ.—Δευτερονόμιον 19, 9. 26, 14 καὶ 17. 28, 15. 30, 2.—*Βασιλειῶν* Α'. 12, 14 καὶ ἑξ. Β'. 22, 36. Γ'. 9, 4-6.—*Παραλειπομένων* Β'. 7, 17-19.—*Ἡσαΐας* 29, 24. 65, 12.—*Σιρὰχ* 2, 15. 18, 3. 42, 23.= *Ὅμηρος*, Ἰλιάδ. Ε 815-828.—*Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 2, 23, 42. 3, 1, 36. 3, 24, 24. 43. 65. 95. 110. 114. 3, 26, 29. 4, 1, 154. 4, 3, 9. 4, 7, 17. 4, 10, 14.—*Συμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 31 καὶ κεφαλ. 32 (ἔκδ. Dübner, σελ. 91, στίχ. 37. σελ. 93, στίχ. 22. σελ. 109, στίχ. 45 καὶ ἑξ.)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀγάπης εἰς τοὺς θεοφιλεῖς ἀνθρώπους, εἶνε ὁ φόβος Κυρίου. Οὗτος καταθέτει τὰ θεμέλια εὐδαίμονος βίου καὶ ἀπογόνων χρηστῶν, πληροῖ τὸν οἶκον τοῦ ἔχοντος τὸ θεῖον τοῦτο δῶρον παντοίων ἀγαθῶν, καθιστᾷ τὸν βίον αὐτοῦ τερπνὸν καὶ εὐχάριστον, ἐν ἀμεταπτώτῳ εἰρήνῃ καὶ θαλερᾷ ὑγείᾳ καὶ ζηλωτῇ χρηστότητι καὶ εὐμενεῖ πραότητι διαπεραινόμενον. Φοβεῖσθε τὸν Θεόν. Ὁ φοβούμενος αὐτὸν γίνεται θεοφιλὴς καὶ ἔχει τὸν Θεὸν ἀείποτε εὐμενῆ καὶ οἰκτίρμονα, γίνεται μακάριος, τὸ γένος αὐτοῦ παρατείνεται ἐπὶ μακρὸν χρόνον ἐν ἀπτώτῳ εὐδοκιμήσει καὶ εὐδαιμονίᾳ, ἐν τῷ οἴκῳ αὐτοῦ δόξα εἰσοικίζεται καὶ πλοῦτος ἐπιρρέει καὶ ἡ ἀγαθὴ αὐτοῦ μνήμη καὶ μετὰ θάνατον ἐπὶ μακρότατον χρόνον παραμένει. Οἱ ἔχοντες πεποίθησιν εἰς τὰς ἰδίας αὐτῶν δυνάμεις, οἱ ὑπερτιμῶντες τὴν ἰδίαν αὐτῶν ἀξίαν, οἱ φρονοῦντες ὅτι οὐδεμίαν ἀνάγκην τοῦ Θεοῦ ἔχουσιν, οἱ φανταζόμενοι ὅτι εἶνε ὅλως περιττὸς ὁ φόβος τοῦ Θεοῦ γίνονται σὺν τῷ χρόνῳ πανάθλιοι· ἐνῷ οἱ μετριόφρονες, οἱ ἐκτιμῶντες κατ' ἀξίαν τὰς ἰδίας αὐτῶν ἀσθενεῖς δυνάμεις, πεποιθότες δὲ ἐπὶ τὸν Θεὸν καὶ φοβούμενοι αὐτὸν καταθέτουσι τὰ θεμέλια βίου εὐφροσύνου καὶ παρασκευάζουσιν ἑαυτοῖς τὴν ἐπὶ τῆς γῆς ταύτης παραμονὴν εὐδαίμονα, ἐλευθέραν καὶ ἀνεπηρέαστον ἀπὸ παντὸς πειρασμοῦ. Οἱ σώφρονες ἔχουσι φόβον Θεοῦ, οἱ ἄθεοι ὄχι· καὶ διὰ τοῦτο ὁ βίος αὐτῶν εἶνε πλήρης τῶν ἐκ τῆς ἀναρχίας ἀθλιοτήτων, σκιρτῶσι δὲ καὶ παρανομοῦσι καὶ οὐδέποτε ἡσυχίαν καὶ γαλήνην ἔχουσιν· ἐπακολουθεῖ μετ' ἀναγκαιότητος ἡ ἀθλιότης, ἥτις δι' οὐδενὸς μέσου εἶνε δυνατὸν νὰ ἀποσοβηθῇ. Ὁ φοβούμενος τὸν Θεὸν οὔτε ποιεῖ οὔτε βουλεύεταί ποτε ἀσεβές τι ἢ ἀνόσιον. Τὰ μεγάλα καλὰ προέρχονται ἐκ τοῦ Θεοῦ. Ἡ εὐτυχία τῶν φοβουμένων τὸν Θεὸν εἶνε ἀληθὴς καὶ μακροχρόνιος, ἐν ᾧ τῶν μὴ φοβουμένων αὐτὸν ψευδὴς καὶ ὅλως ἐφήμερος. Ὁ φοβούμενος τὸν Θεὸν δὲν φοβεῖται αὐτὸν τὸν Θεὸν ὡς φοβερὸν καὶ κακοποιὸν ὄν· φοβεῖται μόνον μὴ ἀποπέσῃ ἀπὸ τοῦ Θεοῦ καὶ γείνῃ κακὸς καὶ ἄθλιος. Ὅπως δηλ. ὁ φοβούμενος τὰ κακά, δὲν φοβεῖται αὐτὰ τὰ κακά, ἀλλὰ φοβεῖται μήπως ἐν τοῖς κακοῖς ἀναστρεφόμενος γείνῃ αὐτὸς κακὸς καὶ ἄθλιος, οὕτως ὁ φοβούμενος μήπως ἀποπέσῃ ἀπὸ τοῦ Θεοῦ διαφλέγεται ὑπὸ τῆς ἐπιθυμίας, ὅπως παραμείνῃ ἄφθαρτος καὶ ἀπαθής. Ὁ σοφὸς φοβούμενος τὰ κακὰ ἐκκλίνει ἀπ' αὐτῶν καὶ παραμένει ἁγνὸς καὶ ἄφθαρτος· ὁ ἄφρων μὴ φοβούμενος αὐτὰ ἐκχέεται εἰς αὐτά, ἀναμίγνυται μετ' αὐτῶν καὶ γίνεται πανάθλιος. Ταύτην τὴν σημασίαν ἔχει τὸ τῆς Ἁγίας Γραφῆς «ἐν φόβῳ Κυρίου ἐλπὶς ἰσχύος».

1. Ἰουδεὶθ 16, 16.

Μικρὸν πᾶσα θυσία εἰς ὀσμὴν εὐωδίας, καὶ ἐλάχιστον πᾶν στέαρ εἰς ὁλοκαύτωμά σοι. ὁ δὲ φοβούμενος τὸν Κύριον, μέγας διαπαντός.

2. Σιράχ 1, 11-28.

Φόβος Κυρίου δόξα καὶ καύχημα καὶ εὐφροσύνη καὶ στέφανος ἀγαλλιάματος· φόβος Κυρίου τέρψει καρδίαν, καὶ δώσει εὐφροσύνην καὶ χαρὰν καὶ μακροημέρευσιν. Τῷ φοβουμένῳ τὸν Κύριον εὖ ἔσται ἐπ' ἐσχάτων, καὶ ἐν ἡμέρᾳ τελευτῆς αὐτοῦ εὐλογηθήσεται. Φόβος Κυρίου δόσις παρὰ Κυρίου, καὶ ἐπ' ἀγαπήσεως τρίβους καθίστησι.. Ἀρχὴ σοφίας φοβεῖσθαι τὸν Κύριον, καὶ μετὰ πιστῶν ἐν μήτρᾳ συ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νεκτίσθη αὐτοῖς· μετὰ ἀνθρώπων θεμέλιον αἰῶνος ἐνόσσευσε, καὶ μετὰ σπέρματος αὐτῶν ἐμπιστευθήσεται. Πλησμονὴ σοφίας φοβεῖσθαι τὸν Κύριον, καὶ μεθύσκει αὐτὸν ἀπὸ τῶν καρπῶν αὐτῆς· πάντα τὸν οἶκον αὐτῶν ἐμπλήσει ἐπιθυμημάτων, καὶ τὰ ἀποδοχεῖα αὐτῶν γεννημάτων αὐτῆς. Στέφανος σοφίας φόβος Κυρίου, ἀναθάλλων εἰρήνην καὶ ὑγίειαν ἰάσεως. Ῥίζα σοφίας φοβεῖσθαι τὸν Κύριον, καὶ οἱ κλάδοι αὐτῆς μακροημέρευσις.. Φόβος Κυρίου ἀπωθεῖται ἁμαρτήματα· ἄφοβος δὲ οὐ δυνήσεται δικαιωθῆναι.. Σοφία γὰρ καὶ παιδεία φόβος Κυρίου καὶ ἡ εὐδοκία αὐτοῦ πίστις καὶ πραΰτης.

3. Πέτρος, Ἐπιστολὴ καθολικὴ Α΄ 2, 17.

Τὸν Θεὸν φοβεῖσθε.

4. Ψαλτήριον 32, 8.

Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ.

5. Ψαλτήριον 110, 10.

Ἀρχὴ σοφίας φόβος Κυρίου, σύνεσις ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτόν· ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

6. Πράξεις τῶν Ἀποστόλων 10, 34.

Οὐκ ἔστι προσωπολήπτης ὁ Θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν.

7. Ψαλτήριον 102, 13.

Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν.

8. Ψαλτήριον 111, 1-4.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα· δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται· δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

9. Βαρνάβας ὁ Ἀπόστολος παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ (Στρωματεῖς 2, 7 ἐν τέλει, ἔκδ. Potter, σελ. 447)

Οὐαὶ οἱ συνετοὶ παρ' ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες.. Πνευματικοὶ γενώμεθα, ναὸς τέλειος τῷ Θεῷ· ἐφ' ὅσον ἐστὶν ἐφ' ἡμῖν, μελετῶμεν τὸν φόβον τοῦ Θεοῦ, καὶ φυλάσσειν ἀγωνιζώμεθα τὰς ἐν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τολὰς αὐτοῦ, ἵνα ἐν τοῖς δικαιώμασιν αὐτοῦ εὐφρανθῶμεν. Ὅθεν, Ἀρχὴ σοφίας φόβος Θεοῦ θείως λέλεκται.

10. Παροιμίαι 7, 1.

Υἱὲ φύλασσε ἐμοὺς λόγους, τὰς δ' ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ· υἱὲ τίμα τὸν Κύριον, καὶ ἰσχύσεις· πλὴν δὲ αὐτοῦ μὴ φοβοῦ ἄλλον.

11. Μένανδρος, ἀπ. 1106 (Kock 3, 268).

Φόβος τὰ θεῖα τοῖσι σώφροσι βροτῶν.

12. Ἱππόδαμος ὁ Θούριος, ἀπ. 2 (Mullach 2, 13).

Καὶ τὰ μὲν ἔθεα οὕτως ἀσφαλίζεσθαι χρή· τὼς δὲ λόγως, τὸ τῶν σοφιστᾶν γένος ἐπικρίνοντας καὶ δοκιμάζοντας εἰ ποτὶ τὼς νόμως καὶ τὰ πολιτικὰ δόγματα καὶ τὰς ἰδίας οἰκονομίας τῶν βίων ὠφέλιμα λέγοντι. οὐ γὰρ τὴν τυχοῦσαν, ἀλλὰ τὰν μεγίσταν κακοδαιμοσύναν ἐντίκτοντι τοὶ τῶν σοφιστᾶν λόγοι ταῖς τῶν ἀνθρώπων ψυχαῖς, αἴ κα τολμῶντί τι κινῆν παρὰ τὰς κοινὰς ἐννοίας ἢ τῶν θείων ἢ τῶν ἀνθρωπίνων· ὃ οὔτε ποτ' ἀλάθειαν οὐδέ ποτ' ἀσφάλειαν οὐδὲ ποτὶ δόξαν καλόν ἐστι, ζόφωσιν δὲ καὶ σύγχυσιν ἐπιφέρει τῷ κοινῷ βίῳ τῶν ἀνθρώπων. τοιοῦτοι δὲ λόγοι τυγχάνοντι οἱ φάντες, ἤτοι μὴ εἶμεν τὸ θεῖον ἢ καὶ ἐὸν μὴ ἔχεν οὕτως ποτὶ τὸ τῶν ἀνθρώπων γένος, ὥστ' ἐπιβλέπεν αὐτὸ καὶ φροντίζεν, ἀλλ' ἐᾶν καὶ κατολιγωρέν. καὶ γὰρ ἃ τοιαύτα παραδοχὰ τοῖς ἀνθρώποις ἀφροσύναν καὶ ἀδικίαν ἐντίκτει, ὅσαν οὐδ' εἰπὲν δηλομένοις εὐμαρές ἐστι. πᾶς γὰρ ἄνθρωπος ἀναρχίας πλαρωθεὶς καὶ τὸν τῶ ὑπάτω ἀπωσάμενος φόβον, σκιρτᾷ τε καὶ παρανομεῖ, παντοδαπὸς γενόμενος.

13. Σοφοκλῆς, Οἰδίπους Τύραννος 881.

Θεὸν οὐ λήξω ποτὲ προστάταν ἴσχων.
εἰ δέ τις ὑπέροπτα χερσὶν ἢ λόγῳ πορεύεται,
Δίκας ἀφόβητος, οὐδὲ
δαιμόνων ἕδη σέβων,
κακά νιν ἕλοιτο μοῖρα,
δυσπότμου χάριν χλιδᾶς,
εἰ μὴ τὸ κέρδος κερδανεῖ δικαίως
καὶ τῶν ἀσέπτων ἔρξεταί
ἢ τῶν ἀθίκτων ἅξεται ματάζων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τίς ἔτι ποτ' ἐν τοῖσδ' ἀνὴρ θυμοῦ βέλη
εὔξεται ψυχᾶς ἀμύνειν;
εἰ γὰρ αἱ τοιαίδε πράξεις τίμιαι,
τί δεῖ με χορεύειν;

14. Ξενοφῶν, Κύρου Παιδεία 8, 7, 22.

Ἀλλὰ θεούς γε τοὺς ἀεὶ ὄντας καὶ πάντ' ἐφορῶντας καὶ πάντα δυναμένους, οἳ καὶ τήνδε τὴν τῶν ὅλων τάξιν συνέχουσιν ἀτριβῆ καὶ ἀγήρατον καὶ ἀναμάρτητον καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγητον, τούτους φοβούμενοι μήποτ' ἀσεβὲς μηδέν, μηδὲ ἀνόσιον μήτε ποιήσητε μήτε βουλεύσητε.

15. Πίνδαρος Ἰσθμιονικῶν 3, 4.

Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἔπονται
ἐκ σέθεν· ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων, πλαγίαις δὲ
οὐχ ὁμῶς πάντα χρόνον θάλλων ὁμιλεῖ. [φρένεσσιν

16. Κλήμης ὁ Ἀλεξανδρεύς, Στρωματεῖς 2, 8 ἐν τέλει.

Ὁ τοῦ ἀπαθοῦς Θεοῦ φόβος ἀπαθής· φοβεῖται γάρ τις οὐ τὸν Θεόν, ἀλλὰ τὸ ἀποπεσεῖν τοῦ Θεοῦ. Ὁ δὲ τοῦτο δεδιώς, τὸ τοῖς κακοῖς περιπεσεῖν, φοβεῖται καὶ δέδιεν τὰ κακά· ὁ δεδιὼς δὲ τὸ πτῶμα, ἄφθαρτον ἑαυτὸν καὶ ἀπαθῆ εἶναι βούλεται. Σοφὸς φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακοῦ· ὁ δὲ ἄφρων μίγνυται πεποιθώς. ἡ Γραφὴ λέγει· αὖθίς τε, Ἐν φόβῳ Κυρίου ἐλπὶς ἰσχύος, φησίν. 1)

---

1) Ἔτι *Γένεσις* 42, 19.—*Ἔξοδος* 1, 17. 21. 20, 20. 23, 27.—*Λευιτικὸν* 19, 14. 32. 25, 17.—*Δευτερονόμιον* 4, 10. 5, 29. 6, 2. 24. 8, 6. 10, 12. 14, 23. 17, 18. 31, 12 καὶ 13.—*Ἰησοῦς Ναυῆ* 24, 14.—*Βασιλειῶν* Α'. 12, 14. 24. Γ'. 8, 40 καὶ 43. 18, 3 καὶ 12. Δ'. 17, 36-39.—*Παραλειπομένων* Α'. 16, 30. Β'. 6, 31 καὶ 33. 19, 7 καὶ 9.—*Νεεμίας* 1, 11. 7, 2.—*Ἰὼβ* 37, 23.—*Ψαλτήριον* 102, 11. 17.—*Τωβὶτ* 4, 21. 14, 2.—*Ἰουδεὶθ* 16, 15.—*Μακκαβαίων* Δ'. 15, 8.—*Σιρὰχ* 2, 7-10 καὶ 15-17. 6, 16-17. 7, 31. 10, 19-25. 15, 1. 13. 19. 19, 20. 21, 6 καὶ 11. 23, 27. 25, 6. 10. 12. 27, 3. 31, 13-16. 33, 2. 35, 14 καὶ 16. 36, 1. 40, 26. 45, 23. — *Παροιμίαι* 1, 7. 3, 7. 8, 13. 9, 10. 10, 27. 14, 2. 26 καὶ 27. 15, 16. 27. 33. 19, 23. 22, 4. 23, 18. 24, 21. — *Ἐκκλησιαστὴς* 5, 6. 8, 12. 12, 13. — *Ἡσαΐας* 8, 13. 11, 3. 33, 18. 66, 14. — *Ἱερεμίας* 5, 24. 33, 19. 39, 39-40. —

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λϛ΄ Εὐσέβεια.

Κατὰ πάντα τρόπον εὐσεβεῖτε. Ἡ ἰσχὺς τῆς εὐσεβείας εἶνε μεγίστη. Ὁ εὐσεβὴς ἀντλεῖ δύναμιν ἐκ τῆς εὐσεβείας αὐτοῦ ὑπεράνθρωπον. Καὶ ἐν τοῖς ἐσχάτοις κινδύνοις εὑρισκόμενος καὶ ἐν τῇ ἐσχάτῃ δυστυχίᾳ περιπεσὼν δὲν ἀπελπίζεται· ἔχων πεποίθησιν εἰς τὴν δικαιοσύνην καὶ τὴν ἰσχυρὰν συναντίληψιν τοῦ Θεοῦ ἀγωνίζεται καὶ σώζεται. Τὰ εὐσεβῆ ἔθνη καὶ δοῦλα ὄντα ἀπαλλάσσονται ἐκ τῆς δουλείας ἐπιδεικνύοντα ἀξιοθαύμαστον εὐψυχίαν καὶ ὑπεράνθρωπον καρτερίαν. Ἐπικρατοῦσι πάντων τῶν προσκομμάτων καὶ πάσης βίας καὶ δυνάμεως τῶν καταδυναστευόντων αὐτὰ καὶ παρασκευάζουσιν οὕτω ἑαυτοῖς βίον ἐλεύθερον καὶ ἀνεξάρτητον, βίον αὐτόχρημα ἀνθρωπικόν. Ὁ Θεὸς εὐλογεῖ τοὺς εὐσεβεῖς, βδελύσσεται τοὺς ἁμαρτάνοντας καὶ ἀποστρέφει τὸ πρόσωπον αὐτοῦ ἀπὸ τῶν ἀσεβῶν. Ἡ ὁδὸς τῶν εὐσεβῶν εἶνε εὐθεῖα· προσκόμματα δὲν ὑπάρχουσιν εἰς αὐτήν. Ὁ ἀληθῶς σοφὸς εἶνε πάντοτε θεοσεβὴς καὶ πάντοτε ἐνάρετος. Χριστιανὸς δὲν εἶνε ὁ πιστεύων ἁπλῶς εἰς Χριστόν. Χριστιανὸς εἶνε ὁ πιστεύων εἰς Χριστόν, ἀλλὰ συγχρόνως ὢν καὶ ἐνάρετος καὶ πεπαιδευμένος καὶ ἐγκρατὴς καὶ μακρόθυμος καὶ εὐσεβὴς καὶ φιλάδελφος καὶ φιλάνθρωπος. Μὴ ζήτει τὸν Θεόν· οὐδέποτε θὰ ἴδῃς αὐτόν· τὸ σὸν καθῆκον εἶνε νὰ πιστεύῃς αὐτὸν ὡς ὄντα καὶ ἀεὶ παρόντα. Αὐτὸς εἶνε κύριος τοῦ οὐρανοῦ· καθῆκον σου εἶνε νὰ σέβησαι τὴν οὐρανοῦχον ταύτην ἀρχήν. Ἡ θεοσέβεια παρὰ πᾶσι τοῖς ἀνθρώποις ὑπολαμβάνεται ὡς τὸ πρώτιστον τῶν καθηκόντων. Τὰ πολυχρονιώτατα καὶ σοφώτατα ἔθνη εἶνε θεοσεβέστατα, καὶ αἱ φρονιμώτεραι ἡλικίαι τῶν θείων ἐπιμελέστεραι. Ἡ σωφροσύνη καὶ ἡ θεοσέβεια εἶνε τὰ κάλλιστα καὶ σοφώτατα τῶν ἐν ἀνθρώποις. Ὁ σεβόμενος τὸν Θεὸν εἶνε πλήρης θάρρους καὶ καλῶν ἐλπίδων. Μέγιστον ἐφόδιον τοῖς ἀνθρώποις εἶνε ὁ εὐσεβὴς βίος. Ἐν τοῖς ἀνθρώποις ἡ εὐσέβεια κέκτηται μεγίστην δύναμιν· ἀκοίμητος παραμένει μέχρις ὅτου βραβευθῇ ὁ ἀσκῶν αὐτὴν εἴτε ζῶν εἴτε τελευτήσας. Οἱ ἐκ παίδων σώφρονες καὶ θεοσεβεῖς καὶ ἀναστρεφόμενοι μετὰ χρηστῶν καταθέτουσιν ἀπαρασάλευτα τὰ θεμέλια βίου ἠθικοῦ καὶ εὐδαίμονος. Ἡ εὐσέβεια κεῖται πρώτιστα πάντων εἰς τὸ νὰ ἀποδίδωμεν εἰς τὸν Θεὸν ὅ τι δίκαιον εἶνε νὰ ἀποδίδηται εἰς αὐτὸν καὶ εἴτε νὰ ἀποδίδωμεν πρὸς τὴν πατρίδα καὶ τοὺς γονεῖς καὶ τοὺς ἀποιχομένους τὰ αὐτοῖς προσήκοντα. Πασῶν τῶν ἀρετῶν πρώτη εἶνε ἡ εὐσέβεια· ὁ κεκτημένος ταύτην καὶ ζῶν εὐδοκιμεῖ καὶ τελευτήσας εὐλογεῖται. Εὐσεβὴς εἶνε ὁ ἐνδομύχως πιστεύων ὅτι ὑπάρχει Θεός, ὁ εἰλικρινῶς πρεσδεύων ὅτι ὁ Θεὸς διοικεῖ καλῶς καὶ δικαίως τὰ σύμπαντα, ὁ πειθόμενος αὐτῷ, ὁ ὑφιστάμενος μεθ' ὑπομονῆς πάντα τὰ γινόμενα, ὁ ἑκουσίως ἀκολουθῶν τὰ ἅγια αὐτοῦ κελεύσματα. Ὁ εὐσεβὴς γνωρίζει ἀληθῶς τὸν Θεόν· εἶνε ὅσιος καὶ εὐσεβὴς καὶ θρῆσκος καὶ θεοφιλὴς καὶ φιλόθεος· τιμᾷ τοὺς ἄρχοντας καὶ τοὺς γονεῖς καὶ τοὺς προϊσταμένους αὐτοῦ· τιμᾷ τὴν σοφίαν, τὴν ὀρθὴν παιδείαν καὶ τὴν ἄναρχον ἀρχὴν καὶ ἀπαρχὴν τῶν ὄντων· ἐπιμελεῖται τῆς ψυχῆς αὐτοῦ προσέχων, ὅπως καταστῇ ἄξιος τῆς ἀγάπης τοῦ Θεοῦ· ἀγωνίζεται ὑπὲρ τῆς προόδου τῆς ἀνθρωποτητος καὶ ὑπηρετεῖ κατὰ πάντα τρόπον αὐτήν. Ὁ εὐσεβὴς ἐπιμελεῖται πρῶτον ἑαυτοῦ καὶ ἔπειτα τῶν

Μιχαίας 6, 9.—*Μαλαχίας* 3, 16. 4, 2.—*Παῦλος* πρὸς Κορινθίους Β΄ 7,1.=*Ὅμηρος* Ἰλ. Ν 624. Ὀδύσ. α 263. υ 215. χ 39.—*Ἡσίοδος*, Ἔργα καὶ Ἡμέραι 187. Ἀσπὶς Ἡρακλέους 21.—*Σοφοκλῆς*, Ἠλέκτρα 276.—*Μενάνδρος*, ἀπ. 766 (ἔκδ. Cock, 3, 215). — *Κλήμης ὁ Ἀλεξανδρεύς*, Παιδαγωγὸς βιβλ. 1, κεφ. 8. Στρωματεῖς, βιβλ. 2, κεφ. 8, (ἔκδ. Potter, σελ. 138 καὶ 448-450).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πλησίον ἵνα ὡς ἄριστοι γενώμεθα· ἐξετάζει τίνα εἶνε τὰ καθήκοντα αὐτοῦ πρὸς τὸν Θεόν, τοὺς γονεῖς, τοὺς ἀδελφούς, τὴν πατρίδα καὶ τοὺς ξένους· εἰς τὸν νοῦν αὐτοῦ οὐδέποτε ἐπέρχονται τὰ ἀσεβῆ ταῦτα διανοήματα ὅτι δὲν ὑπάρχει Θεός, ὅτι ὁ Θεὸς δὲν ἐπιμελεῖται τῶν ἀνθρώπων, ὅτι οὐδεμίαν σχέσιν ἔχουσιν οἱ ἄνθρωποι πρὸς αὐτόν, ὅτι ἡ εὔνοια τοῦ Θεοῦ εἶνε κατάψευσμα ἀλαζόνων ἀνθρώπων καὶ σοφιστῶν ἢ νομοθετῶν πρὸς ἐκφοβισμὸν τῶν ἀδικούντων, ὅτι ἡ δικαιοσύνη εἶνε λέξις κενή, ἡ αἰδὼς μωρία, ὁ πατήρ, ὁ υἱὸς καὶ τὰ τοιαῦτα σεμνὰ πράγματα ἔννοιαι κεναί· αἱ ἀσεβεῖς ἰδέαι αὗται ἀφανίζουσι τὰ ἔθνη, ἐκριζοῦσι πᾶν γενναῖον φρόνημα, καταπνίγουσι πᾶσαν τῆς ψυχῆς γενναίαν ὁρμήν, ἀποδαναυσοῦσι τὸν βίον τὸν ἀνθρώπινον καὶ ἐξανδραποδίζουσιν αἰῶνας καὶ λαούς. Ὁ σεβόμενος τὸν Θεὸν ἀγαπᾷ καὶ τοὺς ἀνθρώπους. Πάντων τῶν ἐν τῷ ἀνθρωπίνῳ γένει ἀγαθῶν τιμιώτατον εἶνε ἡ εὐσέβεια, ἣν μόνον ἀμάθεια μεγίστη δύναται νὰ καταπνίξῃ. Διδακτέον ἐξ ἁπαλῶν ὀνύχων τοὺς παῖδας νὰ τιμῶσι τὸν Θεὸν καὶ τοὺς νόμους. Ὁ βίος καὶ ἐν γένει πᾶν ἔργον ἀνθρώπινον ὀρθοπλοεῖ μόνον, ὅταν ἐρείδηται ἐπὶ τῆς ὁσιότητος καὶ τῆς εὐσεβείας.

1. Μακκαβαίων Δ΄. 18, 1.

Πάντα τρόπον εὐσεβεῖτε.

2. Σοφία Σολομῶντος 10, 13 κεξ.

Παντὸς δυνατωτέρα ἐστὶν ἡ εὐσέβεια. Αὕτη πραθέντα δίκαιον οὐκ ἐγκατέλειπεν, ἀλλ' ἐξ ἁμαρτίας ἐρρύσατο αὐτόν· συγκατέβη αὐτῷ εἰς λάκκον, καὶ ἐν δεσμοῖς οὐκ ἀφῆκεν αὐτόν, ἕως ἤνεγκεν αὐτῷ σκῆπτρα βασιλείας καὶ ἐξουσίαν τυραννούντων αὐτοῦ· ψευδεῖς τε ἔδειξεν τοὺς μωμησαμένους αὐτόν, καὶ ἔδωκεν αὐτῷ δόξαν αἰώνιον. Αὕτη λαὸν ὅσιον καὶ σπέρμα ἄμεμπτον ἐρρύσατο ἐξ ἔθνους θλιβόντων· εἰσῆλθεν εἰς ψυχὴν θεράποντος Κυρίου, καὶ ἀντέστη βασιλεῦσι φοβεροῖς ἐν τέρασι καὶ σημείοις. Ἀπέδωκεν ὁσίοις μισθὸν κόπων αὐτῶν· ὡδήγησεν αὐτοὺς ἐν ὁδῷ θαυμαστῇ, καὶ ἐγένετο αὐτοῖς εἰς σκέπην ἡμέρας, καὶ εἰς φλόγα ἀστέρων τὴν νύκτα.

3. Σιρὰχ 11, 22.

Εὐλογία Κυρίου ἐν μισθῷ εὐσεβοῦς, καὶ ἐν ὥρᾳ ταχινῇ ἀναθάλλει εὐλογίαν αὐτοῦ.

4. Σιρὰχ 15, 19.

Πολλὴ ἡ σοφία τοῦ Κυρίου· ἰσχυρὸς ἐν δυναστείᾳ, καὶ βλέπων τὰ πάντα· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν, καὶ αὐτὸς ἐπιγνώσεται πᾶν ἔργον ἀνθρώπου. Οὐκ ἐνετείλατο οὐδενὶ ἀσεβεῖν, καὶ οὐκ ἔδωκεν ἄνεσιν οὐδενὶ ἁμαρτάνειν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5. Ἡσαΐας 26, 7.

Ὁδὸς εὐσεβῶν εὐθεῖα εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν εὐσεβῶν. Ἡ γὰρ ὁδὸς Κυρίου κρίσις.

6. Ἰὼβ 28, 24.

Αὐτὸς τὴν ὑπ' οὐρανὸν πᾶσαν ἐφορᾷ, εἰδὼς τὰ ἐν τῇ γῇ πάντα ἃ ἐποίησεν.. εἶπε δὲ ἀνθρώπῳ· ἰδοὺ ἡ θεοσέβειά ἐστι σοφία, τὸ δὲ ἀπέχεσθαι ἀπὸ κακῶν, ἐστὶν ἐπιστήμη.

7. Πέτρος, Ἐπιστολὴ καθολικὴ Β'. 1, 5.

Ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην. ταῦτα γάρ, ὑμῖν ὑπάρχοντα καὶ πλεονάζοντα, οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν· ᾧ γὰρ μὴ πάρεστι ταῦτα, τυφλός ἐστι, μυωπάζων, λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν. Διὸ μᾶλλον, ἀδελφοί, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητε ποτέ. Οὕτω γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.

8. Φιλήμων, ἀπ. 118 (Kock 2, 515).

Θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μή..
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου.

9. Αἰσχύλος Χοηφόροι 960.

Ἄξιον δ' οὐρανοῦχον ἀρχὰν σέβειν.

10. Πίνδαρος, Πυθιονικῶν 6, 23.

Μάλιστα μὲν Κρονίδαν,
βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,
θεῶν σέβεσθαι.

11. Ξενοφῶν, Ἀπομνημονεύματα 4, 4, 19.

Παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται θεοὺς σέβειν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

12. Ξενοφῶν, Ἀπομνημονεύματα 1, 4, 16.

Οὐχ ὁρᾷς, ὅτι τὰ πολυχρονιώτατα καὶ σοφώτατα τῶν ἀνθρωπίνων, πόλεις καὶ ἔθνη, θεοσεβέστατά ἐστι, καὶ αἱ φρονιμώταται ἡλικίαι θεῶν ἐπιμελέσταται;

13. Εὐριπίδης, Βάκχαι 1150.

Τὸ σωφρονεῖν δὲ καὶ σέβειν τὰ τῶν θεῶν
κάλλιστον οἶμαι ταὐτὸ καὶ σοφώτατον
θνητοῖσιν εἶναι χρῆμα τοῖσι χρωμένοις.

14. Εὐριπίδης Ἴων 1620.

Σέβοντα δαίμονας θαρσεῖν χρεών.

15. Φιλήμων ἀπ. 181 (Kock 2, 529).

Οἱ γὰρ θεὸν σέβοντες ἐλπίδας καλὰς
ἔχουσιν εἰς σωτηρίαν.

16. Ἐπίχαρμος, ἀπ. 305 (Mullach 1, 146).

Εὐσεβὴς βίος μέγιστον ἐφόδιον θνατοῖς πέλει.

17. Εὐριπίδης, ἀπ. 449.

Οὔποτε θνητοῖς
ἀρετῆς ἄλλη δύναμις μείζων·
ἦλθε γὰρ ἡ πρόσθ' ἡ μετόπισθεν
τῆς εὐσεβείας χάρις ἐσθλή.

18. Εὐριπίδης, ἀπ. 1052.

Τὸν σὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι
χρηστοῖς θ' ὁμιλοῦντ' εὐσεβεῖν τ' ἠσκηκότα.
πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς
γένοιτ' ἄν; οὐδεὶς τοῦτο μ' ἂν πίθοι ποτέ.

19. Ἀριστοτέλης, περὶ ἀρετῶν καὶ κακιῶν 1250, 6, 19.

Ἔστι δὲ πρώτη τῶν δικαιοσυνῶν πρὸς τοὺς θεούς, εἶτα πρὸς δαίμονας, εἶτα πρὸς πατρίδα καὶ γονεῖς, εἶτα πρὸς τοὺς κατοιχομένους· ἐν οἷς ἐστιν ἡ εὐσέβεια, ἤτοι μέρος οὖσα δικαιοσύνης ἢ παρακολου-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θοῦσα· ἀκολουθεῖ δὲ τῇ δικαιοσύνῃ καὶ ὁσιότης καὶ ἀλήθεια καὶ ἡ πίστις καὶ ἡ μισοπονηρία.

20. Σοφοκλῆς, Φιλοκτήτης 1440.

Τοῦτο δ' ἐννοεῖτε . .
εὐσεβεῖν τὰ πρὸς θεούς.
ὡς τἄλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ
Ζεύς· οὐ γὰρ πὐσέβεια συνθνήσκει βροτοῖς,
κἂν ζῶσι κἂν θάνωσιν, οὐκ ἀπόλλυται.

21. Κλήμης ὁ Ἀλεξανδρεύς, ἀπ. 5 (ἔκδ. Potter, σελ. 1002).

Οὐδὲν γὰρ ὧν ἐσχήκαμεν ἔχομεν ἴδιον, ἑνὸς κτήματος μόνον τῆς εὐσεβείας ἐσμὲν ἰδιοκτήτορες· ταύτην ἡμᾶς θάνατος ἐπελθὼν οὐ συλήσει, τῶν ἄλλων δὲ ἁπάντων ἐκβαλεῖ καὶ μὴ θέλοντας.

22. Ἐπίκτητος, Ἐγχειρίδιον, κεφ. 31, 1.

Τῆς περὶ τοὺς θεοὺς εὐσεβείας ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνό ἐστιν, ὀρθὰς ὑπολήψεις περὶ αὐτῶν ἔχειν, ὡς ὄντων καὶ διοικούντων τὰ ὅλα καλῶς καὶ δικαίως· καὶ σαυτὸν εἰς τοῦτο κατατεταχέναι, τὸ πείθεσθαι αὐτοῖς, καὶ εἴκειν πᾶσι τοῖς γινομένοις, καὶ ἀκολουθεῖν ἑκόντα, ὡς ὑπὸ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις.

23. Κλήμης ὁ Ἀλεξανδρεύς, Στρωματεῖς 7, 1 (ἔκδ. Potter, σελ. 828-829).

Ἤδη δὲ καιρὸς παραστῆσαι τοῖς Ἕλλησι μόνον ὄντως εἶναι θεοσεβῆ τὸν Γνωστικόν, ὡς, ἀναμαθόντας τοὺς φιλοσόφους οἷός τ' ἐστὶν ὁ τῷ ὄντι Χριστιανός, τῆς ἑαυτῶν ἀμαθίας καταγνῶναι.. μάτην ἀθέους ἀποκαλοῦντας τοὺς τῷ ὄντι Θεὸν ἐγνωκότας . . Πρόκειται τοίνυν παραστῆσαι ἡμῖν μόνον τὸν Γνωστικὸν ὅσιόν τε καὶ εὐσεβῆ θεοπρεπῶς τὸν τῷ ὄντι Θεὸν θρησκεύοντα· τῷ θεοπρεπεῖ δὲ τὸ θεοφιλὲς ἕπεται καὶ φιλόθεον. Τίμιον μὲν οὖν ἅπαν τὸ ὑπερέχον ἡγεῖται κατὰ τὴν ἀξίαν, καὶ τιμητέον ἐν μὲν τοῖς αἰσθητοῖς τοὺς ἄρχοντας καὶ τοὺς γονεῖς καὶ πάντα τὸν πρεσβύτερον, ἐν δὲ τοῖς διδακτοῖς τὴν ἀρχαιοτάτην φιλοσοφίαν καὶ τὴν πρεσβίστην προφητείαν· ἐν δὲ τοῖς νοητοῖς τὸ πρεσβύτερον ἐν γενέσει, τὴν ἄχρονον καὶ ἄναρχον ἀρχήν τε καὶ ἀπαρχὴν τῶν ὄντων, τὸν Υἱόν· παρ' οὗ ἐκμανθάνειν τὸ ἐπέκεινα αἴτιον, τὸν Πατέρα τῶν ὅλων, τὸ πρέσβιστον καὶ πάντων εὐεργετικώ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τατον, οὐκέτι φωνῇ παραδιδόμενον, σεβάσματι δὲ καὶ σιγῇ μετὰ ἐκπλήξεως ἁγίας σεβαστόν, καὶ σεπτὸν κυριώτατα.. Θεραπεία τοίνυν τοῦ Θεοῦ, ἡ συνεχὴς ἐπιμέλεια τῆς ψυχῆς τῷ Γνωστικῷ, καὶ ἡ περὶ τὸ Θεῖον αὐτοῦ κατὰ τὴν ἀδιάλειπτον ἀγάπην ἀσχολία· τῆς γὰρ περὶ τοὺς ἀνθρώπους θεραπείας ἡ μὲν βελτιωτική, ἡ δὲ ὑπηρετική . . . Θεοσεβὴς γὰρ μόνος ὁ καλῶς καὶ ἀνεπιλήπτως περὶ τὰ ἀνθρώπεια ἐξυπηρετῶν τῷ Θεῷ.

24. Κλήμης ὁ Ἀλεξανδρεύς, Στρωματεῖς 7, 3 (ἔκδ. Potter, σελ. 837).

Εὐσεβὴς ἄρα ὁ Γνωστικός, ὁ πρῶτον ἑαυτοῦ ἐπιμελόμενος, ἔπειτα τῶν πλησίον, ἵν ὡς ἄριστοι γενώμεθα.

25. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 2, 17, 31.

Ἐγὼ θέλω μὲν καὶ ἀπαθὴς εἶναι καὶ ἀτάραχος· θέλω δ', ὡς εὐσεβὴς καὶ φιλόσοφος καὶ ἐπιμελής, εἰδέναι τί μοι πρὸς θεοὺς ἐστι καθῆκον, τί πρὸς γονεῖς, τί πρὸς ἀδελφούς, τί πρὸς πατρίδα, τί πρὸς ξένους.

26. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 2, 20, 22-28.

Τί λέγεις, φιλόσοφε; τὸ εὐσεβὲς καὶ τὸ ὅσιον ποιόν τί σοι φαίνεται; Ἂν θέλῃς, κατασκευάσω ὅτι ἀγαθόν. Ναὶ κατασκεύασον· ἵν' οἱ πολῖται ἡμῶν ἐπιστραφέντες τιμῶσι τὸ θεῖον, καὶ παύσωνταί ποτε ῥᾳθυμοῦντες περὶ τὰ μέγιστα. Ἔχεις οὖν τὰς κατασκευάς; Ἔχω, καὶ χάριν οἶδα. Ἐπεὶ οὖν ταῦτά σοι λίαν ἀρέσκει, λάβε τὰ ἐναντία· ὅτι θεοὶ οὔτ' εἰσίν, εἴτε καὶ εἰσίν, οὐκ ἐπιμελοῦνται ἀνθρώπων, οὐδὲ κοινόν τι ἡμῖν ἐστι πρὸς αὐτούς· τό τ' εὐσεβὲς τοῦτο καὶ ὅσιον παρὰ τοῖς πολλοῖς ἀνθρώποις λαλούμενον, κατάψευσμά ἐστιν ἀλαζόνων ἀνθρώπων καὶ σοφιστῶν, ἤ, νὴ Δία, νομοθετῶν, εἰς φόβον καὶ ἐπίσχεσιν τῶν ἀδικούντων. Εὖ φιλόσοφε· ὠφέλησας ἡμῶν τοὺς πολίτας, ἀνεκτήσω τοὺς νέους, ῥέποντας ἤδη πρὸς καταφρόνησιν τῶν θείων. Τί οὖτ' οὐκ ἀρέσκει σοι ταῦτα; Λάβε νῦν πῶς ἡ δικαιοσύνη οὐδέν ἐστι, πῶς ἡ αἰδὼς μωρία ἐστί, πῶς πατὴρ οὐδέν ἐστι, πῶς ὁ υἱὸς οὐδέν ἐστιν. Εὖ, φιλόσοφε· ἐπίμενε, πεῖθε τοὺς νέους, ἵνα πλείονας ἔχωμεν ταῦτά σοι πεπονθότας καὶ λέγοντας. Ἐκ τούτων τῶν λόγων ηὐξήθησαν ἡμῖν αἱ εὐνομούμεναι πόλεις· Λακεδαίμων διὰ τούτους τοὺς λόγους ἐγένετο· Λυκοῦργος ταῦτα τὰ πείσματα ἐνεποίησεν αὐτοῖς διὰ τῶν νόμων αὐτοῦ καὶ τῆς παιδείας, ὅτι οὔτε τὸ δουλεύειν αἰσχρόν ἐστι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μᾶλλον ἢ καλόν, οὔτε τὸ ἐλευθέρους εἶναι καλὸν μᾶλλον ἢ αἰσχρόν· οἱ ἐν Θερμοπύλαις ἀποθανόντες διὰ ταῦτα τὰ δόγματα ἀπέθανον· Ἀθηναῖοι δὲ τὴν πόλιν διὰ ποίους ἄλλους λόγους ἀπέλιπον; .. Ὦ μεγάλης ἀναισχυντίας καὶ γοητείας.

27. Λουκιανός, ὑπὲρ τῶν εἰκόνων 17, σελ. 495.

Ὅσοι τὸ θεῖον μὴ ἐν παρέργῳ σέβουσιν, οὗτοι καὶ τὰ πρὸς ἀνθρώπους ἄριστοι ἂν εἶεν.

28. Πλάτων, Ἐπινομὶς 989 Β.

Μεῖζον μὲν γὰρ ἀρετῆς μηδεὶς ἡμᾶς ποτε πείθῃ τῆς εὐσεβείας εἶναι τῷ θνητῷ γένει· τοῦτο δ' ὅτι δι' ἀμαθίαν τὴν μεγίστην ἐν ταῖς ἀρίσταις φύσεσιν οὐ γέγονε, λεκτέον.

29. Κλεινίας ὁ Πυθαγόρειος, ἀπ. 6 (Mullach 2, 24).

Διδάσκειν ὧν δεῖ τὼς νέως ἐξ ἀρχᾶς τάν τε τῶν θεῶν τιμὰν καὶ τὰν τῶν νόμων· ἐκ τῶνδε γὰρ φανερὸν ἂν εἴη, ὅτι πᾶν ἔργον ἀνθρώπινον καὶ βίος, ὃς ὁσιότατός τε καὶ εὐσεβείας μεθέξει, καὶ ὀρθοπλοεῖ. 1)

---

1) Ἔτι *Μακκαβαίων* Γ'. 3, 4. Δ'. 1, 1 καὶ 9. 5, 24 καὶ 31. 7, 18. 9, 23. 11, 5. 12, 14. 13, 26 καὶ 27. 15, 2. 12 καὶ 14. 16, 12. 13 καὶ 14.—*Σιρὰχ* 7, 29. 16, 13. 37, 12.—*Ἡσαΐας* 8, 13. 24, 16. 32, 8. 33, 6 — *Ἰωνᾶς* 1,9.— *Ἰησοῦς Ναυῆ* 4, 24. 22, 25.=*Ὁμηρος* Ἰλ. Δ 44-49. Ε 78. Ω 503. Ὀδύσ. α 64 - 67.—*Θέογνις* 145.— *Φωκυλίδης*, Γνῶμαι στίχ. 8.—*Πυθαγορείων χρυσᾶ ἔπη*, στίχ. 1 (Mullach 1, 193). *Ἐπίχαρμος*, ἀπ. 295 (Mullach 1, 146).— *Πίνδαρος*, ἀπ. 132.—*Ἱππόδαμος ὁ θούριος*, ἀπ. 1 (Mullach 2, 10, 6).— *Αἰσχύλος*, Ἀγαμέμνων 338.— *Σοφοκλῆς*, Οἰδίπους Τύραννος 881 καὶ ἑξ. Οἰδίπους ἐπὶ Κολωνῷ 1125. Ἀντιγόνη 368. 745.— *Εὐριπίδης*, Τρῳάδες 43 καὶ 86. Ἑκάβη 960. Φοίνισσαι 1321. Ἱκέτιδες 373. ἀπόσπ. 219.—*Τραγικῶν ἀδέσποτα*, ἀπ. 281 (Nauck, σελ. 694).— *Δίφιλος*, ἀπ. 138 (Kock, τόμ. 2, σελ. 580).—*Πλάτων*, Εὐθύφρων 1? Ε. Συμπόσιον 193 Α. Πολιτεία 385 C. 386 Α. Μίνως 318 Ε. Νόμοι 717 Α. 885 Β. 967 D. Ἐπινομὶς 987 Α. —*Ἀριστοτέλης*. Ἠθικὰ Εὐδήμια 1242, 6, 20. Ἠθικὰ Νικομάχεια 1163, 6, 16 καὶ 1164, 6, 5. Πολιτικὰ 1329, α, 29. Τοπικὰ 105, α, 6.—*Ξενοφῶν*, Κύρου Παιδεία 8, 7, 22. Ἀπομνημονεύματα 4, 3, 16. 4, 6, 2 - 5. — *Ἰσοκράτης*, πρὸς Δημόνικον 13, σελ. 4, d.—*Λυκοῦργος*, κατὰ Λεωκράτους 15 —*Πολύβιος* 5, 10, 6-7. 6, 4, 5. 6, 56, 7.—*Πλούταρχος*, περὶ τοῦ βίου καὶ τῆς ποιήσ. Ὁμήρου, κεφ. 184.— *Διόδωρος* 12, 20.— *Εὐσέβιος*, Εὐαγγελικὴ Προπαρασκευὴ 7, 3, 3, σελ. 177 (302 α) καὶ 13, 62, σελ. 404 (690 α).—*Ἱεροκλῆς*, εἰς τὰ τῶν Πυθαγορείων Χρυσᾶ Ἔπη ὑπόμνημα Ι 1 (Mullach 1, 417 - 421).— *Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 4, 26 καὶ 7, 3 (ἔκδ. Potter, σελ. 640 καὶ 835).— *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 1, 6, 39. 3, 7 26. 4, 7, 9 καὶ 11. — *Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 31 (ἔκδ. Dübner, σελ. 91, στίχ. 35 καὶ σελ. 93, στίχ. 3 καὶ 28).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λγ'. Λατρεία.

Ὁ λατρεύων τὸν Θεὸν καὶ φυλάσσων τὰς ἐντολὰς αὐτοῦ καὶ ποιῶν τὸ καλὸν καὶ τὸ ἀρεστὸν τῷ Θεῷ διάγει εὐδαίμονα τὸν βίον. Λατρεύει ἀληθῶς τὸν Θεὸν ὁ διάγων τὸν βίον αὐτοῦ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ὁ διαφυλάττων καθαρὰν τὴν συνείδησιν αὐτοῦ ἀπὸ νεκρῶν ἔργων, ὁ προσευχόμενος, ὁ ἐγκρατής, ὁ ἔχων εὔσπλαγχνον τὴν διάθεσιν τὴν ψυχικήν, ὁ προσάγων τῷ Θεῷ προσφορὰς καὶ προσφέρων αὐτῷ θυσίας οὐχὶ ἀλαζονικὰς καὶ πολυδαπάνους, ἀλλ' ἀξίας τῷ Θεῷ. Αἱ προσφοραὶ δὲ καὶ αἱ θυσίαι εἶνε· νὰ ἀφίστανται τις ἀπὸ πονηρῶν ἔργων καὶ ἀδίκων, νὰ ποιῇ τὰ δίκαια, νὰ λέγῃ τὴν ἀλήθειαν, νὰ ἔχῃ καθαρὰν τὴν συνείδησιν, νὰ ποιῇ τὸ καλόν, νὰ ὑποστηρίζῃ τὸ δίκαιον, νὰ ὑπερασπίζηται τοὺς ἀδικουμένους, νὰ βοηθῇ τὰ ὀρφανὰ καὶ τὰς χήρας. Εἰς τοιαύτας προσφορὰς χαίρει ὁ Θεὸς καὶ τοιαῦται θυσίαι εἶνε εὐπρόσδεκτοι αὐτῷ. Ὁ Θεὸς χαίρει τιμώμενος ὑπὸ τῶν ἀνθρώπων. Τὸ προσεύχεσθαι καὶ θεραπεύειν τὸν Θεὸν εἶνε κάλλιστον καὶ ἄριστον καὶ ἁνυσιμώτατον πρὸς τὸν εὐδαίμονα βίον καὶ ἐξόχως πρέπον. Ἐν τοῖς ὀρθογνωμονοῦσιν ἔθνεσι τὰ μέγιστα καὶ κάλλιστα καὶ πρῶτα τῶν νομοθετημάτων εἶνε τὰ ἀφορῶντα εἰς τὰς ἱδρύσεις ναῶν, εἰς τὰς θρησκευτικὰς τελετὰς καὶ εἰς τὰς λοιπὰς θεραπείας τοῦ Θεοῦ καὶ τῶν ἁγίων. Πάσῃ δυνάμει καὶ μὲ ἁγνὴν καὶ καθαρὰν καρδίαν πάντες πρέπει νὰ λατρεύωσι τὸν Θεόν. Πάντες πρέπει νὰ προσεύχωνται καὶ ὅταν κατακλίνωνται τὴν ἑσπέραν καὶ ὅταν ἐξεγείρωνται τὴν πρωΐαν καὶ ὅταν εἰσέρχωνται πρῶτον εἰς τὴν οἰκίαν· τοῦτο εἶνε ἀρεστὸν τῷ Θεῷ, καὶ τότε ἐπιδαψιλεύει ὁ Θεὸς τὰ ἀγαθὰ αὐτοῦ. Θυσίαν καθαρὰν θέλει ὁ Θεὸς καὶ καθημερινὴν καὶ πρόθυμον καὶ οὐχὶ νυσταλέαν οὐδὲ γλίσχραν οὐδὲ ὑπὲρ δύναμιν. Ἡ σύνεσις ἀπαιτεῖ καὶ κοινῇ καὶ ἰδίᾳ νὰ ὑμνῶμεν τὸν Θεὸν καὶ νὰ δοξολογῶμεν καὶ νὰ διηγώμεθα τὰς πολλὰς καὶ μεγάλας χάριτας, ἃς ἐπιδαψιλεύει ἡμῖν πρὸς διαγωγὴν καὶ κατακόσμησιν τοῦ βίου ἡμῶν καὶ νὰ εὐχαριστῶμεν αὐτὸν ἐπὶ τούτῳ. Ἡ ἀηδὼν καὶ ὁ κύκνος ποιοῦντες τὰ ἑαυτῶν ᾄδουσι γλυκύτατα ᾄσματα, ὁ δὲ ἄνθρωπος, λογικὸς ὢν καὶ ἐπίγνωσιν ἔχων τῶν παρὰ τοῦ Θεοῦ δωρημάτων, πρέπει νὰ ὑμνῇ καὶ νὰ δοξάζῃ καὶ νὰ εὐχαριστῇ τὸν Ὕψιστον. Πρὸ πάσης ἐπιχειρήσεως, μεγάλης ἢ μικρᾶς ἀδιάφορον, καὶ πρὸ πάσης σκέψεως καὶ ἀποφάσεως οἱ σώφρονες ἐπικαλοῦνται τὴν ἄνωθεν συναντίληψιν. Ὁ ἐν ταπεινοφροσύνῃ προσευχόμενος εἰσακούεται ὑπὸ τοῦ Θεοῦ· ἐν συντριβῇ δὲ καρδίας καὶ ἀποθαυμάζων τὴν μεγαλειότητα καὶ σεβόμενος τὴν ἁγιότητα τοῦ Θεοῦ αἰτεῖται παρ' αὐτοῦ αἰτήματα ὀρθὰ καὶ δίκαια καὶ ἄξια τῆς τε ἀνθρωπίνης ἀξιοπρεπείας καὶ τῆς ἁγιότητος τοῦ Θεοῦ, παρ' οὗ αἰτεῖται ταῦτα. Ἐν ταῖς ποικίλαις τοῦ βίου περιπετείαις μέμνησο τοῦ Θεοῦ καὶ αὐτὸν ἐπικαλοῦ βοηθὸν καὶ προστάτην. Κατὰ τὴν ἐκ τοῦ βίου ἔξοδον δόξασον τὸν Θεὸν διὰ τὰ πολλὰ καὶ μέγιστα καλά, ἅτινα σοὶ παρέσχε κατὰ τὸν βίον, αἴτησον αὐτὸν νὰ παράσχῃ τῇ πατρίδι καὶ τοῖς καταλειπομένοις οἰκείοις εὐδαιμονίαν καὶ δεηθητι αὐτοῦ νὰ σὲ κατατάξῃ εἰς ἣν ἂν αὐτὸς θέλῃ χώραν.

1. Ἔξοδος 23, 25.

Καὶ λατρεύσεις Κυρίῳ τῷ Θεῷ σου, καὶ εὐλογήσω τὸν ἄρτον σου καὶ τὸν οἶνόν σου καὶ τὸ ὕδωρ σου, καὶ ἀποστρέψω μαλακίαν ἀφ'

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὑμῶν. Οὐκ ἔσται ἄγονος οὐδὲ στεῖρα ἐπὶ τῆς γῆς σου· τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρώσω.

2. Δευτερονόμιον 6, 13 καὶ 17.

Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ καὶ αὐτῷ μόνον λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ — Φυλάσσων φυλάξῃ τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ σου, καὶ τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐνετείλατό σοι· καὶ ποιήσεις τὸ καλὸν καὶ τὸ ἀρεστὸν ἐναντίον Κυρίου τοῦ Θεοῦ σου, ἵνα εὖ σοι γένηται.

3. Λουκᾶς 1, 75.

Λατρεύειν — τῷ Κυρίῳ — ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

4. Παῦλος, πρὸς Ἑβραίους 9, 14.

Τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι.

5. Τωβὶτ 12, 8.

Ἀγαθὸν προσευχὴ μετὰ νηστείας καὶ ἐλεημοσύνης καὶ δικαιοσύνης.

6. Σιρὰχ 14, 11.

Τέκνον, καθὼς ἐὰν ἔχῃς εὐποίει σαυτόν, καὶ προσφορὰς Κυρίῳ ἀξίως πρόσαγε.

7. Σιρὰχ 31, 19.

Οὐκ εὐδοκεῖ ὁ ὕψιστος ἐν προσφοραῖς ἀσεβῶν, οὐδ' ἐν πλήθει θυσιῶν ἐξιλάσκεται ἁμαρτίας.

8. Σιρὰχ 32, 3.

Εὐδοκία Κυρίου ἀποστῆναι ἀπὸ πονηρίας, καὶ ἐξιλασμὸς ἀποστῆναι ἀπὸ ἀδικίας.

9. Παροιμίαι 16, 5.

Ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια, δεκτὰ δὲ παρὰ Θεῷ μᾶλλον ἢ θύειν θυσίας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

10. Παροιμίαι 21, 3.

Ποιεῖν δίκαια καὶ ἀληθεύειν, ἀρεστὰ παρὰ Θεῷ μᾶλλον ἢ θυσιῶν αἷμα.

11. Ἡσαΐας 1, 11-19.

Τί ἐμοὶ πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος; πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. Οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι· τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε· ἐὰν φέρηταί μοι σεμίδαλιν, μάταιον· θυμίαμα, βδέλυγμά μοι ἐστί. τὰς νουμηνίας ὑμῶν, καὶ τὰ σάββατα, καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν, καὶ ἀργίαν, καὶ τὰς νουμηνίας ὑμῶν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. Ὅταν τὰς χεῖρας ἐκτείνηται πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου· παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσητε χήραν, καὶ δεῦτε δή, καὶ διελεγχθῶμεν, λέγει Κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ.

12. Εὐριπίδης, Ἱππόλυτος 7.

Ἔνεστι γὰρ δὴ κἂν θεῶν γένει τόδε,
τιμώμενοι χαίρουσιν ἀνθρώπων ὕπο.

13. Πλάτων, Νόμοι 716 D.

Ὁ μὲν σώφρων ἡμῶν θεῷ φίλος, ὅμοιος γάρ, ὁ δὲ μὴ σώφρων ἀνόμοιός τε καὶ διάφορος καὶ ἄδικος· καὶ τἆλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον ἔχει. νοήσωμεν δὴ τούτοις ἑπόμενον εἶναι τὸν τοιόνδε λόγον, ἁπάντων κάλλιστον καὶ ἀληθέστατον. οἶμαι, λόγων, ὡς τῷ μὲν ἀγαθῷ θύειν καὶ προσομιλεῖν δὴ τοῖς θεοῖς εὐχαῖς καὶ ἀναθήμασι καὶ ξυμπάσῃ θεραπείᾳ θεῶν κάλλιστον καὶ ἄριστον καὶ ἀνυσιμώτατον πρὸς τὸν εὐδαίμονα βίον καὶ δὴ καὶ διαφερόντως πρέπον, τῷ δὲ κακῷ τούτων τἀναντία πέφυκεν. ἀκάθαρτος γὰρ τὴν ψυχὴν ὅ γε κακός, καθαρὸς δὲ ὁ ἐναντίος· παρὰ δὲ μιαροῦ δῶρα οὔτ' ἄνδρ' ἀγαθὸν οὔτε

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θεὸν ἔστι ποτὲ τό γε ὀρθὸν δέχεσθαι· μάτην οὖν περὶ θεοὺς ὁ πολύς ἐστι πόνος τοῖς ἀνοσίοις, τοῖσι δὲ ὁσίοις ἐγκαιρότατος ἅπασι.

14. Πλάτων, Πολιτεία 427 B.

Τά τε μέγιστα καὶ κάλλιστα καὶ πρῶτα τῶν νομοθετημάτων.. ἱερῶν τε ἱδρύσεις καὶ θυσίαι καὶ ἄλλαι θεῶν τε καὶ δαιμόνων καὶ ἡρώων θεραπεῖαι.

15. Ἡσίοδος, Ἔργα καὶ ἡμέραι 336.

Καὶ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν
ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἁγλαὰ μηρία καίειν·
ἄλλοτε δὲ σπονδῇς θυέεσσί τε ἱλάσκεσθαι.
ἠμὲν ὅτ' εὐνάζῃ καὶ ὅτ' ἂν φάος ἱερὸν ἔλθῃ·
ὡς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν.

16. Ἡσίοδος, Χείρωνος ὑποθῆκαι, ἀπ. 80 (Schöman).

Εὖ νῦν μοι τάδ' ἕκαστα μετὰ φρεσὶ πευκαλίμῃσιν
φράζεσθαι, πρῶτον μὲν ὅτ' ἂν δόμον εἰσαφίκηαι
ἔρδειν ἱερὰ καλὰ θεοῖς αἰειγενέτῃσιν.

17. Ἐπίκτητος, Ἐγχειρίδιον, κεφ. 31, 5.

Σπένδειν δὲ καὶ θύειν καὶ ἀπάρχεσθαι κατὰ τὰ πάτρια ἑκάστοτε προσήκει καθαρῶς, καὶ μὴ ἐπισεσυρμένως μηδὲ ἀμελῶς, μηδέ γε γλίσχρως, μηδὲ ὑπὲρ δύναμιν.

18. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 1, 16, 15-17. 20-21.

Εἰ νοῦν εἴχομεν, ἄλλο τι ἔδει ἡμᾶς ποιεῖν καὶ κοινῇ καὶ ἰδίᾳ, ἢ ὑμνεῖν τὸ θεῖον, καὶ εὐφημεῖν, καὶ ἐπεξέρχεσθαι τὰς χάριτας; Οὐκ ἔδει καὶ σκάπτοντας, καὶ ἀροῦντας, καὶ ἐσθίοντας ᾄδειν τὸν ὕμνον τὸν εἰς τὸν θεόν; Μέγας ὁ θεός, ὅτι ἡμῖν παρέσχεν ὄργανα τοιαῦτα, δι' ὧν τὴν γῆν ἐργασόμεθα· μέγας ὁ θεός, ὅτι χεῖρας δέδωκεν, ὅτι κατάποσιν, ὅτι κοιλίαν, ὅτι αὔξεσθαι λεληθότως, ὅτι καθεύδοντας ἀναπνεῖν. —Εἰ γοῦν ἀηδὼν ἦμην, ἐποίουν ἂν τὰ τῆς ἀηδόνος· εἰ κύκνος, τὰ τοῦ κύκνου· νῦν δὲ λογικὸς εἰμί, ὑμνεῖν με δεῖ τὸν θεόν· τοῦτό μου τὸ ἔργον ἐστί, ποιῶ αὐτό· οὐδ' ἐγκαταλείψω τὴν τάξιν ταύτην, ἐφ' ὅσον ἂν δίδωται· καὶ ὑμᾶς ἐπὶ τὴν αὐτὴν ταύτην ᾠδὴν παρακαλῶ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

19. Ἀρριανός Ἐπικτήτου διατριβαί 2, 23, 5.

Ἄνθρωπε, μήτ' ἀχάριστος ἴσθι, μήτε πάλιν ἀμνήμων τῶν κρεισσόνων. Ἀλλ' ὑπὲρ τοῦ ὁρᾶν καὶ ἀκούειν, καὶ νὴ Δία ὑπὲρ αὐτοῦ τοῦ ζῆν καὶ τῶν συνεργῶν πρὸς αὐτό, ὑπὲρ καρπῶν ξηρῶν, ὑπὲρ οἴνου, ὑπὲρ ἐλαίου, εὐχαρίστει τῷ Θεῷ.

20. Πλάτων Ἐπιστολὴ Η' 353 Α.

Ἀπὸ θεῶν χρὴ πάντα ἀρχόμενον ἀεὶ λέγειν τε καὶ νοεῖν.

21. Πλάτων, Τίμαιος 27 C.

Τοῦτο γε δὴ πάντες, ὅσοι καὶ κατὰ βραχὺ σωφροσύνης μετέχουσιν, ἐπὶ παντὸς ὁρμῇ καὶ σμικροῦ καὶ μεγάλου πράγματος θεὸν ἀεί που καλοῦσιν.

22. Δημοσθένης, Ἐπιστολαί, Α'. Περὶ τῆς ὁμονοίας, σελ. 1462.

Παντὸς ἀρχομένῳ σπουδαίου καὶ λόγου καὶ ἔργου ἀπὸ τῶν θεῶν ὑπολαμβάνω προσήκειν πρῶτον ἄρχεσθαι.

23. Ἱερεμίας 36, 12.

Προσεύξασθε πρός με, καὶ εἰσακούσομαι ὑμῶν.

24. Αἰσχύλος, Ἱκέτιδες 169 καὶ 172.

Ζεὺς . . /
ὑψόθεν δ' εὖ κλύοι καλούμενος.

25. Σιρὰχ 32, 17.

Προσευχὴ ταπεινοῦ νεφέλας διῆλθε, καὶ ἕως συνεγγίσῃ, οὐ μὴ παρακληθῇ, καὶ οὐ μὴ ἀποστῇ ἕως ἐπισκέψηται Κύριος, καὶ κρινεῖ δικαίοις καὶ ποιήσῃ κρίσιν.

26. Ματθαῖος 26, 41 καὶ 6, 9.

Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής — Οὕτως οὖν προσεύχεσθε ὑμεῖς· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

27. Κλεάνθης, ὕμνος εἰς Δία, στίχ. 1-8. 15-16. 18-19. 31-36 (Mullach 1, 151).

Κύδιστ' ἀθανάτων, πολυώνυμε, παγκρατὲς αἰεὶ
Ζεῦ, φύσεως ἀρχηγέ, νόμου μέτα πάντα κυβερνῶν,
χαῖρε· σὲ γὰρ πάντεσσι θέμις θνητοῖσι προσαυδᾶν.
Ἐκ σοῦ γὰρ γένος ἐσμέν, ἐνὸς μίμημα λαχόντες
μοῦνον, ὅσα ζώει τε καὶ ἕρπει θνήτ' ἐπὶ γαῖαν.
Τῷ σε καθυμνήσω, καὶ σὸν κράτος αἰὲν ἀείσω.
Σοὶ δὴ πᾶς ὅδε κόσμος ἑλισσόμενος περὶ γαῖαν
πείθεται, ᾗ κεν ἄγῃς, καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται..
Οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα, δαῖμον,
οὔτε κατ' αἰθέριον θεῖον πόλον, οὔτ' ἐνὶ πόντῳ..
Ἀλλὰ σὺ καὶ τὰ περισσὰ ἐπίστασαι ἄρτια θεῖναι,
καὶ κοσμεῖν τὰ ἄκοσμα, καὶ οὐ φίλα σοὶ φίλα ἐστίν..
Ἀλλὰ Ζεῦ πάνδωρε, κελαινεφές, ἀρχικέραυνε,
ἀνθρώπους ῥύοιο ἀπειροσύνης ἀπὸ λυγρῆς,
ἣν σύ, πάτερ, σκέδασον ψυχῆς ἄπο, δὸς δὲ κυρῆσαι
γνώμης, ᾗ πίσυνος σὺ δίκης μέτα πάντα κυβερνᾷς,
ὄφρ' ἂν τιμηθέντες ἀμειβώμεσθά σε τιμῇ,
ὑμνοῦντες τὰ σὰ ἔργα διηνεκές.

28. Εὐριπίδης, Τρῳάδες 884.

Ὦ γῆς ὄχημα κἀπὶ γῆς ἔχων ἕδραν,
ὁστις ποτ' εἶ σύ, δυστόπαστος εἰδέναι..
προσηυξάμην σε· πάντα γὰρ δι' ἀψόφου
βαίνων κελεύθου κατὰ δίκην τὰ θνήτ' ἄγεις.

29. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 2, 18, 29.

Τοῦ θεοῦ μέμνησο, ἐκεῖνον ἐπικαλοῦ βοηθὸν καὶ προστάτην, ὡς τοὺς Διοσκόρους ἐν χειμῶνι οἱ πλέοντες.

30. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 4, 1, 103-106.

Εἶτα σύ, πάντα εἰληφὼς παρ' ἄλλου, καὶ αὐτὸν σεαυτόν, ἀγαναξτεῖς καὶ μέμφῃ τὸν δόντα, ἂν σού τι ἀφέληται; Τίς ὤν; καὶ ἐπὶ τί ἐληλυθώς; Οὐχὶ ἐκεῖνός σε εἰσήγαγεν; οὐχὶ τὸ φῶς ἐκεῖνός σοι ἔδειξεν;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐ συνεργοὺς ἔδωκεν; οὐκ αἰσθήσεις; οὐ λόγον; Ὡς τίνα δὲ εἰσήγαγεν; οὐχ ὡς θνητόν; οὐχ ὡς μετ' ὀλίγου σαρκιδίου ζήσοντα ἐπὶ τῆς γῆς; καὶ θεασόμενον τὴν διοίκησιν αὐτοῦ, καὶ συμπομπεύσοντα αὐτῷ, καὶ συνεορτάσοντα πρὸς ὀλίγον; Οὐ θέλεις οὖν, ἕως δέδοταί σοι, θεασάμενος τὴν πομπὴν καὶ τὴν πανήγυριν, εἶτα, ὅταν σ' ἐξάγῃ, πορεύεσθαι προσκυνήσας καὶ εὐχαριστήσας ὑπὲρ ὧν ἤκουσας καὶ εἶδες;

31. Ἀρριανός, Ἐπικτήτου διατριβαί 4, 10, 14-17.

Ἂν.. με ὁ θάνατος καταλάβῃ, ἀρκεῖ μοι ἂν δύνωμαι πρὸς τὸν Θεὸν ἀνατεῖναι τὰς χεῖρας, καὶ εἰπεῖν, ὅτι Ἃς ἔλαβον ἀφορμὰς παρὰ σοῦ πρὸς τὸ αἰσθέσθαί σου τῆς διοικήσεως, καὶ ἀκολουθῆσαι αὐτῇ, τούτων οὐκ ἠμέλησα· οὐ κατῄσχυνά σε τὸ ἐμὸν μέρος. Ἰδοὺ πῶς κέχρημαι ταῖς αἰσθήσεσιν, ἰδοὺ πῶς ταῖς προλήψεσι. Μή ποτέ σε ἐμεμψάμην; μή τι τῶν γινομένων τινὶ δυσηρέστησα, ἢ ἄλλως γίνεσθαι ἠθέλησα; μή τι τὰς σχέσεις παρέβην; Διότι με σὺ ἐγέννησας, χάριν ἔχω ὧν ἔδωκας· ἐφ' ὅσον ἐχρησάμην τοις σοῖς, ἀρκεῖ μοι. Πάλιν αὐτὰ ἀπόλαβε, καὶ κατάταξον εἰς ἣν ἂν θέλῃς χώραν. Σὰ γὰρ ἦν πάντα, σύ μοι αὐτὰ δέδωκας.

32. Ξενοφῶν Κύρου Παιδεία 8, 7, 3.

Εὐθὺς οὖν λαβὼν ὁ μέγας Κῦρος ἱερεῖα ἔθυε Διί τε πατρῴῳ καὶ Ἡλίῳ καὶ τοῖς ἄλλοις θεοῖς ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι θύουσιν, ὧδε ἐπευχόμενος· Ζεῦ πατρῷε καὶ Ἥλιε καὶ πάντες θεοί, δέχεσθε τάδε καὶ τελεστήρια πολλῶν καὶ καλῶν πράξεων καὶ χαριστήρια, ὅτι ἐσημήνατέ μοι καὶ ἐν ἱεροῖς καὶ ἐν οὐρανίοις σημείοις καὶ ἐν οἰωνοῖς καὶ ἐν φήμαις ἃ τ' ἐχρῆν ποιεῖν καὶ ἃ οὐκ ἐχρῆν. πολλὴ δὲ ὑμῖν χάρις, ὅτι κἀγὼ ἐγίγνωσκον τὴν ὑμετέραν ἐπιμέλειαν καὶ οὐδεπώποτε ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρωπον ἐφρόνησα. αἰτοῦμαι δ' ὑμᾶς δοῦναι καὶ νῦν παισὶ μὲν καὶ γυναικὶ καὶ φίλοις καὶ πατρίδι εὐδαιμονίαν, ἐμοὶ δέ, οἷόν περ αἰῶνα δεδώκατε, τοιαύτην καὶ τελευτὴν δοῦναι. 1)

---

1) Ἔτι Ἔξοδος 8, 1 καὶ 20. 9, 1. 13. 10, 3. 7. 8. 11. 24. 26. 12, 31. 13, 5. — Ἀριθμοὶ 29, 39. — Δευτερονόμιον 10, 12. 20. 11, 13. — Ἰησοῦς Ναυῆ 22, 5. 27. 24, 14-15. 18-25. 31. — Βασιλειῶν Α'. 15, 22. 23. Β'. 15, 8. — Ἰουδελθ 8, 25. — Μακκαβαίων Α'. 2, 19. Γ'. 7, 16. — Ἱερεμίας 11, 15. — Ὡσηὲ 6, 6. —

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λδ'. Θρησκεία.

Τὸ ἔχειν ἀείποτε ἀνὰ στόμα τὸ ὄνομα τοῦ Θεοῦ μάταιον· οὐσιῶδες τὸ πράττειν ὅσα κελεύει ὁ Θεός. Λυσιτελέστατον τὸ φοβεῖσθαι τὸν Θεόν, γλυκύτατον τὸ προσέχειν ταῖς ἐντολαῖς αὐτοῦ, ἐνδοξότατον τὸ ἀκολουθεῖν αὐτῷ. Ἀκολουθεῖτε τῷ Θεῷ, φοβεῖσθε αὐτόν, φυλάττετε τὰς ἐντολὰς αὐτοῦ, ἀκούετε τῆς φωνῆς αὐτοῦ, δουλεύετε αὐτῷ, προστίθεσθε αὐτῷ. Ἡ θρησκεία δὲν κεῖται ἐν τοῖς λόγοις τοῖς σεμνοῖς, ἀλλ' ἐν τοῖς ἔργοις τοῖς ἀγαθοῖς· θρησκεία καθαρὰ καὶ ἀμίαντος εἶνε τὸ ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν καὶ τὸ τηρεῖν ἑαυτὸν ἄσπιλον ἀπὸ τοῦ κόσμου. Ὁ ἔχων πίστιν ἔργα δὲ μὴ ἔχων εἶνε ἄθρησκος. Τιμᾶται ὁ Θεός, ὅταν ὁμοιωθῇ αὐτῷ ἡ διάνοια ἡμῶν, ὅπερ μόνον διὰ τῆς ἀρετῆς γίνεται. Τὸ θέλημα τοῦ Θεοῦ εἶνε οἱ ἄνθρωποι νὰ πράττωσι τὰ καλά. Δὲν τιμᾶται ὑπὸ τοῦ Θεοῦ ἡ γλῶσσα, ἀλλὰ τὰ ἔργα. Ὁ σοφίαν ἀσκῶν, ἀσκεῖ ἐμπράκτως τὴν πρὸς τὸν Θεὸν εὐσέβειαν. Αὕτη κεῖται ἐν τῷ τιμᾶν τὸν Θεόν, ἄρχειν τοῦ σώματος, μὴ ἀδικεῖν τοὺς οἰκέτας. Οὐδεὶς ἄδικος εἶνε εὐσεβής. Καρπὸς τῆς εὐσεβείας εἶνε μόνον ἡ φιλανθρωπία. Ὅπως συγκρατηθῇ καὶ εὐδοκιμήσῃ ἔθνος τι, πρώτιστα πάντων οἱ πολῖται αὐτοῦ πρέπει νὰ ἔχωσι τὴν πεποίθησιν ὅτι ὑπάρχει Θεός, δημιουργὸς πάντων τῶν ἐν τῷ οὐρανῷ καὶ τῇ γῇ, διοικῶν καὶ διακοσμῶν τὰ σύμπαντα· ἔπειτα πρέπει νὰ σέβωνται αὐτὸν ὡς τὸν αἴτιον πάντων τῶν ἐν τῷ βίῳ καλῶν καὶ ἀγαθῶν καὶ νὰ ἔχωσι τὴν ψυχὴν καθαρὰν πάσης κακίας ἐν τῇ πεποιθήσει, ὅτι ὁ Θεὸς δὲν χαίρει ταῖς τῶν πονηρῶν θυσίαις καὶ δαπάναις, ἀλλὰ ταῖς τῶν ἀγαθῶν ἀνδρῶν δικαίαις τε καὶ κα-

Αμὼς 5, 20-27.— *Μιχαίας* 6, 6-10.— *Σιρὰχ* 15, 9-10. 31, 19-26. 32, 4-11. 39, 14. 35.—*Παροιμίαι* 3, 9. 15, 8. 21, 27.— **Προσευχή**: *Γένεσις* 24, 12. 26. —*Κριταὶ* 11, 30. 13, 8. 15, 18. 16, 28.— *Βασιλειῶν Α'*. 1, 11. 27. 2, 1. *Γ'*. 8, 28. — *Παραλειπομένων Β'*. 6, 4. 13-42. 7, 12. 30, 18. 32, 20. 24. 33, 13. 18. —*Ἔσδρας* 9, 6. — *Νεεμίας* 1, 4. 2, 5. 9, 6.— *Ἐσθὴρ* 4, 17. 5, 1.—*Ἱερεμίας* 39, 16.—*Σιρὰχ* 38, 9.— *Ματθαῖος* 6, 5-8. 26, 39-43.—*Λουκᾶς* 6, 12.—*Ἰωάννης* 17, 1-26.— *Παῦλος*, πρὸς Ῥωμαίους 1, 25.—*Ὅμηρος*, Ἰλιὰς Α 1. 37. 451. Β 412. Γ 276. 320. 351. Δ 44-50. Ε 115. Ζ 305. 476. Η 179. 203. Θ 242. Κ 278. 284. 462. Ο 372. Π 233. 514. Ρ 19. Ω 308. — Ὀδύσσεια α 1. 60-67. 378. 6 262. γ 55. δ 762. ε 445. ζ 324. μ 377. υ 61. 98. 12. — *Θέογνις* 555.— *Ἀλκμάν*, ἀπ. 2 (Bergk 3, 15).— *Τέρπανδρος*, ἀπ. 1 (Bergk 3, 8).— *Πίνδαρος* Ὀλυμπιονικῶν 13, 115.—*Αἰσχύλος* Ἑπτὰ ἐπὶ Θήβας 86-181.— Ἱκέτιδες 625-710. — *Σοφοκλῆς*, Αἴας 825-831. 949. Οἰδίπους Τύραννος 151-215. 919. Οἰδίπ. ἐπὶ Κολων. 1085. Ἀντιγόνη 152. 331. Ἠλέκτρα 1376.—*Εὐριπίδης*, Ἑλένη 753.—*Πλάτων*, Ἀπολογία Σωκρ. 23 Β. Τίμαιος 48 D. Κριτίας 106 Α. Φαῖδρος 244 Ε. Νόμοι 893 Β.—*Ἀριστοτέλης*, Πολιτικὰ 1328 6, 12.—*Ξενοφῶν*, Κύρου Παιδεία 4, 1, 2. Συμπόσιον 4, 49.— *Δημοσθένης*, πρὸς Λεπτίνην 161, σελ. 506.— *Θεόφραστος* παρ' Ἰωάννῃ τῷ Στοβαίῳ, Ἀνθολόγιον 3, 50. — *Πορφύριος*, πρὸς Μάρκελλαν 16-20. 24.—*Μάρκος Ἀντωνῖνος*, Τῶν εἰς ἑαυτὸν 9, 40.—*Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 7, 6 καὶ 7 (ἔκδ. Potter, σελ. 847-862.)— *Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 2, 19, 29. 3, 22, 2. 3, 26, 29-30. 4, 4, 18. 4, 5, 35. 4, 7, 9. — *Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου Ἐγχειρίδιον, κεφ. 31 (ἔκδ. Dübner, σελ. 93, στίχ. 26 καὶ ἑξ. σελ. 94, στίχ. 34 καὶ ἑξ.).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λαῖς ἐπιτηδεύσεσιν. Θυσία εὐπρόσδεκτος τῷ Θεῷ εἶνε ἡ ἀγαθὴ τῆς ψυχῆς διάθεσις, τὸ δὲ κατὰ Θεὸν ζῆν εἶνε τὸ σωφρόνως καὶ δικαίως πάντα πράττειν. Ὁ Θεὸς δὲν ἀποβλέπει εἰς τὰ δῶρα καὶ τὰς θυσίας· ἀτενὲς τὸ βλέμμα αὐτοῦ ἔχει εἰς τὴν ὁσιότητα καὶ τὴν δικαιοσύνην τῆς ψυχῆς. Τελειότητα θέλει ὁ Θεὸς καὶ βίον ὅσιον καὶ ἄμεμπτον καὶ ψυχὴν τελείαν, ὅ ἐστι ψυχὴν εὐσεβῆ καὶ ἐνάρετον. Τὸ βιοῦν συνῳδὰ τοῖς θείοις προστάγμασι καὶ τὸ τηρεῖν ἐν πᾶσι τὰς ἐντολὰς τοῦ Θεοῦ, τοῦτο εἶνε τὸ ἀρεστὸν τῷ Θεῷ, τοῦτο εἶνε τὸ ἕπεσθαι Θεῷ, ὅπερ ἐστὶ τέλος τοῦ ἀνθρωπίνου βίου. Ὁ ἄνθρωπος εἶνε ἀπόσπασμα τοῦ Θεοῦ μέρος τι αὐτοῦ ἔχει ἐν ἑαυτῷ. Ὅταν δὲ εἶνε ἀκάθαρτα τὰ διανοήματα καὶ ῥυπαραὶ αἱ πράξεις αὐτοῦ, μολύνει τὸν ἐν ἑαυτῷ Θεόν, ὅπερ ἀσεβέστερον ἢ τὸ μολύνειν τὰς χειροποιήτους εἰκόνας καὶ τοὺς χειροποιήτους ναοὺς αὐτοῦ. Ὁ βίος τῶν ἀρχομένων διαμορφοῦται πάντοτε κατὰ τὰς ἕξεις καὶ τὰ κελεύσματα τῶν ἑκάστοτε ἀρχόντων· συνῳδὰ δὲ τούτοις καὶ ὁ βίος τῶν ἀνθρώπων δέον νὰ συμμορφοῦται κατὰ τὰς ἕξεις καὶ τὰ κελεύσματα τοῦ Θεοῦ, διότι τοῦτον οἱ ἄνθρωποι ἔχουσιν ἄρχοντα. Τὰ ἄνω ζητεῖτε, τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ γῆς. Μιμηταὶ τοῦ Θεοῦ γίνεσθε. Ὁ Θεὸς εἶνε πλήρης ἀγάπης, ἀγαθὸς καὶ δίκαιος· καὶ ὁ βίος ὑμῶν λοιπὸν ἔστω πλήρης ἀγάπης, ἀγαθότητος καὶ δικαιοσύνης. Ὁ ἔχων ὑπ' ὄψιν τὴν ὑψηλὴν αὐτοῦ καταγωγήν, ὁ ἀναλογιζόμενος ὅτι γέγονεν ὑπὸ τοῦ Θεοῦ, ὅτι ὁ Θεὸς εἶνε ὁ πατὴρ αὐτοῦ οὐδέποτε εἶνε δυνατὸν νὰ σκεφθῇ ἢ νὰ πράξῃ ἀγεννές τι ἢ ταπεινόν· πᾶν τοὐναντίον· καταταστέλλει πᾶσαν ἐπιθυμίαν τῆς σαρκὸς αὐτοῦ, καθιστᾷ ἐν ἑαυτῷ δεσπότην καὶ κυρίαρχον τὴν φρόνησιν, ἐνισχύει τὸ ἐν ἑαυτῷ θεῖον, καταστέλλει τὸ ἐν ἑαυτῷ ζωῶδες καὶ διάγει τὸν βίον ἐν ὁσιότητι καὶ ἀληθείᾳ καὶ δικαιοσύνῃ. Οἱ δικαιοσύνην δὲ καὶ φρόνησιν διὰ παντὸς τοῦ βίου αὐτῶν ἐπιτηδεύοντες γίνονται φίλοι τῷ Θεῷ. Τὸ τέλος τοῦ ἀνθρώπου εἶνε νὰ γείνῃ κατὰ τὸ δυνατὸν ὅμοιος τῷ Θεῷ. Ὅμοιος δὲ τῷ Θεῷ κατὰ τὸ δυνατὸν γίνεται ὁ ἄνθρωπος, ὅταν εἶνε ἐνάρετος, ὅσιος, φρόνιμος καὶ δίκαιος. Τότε ὁ ἄνθρωπος εἶνε ὄντως κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ, ὅταν μιμῆται τὸν Θεὸν κατὰ τὸ δυνατὸν μηδὲν παραλιπὼν τῶν εἰς τὴν ἐνδεχομένην ταύτην ὁμοίωσιν ἀναγκαίων· ὅταν δηλ. ἐγκρατεύηται, ἔχῃ ὑπομονήν, βιοτ δικαίως, κρατῇ τῶν παθῶν αὐτοῦ, εὐεργετῇ καὶ λόγῳ καὶ ἔργῳ τὸν πλησίον καὶ τηρῇ ἀπαραβάτως τὰς ἐντολὰς τοῦ Θεοῦ. Τοῦτο δὲ καὶ μόνον τοῦτο εἶνε τὸ θρησκεύειν τὸ θεῖον, καὶ ὁ τοιοῦτος ἄνθρωπος καὶ μόνον ὁ τοιοῦτος εἶνε ὁ ἀληθῶς θρῆσκος.

1 Λουκᾶς 6, 46.

Τί δέ με καλεῖτε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω;

2. Ματθαῖος 7, 21.

Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

3. Σιρὰχ 23, 27.

Οὐθὲν κρεῖττον φόβου Κυρίου, καὶ οὐθὲν γλυκύτερον τοῦ προσέχειν ἐντολαῖς Κυρίου. Δόξα μεγάλη ἀκολουθεῖν Θεῷ.

4. Δευτερονόμιον 13, 4.

Ὀπίσω Κυρίου τοῦ Θεοῦ ὑμῶν πορεύεσθε, καὶ αὐτὸν φοβηθήσεσθε,

Ψηφιοποιήθηκε από το Κέντρο Εκπαιδευτικής Πολιτικής

καὶ τὰς ἐντολάς αὐτοῦ φυλάξεσθε, καὶ τῆς φωνῆς αὐτοῦ ἀκούσεσθε, καὶ αὐτῷ δουλεύσετε, καὶ αὐτῷ προστεθήσεσθε.

5. Ἰάκωβος, Ἐπιστολὴ καθολικὴ 1, 26-27. 2, 14.

Εἴ τις δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ, ἀλλ' ἀπατῶν καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία. Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ Θεῷ καὶ πατρὶ αὕτη ἐστίν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου — Τί τὸ ὄφελος ἀδελφοί μου, ἐὰν πίστιν λέγει τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ;

6. Πορφύριος, πρὸς Μάρκελλαν 16. 17. 18. 23. 34. 35.

Τιμήσεις μὲν ἄριστα τὸν θεόν, ὅταν τῷ θεῷ τὴν διάνοιαν ὁμοιώσῃς· ἡ δὲ ὁμοίωσις ἔσται διὰ μόνης ἀρετῆς . . θεὸς δὲ ἄνθρωπον βεβαιοῖ πράσσοντα καλά . . οὐχ' ἡγλῶττα τίμιον παρὰ θεῷ, ἀλλὰ τὰ ἔργα — ὁ σοφίαν ἀσκῶν ἐπιστήμην ἀσκεῖ τὴν περὶ θεοῦ, οὐ λιτανεύων ἀεὶ καὶ θύων, διὰ δὲ τῶν ἔργων τὴν πρὸς θεὸν ἀσκῶν εὐσέβειαν — οὗτος μέγιστος καρπὸς εὐσεβείας τιμᾶν τὸ θεῖον — καθαρεύειν τὴν διάνοιαν — ἄρχειν τοῦ σώματος — οἰκέτας πειρῶ μὴ ἀδικεῖν . . οὐκ ἐσθ' ὅπως γὰρ ἄνθρωπον ἀδικοῦντα σέβειν θεόν· ἀλλὰ κρηπὶς εὐσεβείας σοι νομιζέσθω ἡ φιλανθρωπία.

7. Διόδωρος ὁ Σικελιώτης 12, 20.

Ζάλευκος . . ἔφη δεῖν τοὺς κατοικοῦντας ἐν τῇ πόλει πάντων πρῶτον ὑπολαβεῖν καὶ πεπεῖσθαι θεοὺς εἶναι, καὶ ταῖς διανοίαις ἐπισκοποῦντας τὸν οὐρανὸν καὶ τὴν διακόσμησιν καὶ τάξιν κρίνειν οὐ τύχης οὐδ' ἀνθρώπων εἶναι ταῦτα τὰ κατασκευάσματα, σέβεσθαί τε τοὺς θεοὺς ὡς πάντων τῶν ἐν τῷ βίῳ καλῶν καὶ ἀγαθῶν αἰτίους εἶναι τοῖς ἀνθρώποις, ἔχειν δὲ καὶ τὴν ψυχὴν καθαρὰν πάσης κακίας ὡς τῶν θεῶν οὐ χαιρόντων ταῖς τῶν πονηρῶν θυσίαις τε καὶ δαπάναις ἀλλὰ ταῖς τῶν ἀγαθῶν ἀνδρῶν δικαίαις τε καὶ καλαῖς ἐπιτηδεύσεσι.

8. Σέξτος ὁ Πυθαγόρειος, ἀπ. 10 καὶ 11 (Mullach 1, 522).

Θυσία τῷ θεῷ, γνώμη ἀγαθή — Οὐκ ἔστι κατὰ θεὸν ζῆν ἄνευ τοῦ σωφρόνως καὶ δικαίως πάντα πράττειν.

9. Πλάτων, Ἀλκιβιάδης Β'. 149 Ε.

Καὶ γὰρ ἂν δεινὸν εἴη, εἰ πρὸς τὰ δῶρα καὶ τὰς θυσίας ἀποβλέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πουσιν ἡμῶν οἱ θεοί, ἀλλὰ μὴ πρὸς τὴν ψυχήν, ἄν τις ὅσιος καὶ δίκαιος ὢν τυγχάνῃ.

10. Γένεσις 17, 1.

Ἐγώ εἰμι ὁ Θεός σου, εὐαρέστει ἐναντίον ἐμοῦ, καὶ γίνου ἄμεμπτος.

11 Ματθαῖος 5, 48.

Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι.

12. Ἐπίκτητος, Ἐγχειρίδιον, κεφ 51, 2.

Ἄξίωσον σεαυτὸν βιοῦν ὡς τέλειον.

13. Βασιλειῶν Γ΄. 8, 61.

Ἔστωσαν αἱ καρδίαι ὑμῶν τέλειαι πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, καὶ ὁσίως πορεύεσθαι ἐν τοῖς προστάγμασιν αὐτοῦ, καὶ φυλάσσειν ἐντολὰς αὐτοῦ.

14. Σιμπλίκιος, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 43 (Dübner, σελ. 138, στίχ. 3).

Πᾶσα ἡ τῆς ἀνθρωπίνης ψυχῆς τελειότης εἰς τὴν πρὸς θεὸν ἐπιστροφὴν καὶ τὴν πρὸς αὐτὸν σύνταξιν ἀποκορυφοῦται.

15. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 1, 20, 15.

Τέλος ἐστὶ τὸ ἕπεσθαι θεοῖς.

16. Πλάτων, Νόμοι 716 Β.

Δῆλον δὴ τοῦτό γε, ὡς τῶν ξυνακολουθησόντων ἑσόμενον τῷ θεῷ δεῖ διανοηθῆναι πάντα ἄνδρα.

17. Ἀρριανός, Ἐπικτήτου διατριβαὶ 2, 8, 11-15.

Σὺ ἀπόσπασμα εἶ τοῦ θεοῦ· ἔχεις τι ἐν σεαυτῷ μέρος ἐκείνου. Τί οὖν ἀγνοεῖς σου τὴν εὐγένειαν; τί οὐκ οἶδας, πόθεν ἐλήλυθας; Οὐ θέλεις μεμνῆσθαι ὅταν ἐσθίῃς, τίς ὢν ἐσθίεις; καὶ τίνα τρέφεις; . . ὅταν γυμνάζῃ, ὅταν διαλέγῃ, οὐκ οἶδας ὅτι θεὸν τρέφεις; θεὸν γυμνάζεις; θεὸν περιφέρεις, τάλας, καὶ ἀγνοεῖς. Δοκεῖς με λέγειν ἀργυροῦν τινα ἢ χρυσοῦν ἔξωθεν; ἐν σαυτῷ φέρεις αὐτόν, καὶ μολύνων οὐκ αἰσθάνῃ ἀκαθάρτοις μὲν διανοήμασι, ῥυπαραῖς δὲ πράξεσι. Καὶ ἀγάλματος μὲν τοῦ θεοῦ παρόντος, οὐκ ἂν τολμήσαις τι τούτων ποιεῖν, ᾧ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποιεῖς· αὐτοῦ δὲ τοῦ Θεοῦ παρόντος ἔσωθεν, καὶ ἐφορῶντος πάντα, καὶ ἐπακούοντος, οὐκ αἰσχύνῃ ταῦτα ἐνθουμούμενος καὶ ποιῶν, ἀναίσθητε τῆς σαυτοῦ φύσεως, καὶ θεοχόλωτε;

18. Ἀριστοτέλης, Ἠθικὰ Εὐδήμια 1249, 6, 6.

Δεῖ δὴ ὥσπερ καὶ ἐν τοῖς ἄλλοις πρὸς τὸ ἄρχον ζῆν, καὶ πρὸς τὴν ἕξιν κατὰ τὴν ἐνέργειαν τὴν τοῦ ἄρχοντος, οἷον δοῦλον πρὸς δεσπότου καὶ ἕκαστος πρὸς τὴν ἑκάστου καθήκουσαν ἀρχήν. ἐπεὶ δὲ καὶ ἄνθρωπος φύσει συνέστηκεν ἐξ ἄρχοντος καὶ ἀρχομένου, καὶ ἕκαστον δὴ δέοι πρὸς τὴν ἑαυτῶν ἀρχὴν ζῆν. αὕτη δὲ διττή· ἄλλως γὰρ ἡ ἰατρικὴ ἀρχὴ καὶ ἄλλως ἡ ὑγίεια. ταύτης δ' ἕνεκα ἐκείνη. οὕτω δ' ἔχει κατὰ τὸ θεωρητικόν, οὐ γὰρ ἐπιτακτικῶς ἄρχων ὁ θεός, ἀλλ' οὗ ἕνεκα ἡ φρόνησις ἐπιτάττει. διττὸν δὲ τὸ οὗ ἕνεκα· διώρισται δ' ἐν ἄλλοις, ἐπεὶ ἐκεῖνός γε οὐθενὸς δεῖται. ἥτις οὖν αἵρεσις καὶ κτῆσις τῶν φύσει ἀγαθῶν ποιήσει τὴν τοῦ θεοῦ μάλιστα θεωρίαν, ἥ σώματος ἢ χρημάτων ἢ φίλων ἢ τῶν ἄλλων ἀγαθῶν, αὕτη ἀρίστη, καὶ οὗτος ὁ ὅρος κάλλιστος. εἴ τις δ' ἢ δι' ἔνδειαν ἢ δι' ὑπερβολὴν κωλύει τὸν θεὸν θεραπεύειν καὶ θεωρεῖν, αὕτη δὲ φαύλη.

19. Παῦλος, πρὸς Κολοσσαεῖς 3, 1.

Τὰ ἄνω ζητεῖτε . . τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς.

20. Παῦλος, πρὸς Ἐφεσίους 5, 1.

Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά· καὶ περιπατεῖτε ἐν ἀγάπῃ.

21. Πλάτων, Θεαίτητος 176 C.

Θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόν τε δικαιότατος, καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδὲν ἢ ὃς ἂν ἡμῶν αὖ γένηται ὅ τι δικαιότατος.

22. Πλάτων, Πολιτεία 540 A.

Τοὺς διασωθέντας καὶ ἀριστεύσαντας πάντα πάντῃ ἐν ἔργοις τε καὶ ἐπιστήμαις πρὸς τέλος ἤδη ἀκτέον, καὶ ἀναγκαστέον ἀνακλίναντας τὴν τῆς ψυχῆς αὐγὴν εἰς αὐτὸ ἀποβλέψαι τὸ πᾶσι φῶς παρέχον, καὶ ἰδόντας τὸ ἀγαθὸν αὐτό, παραδείγματι χρωμένους ἐκείνῳ, καὶ πόλιν καὶ ἰδιώτας καὶ ἑαυτοὺς κοσμεῖν τὸν ἐπίλοιπον βίον ἐν μέρει ἑκάστους.

23. Ἀρριανός, Ἐπικτήτου διατριβαί 1, 3, 1.

Εἴ τις τῷ δόγματι τούτῳ συμπαθῆσαι κατ' ἀξίαν δύναιτο, ὅτι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γεγόναμεν ὑπὸ τοῦ Θεοῦ πάντες προηγουμένως, καὶ ὁ θεὸς πατήρ ἐστι τῶν ἀνθρώπων.. οἶμαι ὅτι οὐδὲν ἀγεννὲς οὐδὲ ταπεινὸν ἐνθυμηθήσεται περὶ ἑαυτοῦ.

24. Παῦλος, πρὸς Ἐφεσίους 4, 20-24.

Ὑμεῖς δὲ οὐχ' οὕτως ἐμάθετε τὸν Χριστόν, εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἔστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ· ἀποθέσθαι ὑμᾶς, κατὰ τὴν προτέραν ἀναστροφήν, τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας.

25. Πλάτων, Πολιτεία 621 C. 613 A.

Ἂν ἐμοὶ πειθώμεθα, νομίζοντες ἀθάνατον ψυχὴν καὶ δυνατὴν πάντα μὲν κακὰ ἀνέχεσθαι, πάντα δὲ ἀγαθά, τῆς ἄνω ὁδοῦ ἀεὶ ἐξόμεθα καὶ δικαιοσύνην μετὰ φρονήσεως παντὶ τρόπῳ ἐπιτηδεύσομεν, ἵνα καὶ ἡμῖν αὐτοῖς φίλοι ὦμεν καὶ τοῖς θεοῖς, αὐτοῦ τε μένοντες ἐνθάδε, καὶ ἐπειδὰν τὰ ἆθλα αὐτῆς κομιζώμεθα, ὥσπερ οἱ νικηφόροι περιαγειρόμενοι, καὶ ἐνθάδε καὶ ἐν τῇ χιλιέτει πορείᾳ, ἣν διεληλύθαμεν, εὖ πράττωμεν— Οὐ γὰρ δὴ ὑπό γε θεῶν ποτὲ ἀμελεῖται, ὃς ἂν προθυμεῖσθαι ἐθέλῃ δίκαιος γίνεσθαι καὶ ἐπιτηδεύων ἀρετὴν εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι Θεῷ.

26. Πλάτων, Θεαίτητος 176 A.

Ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατόν.. ὑπεναντίον γάρ τι ἐν τῷ ἀγαθῷ ἀεὶ εἶναι ἀνάγκη· οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρύσθαι, τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης. διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅ τι τάχιστα. φυγὴ δὲ ὁμοίωσις τῷ Θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι.

27. Κλήμης ὁ Ἀλεξανδρεύς, Στρωματεῖς 2, 19 καὶ 6, 9 (ἔκδ. Potter, σ. 480 καὶ 778).

Οὗτος ἐστιν ὁ κατ' εἰκόνα καὶ ὁμοίωσιν.. ὁ μιμούμενος τὸν Θεὸν καθ' ὅσον οἷόν τε, μηδὲν παραλιπὼν τῶν εἰς τὴν ἐνδεχομένην ὁμοίωσιν· ἐγκρατευόμενος, ὑπομένων, δικαίως βιούς, βασιλεύων τῶν παθῶν, μεταδιδοὺς ὧν ἔχει ὡς οἷός τε ἐστὶν εὐεργετῶν καὶ λόγῳ καὶ ἔργῳ. Οὗτος μέγιστος, φησίν, ἐν τῇ βασιλείᾳ, ὃς ἂν ποιῇ καὶ διδάσκῃ,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μιμούμενος τὸν Θεὸν τῷ παραπλήσια χαρίζεσθαι· κοινωφελεῖς γὰρ αἱ τοῦ Θεοῦ δωρεαί.—σωτήριος γάρ τις ὁ τῷ Σωτῆρι ἐξομοιούμενος· εἰς ὅσον ἀνθρωπίνῃ φύσει χωρῆσαι τὴν εἰκόνα θέμις, ἀπαραβάτως τὰ κατὰ τὰς ἐντολὰς κατορθῶν. Τοῦτο δ' ἐστὶ θρησκεύειν τὸ Θεῖον διὰ τῆς ὄντως δικαιοσύνης ἔργων τε καὶ γνώσεως. 1)

Ἀρκεῖ!

Ταῦτα, καίπερ σμικρότατον πολλοστημόριον ὄντα τῶν ἐν τοῖς Ἱεροῖς ἡμῶν καὶ Ἐθνικοῖς βιβλίοις περὶ τῶν πρώτων ἠθικῶν καὶ θρησκευτικῶν ἰδεῶν εὑρισκομένων, ἀρκοῦσι νὰ καταδείξωσιν ἅμα μὲν τὴν σεμνότητα τοῦ περιεχομένου τῶν ἐμῶν Ἑλληνικῶν ἀναγνωστικῶν βιβλίων, ἅμα δὲ τὴν ἱερότητα τοῦ θρησκευτικοῦ καὶ ἐθνικοῦ ζήλου, μεθ' οὗ συνεκροτήθησαν τὰ βιβλία, ἅτινα προωρίζοντο διὰ τὴν πρώτην πνευματικὴν τροφὴν τῶν μικρῶν Ἑλληνοπαίδων. Κακῇ δ' ὅμως μοίρᾳ ἐμπεσόντα τό γε νῦν ἔχον εἰς κριτὰς ἐν ἀμαθίᾳ καὶ σκαιότητι ζῶντας ἠστόχησαν τοῦ σκοποῦ αὐτῶν.

Ἀλλὰ

τάχ' αὖριον ἔσσετ' ἄμεινον.

Τὸ Ἔθνος ἡμῶν — Θεοῦ εὐδοκοῦντος — θὰ ζήσῃ ἐπὶ μακρόν χρόνον, ὁ δὲ Θεὸς εἶνε μέγας καὶ δίκαιος.

---

1) Ἔτι *Λευιτικόν* 19, 2. 19. 37. 20, 7. 26.—*Βασιλειῶν* Α'. 2, 10. 12, 20-25. Δ'. 23, 3.—*Ἡσαΐας* 1, 11 καὶ ἑξ. 58, 6-14.—*Ὡσηὲ* 12, 6.—*Ματθαῖος* 5, 20.—*Λουκᾶς* 13, 27.—*Παῦλος*, Ἐπιστολὴ καθολικὴ πρὸς Τίτον 2, 12. Πρὸς Τιμόθεον Α'. 6, 11. Β'. 2, 19. Πρὸς Κορινθίους Α'. 6, 8 καὶ ἑξ. Πρὸς Ἐφεσίους 5, 9 καὶ ἑξ.—*Ἰάκωβος*, Ἐπιστολὴ καθολικὴ 2, 14-26.=*Πλάτων*, Πολιτεία 613 Α. Β.—*Χρύσιππος* παρὰ Διογένει Λαέρτίῳ 7, 87. 88.—*Μένανδρος* παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ, Στρωματεῖς 5, 14 (ἔκδ. Potter, σελ. 720).—*Κλήμης ὁ Ἀλεξανδρεύς*, Στρωματεῖς 2, 19. 6, 7. 7, 1. 7, 3, (ἔκδ. Potter, σελ. 482. 499. 770. 829. 835. 836 καὶ ἑξ.). Προτρεπτικὸς πρὸς Ἕλληνας, κεφ. 10 (ἔκδ. Potter, σελ. 95). Παιδαγωγός, βιβλ. 1, κεφ. 2 (Potter, σελ. 99).—*Μάρκος Ἀντωνῖνος*, Τῶν εἰς ἑαυτόν, βιβλ. 3, 16.—*Ἀρριανός*, Ἐπικτήτου διατριβαὶ 1, 12, 8. 2, 14, 12 καὶ 13. 2, 19, 26-30.—*Σιμπλίκιος*, Ἐξήγησις εἰς τὸ Ἐπικτήτου ἐγχειρίδιον, κεφ. 15 καὶ 31 (ἔκδ. Dübner, σελ. 67, στίχ. 10-38 καὶ σελ. 107, στίχ. 40 καὶ ἑξ.).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΔΙΟΡΘΩΤΕΑ

ὅσα τ' ἐστιν, γράφε *ὅσα τ' ἐστίν*, σελὶς 13, *στίχος* 7.
γνώη — *γνῴη*, σ. 15, 8 κάτωθεν ἐν ταῖς σημειώσεσιν.
χρῆ — *χρὴ*, σ. 19, 12 κάτωθ. ἐν ταῖς σημ.
ποεῖ — *ποιεῖ*, σ. 20, 12 ἐν ταῖς σημ.
τἄλλα — *τἆλλα*, σ. 21, 15 ἐν ταῖς σημ.
ἥδιστον — *ἡδιστον*, σ. 23, 19 ἐν ταῖς σημ.
ἂν . . χρισθῆ — *ἂν χρισθῇ*, σ. 25, 20 ἐν ταῖς σημ.
Ubrici — *Ulrici*, σ. 29, 9 ἐν ταῖς σημ.
φοντασίαις — *φαντασίαις*, σ. 29, 3 κάτωθ. ἐν ταῖς σημ.
ἅπασιν — *ἅπασιν*, σ. 33, 11 ἐν ταῖς σημ.
ἔοικεν — *ἔοικεν*, σ. 37, 2 ἐν ταῖς σημ.
beoachten — *beobachten*, σ. 41, 30 ἐν ταῖς σημ.
ἤδη — *ἤδη*, σ. 33, 2 ἐν ταῖς σημ.
ἅπτεται — *ἅπτεται*, σ. 46, 24 ἐν ταῖς σημ.
ἔργον ἐστιν — *ἔργον ἐστίν*, σ. 47, 4 κάτωθ. ἐν ταῖς σημ.
τόμ. 1 καὶ 3 — *τόμ. 1, σελ. 1-3*, σ. 48, 10 ἐν ταῖς σημ.
φιλάλλαλον — *φιλάλληλον*, σ. 50, 17 ἐν ταῖς σημ.
αἱρεῖσθαι — *αἱρεῖσθαι*, σ. 53, 7 ἐν ταῖς σημ.
ὅταν . . καλλωπίζεται — *ὅταν . . καλλωπίζηται*, σ. 56, 12 ἐν ταῖς σημ.
ἔϐα — *ἔϐα*, σ. 67, 1 ἐν ταῖς σημ.
Empfindlichteit — *Empfindlichkeit*, σ. 70, 3 ἐν ταῖς σημ.
σημασία ἐστιν — *σημασία ἐστίν*, σ. 70, 7 ἐν ταῖς σημ.
Ἀνδρεῖοι — *Ἀνδρεῖοι*, σ. 73, 12 κάτωθ. ἐν ταῖς σημ.
Ῥητορικά — *Ῥητορική*, σ. 74, 16 κάτωθ. ἐν ταῖς σημ.
σπουδαῖος — *σπουδαῖοι*, σ. 75, 23 ἐν ταῖς σημ.
ἤθη — *ἤθη*, σ. 75, 28 ἐν ταῖς σημ.
συγγραμάτων — *συγγραμμάτων*, σ. 79, 6.
ἄδονται — *ᾄδονται*, σ. 80, 6 ἐν ταῖς σημ.
εἰώθαμεν — *εἰώθαμεν*, σ. 83, 1 ἐν ταῖς σημ.
ἀλλο — *ἄλλο*, σ. 48, 13 ἐν ταῖς σημ.
οἰδέ εἰσί — *οἵδε εἰσί*, σ. 84, 5 κάτωθ. ἐν ταῖς σημ.
ραδίως — *ῥᾳδίως*, σ. 84, 2 κάτωθ. ἐν ταῖς σημ.
ὅτον — *ὅταν*, σ. 84, 2 κάτωθ ἐν ταῖς σημ.
συὶ εἴκελος ἀλκήν — *συὶ εἴκελος ἀλκήν*, σ. 85, 2 ἐν ταῖς σημ.
ἀίσονται — *ἀίσσονται*, σ. 85, 17 ἐν ταῖς σημ.
ὅσοι — *ὅσον*, σ. 87, 12 κάτωθ. ἐν ταῖς σημ.
ἀνυπάρχουσαν — *ἐνυπάρχουσαν*, σ. 87, 4 κάτωθ. ἐν ταῖς σημ.
636, 6, 24 — *626, 6, 24*, σ. 91, 11 ἐν ταῖς σημ.
πρὸ τὸ πνεῦμα — *πρὸς τὸ πνεῦμα*, σ. 91, 12 ἐν ταῖς σημ.
ἀλλ' ἐστιν ἀηδές — *ἀλλ' ἔστιν ἀηδές*, σ. 94, 10 κάτωθ. ἐν ταῖς σημ
ἴϐεις — *ἴϐεις*, σ. 94, 3 κάτωθ. ἐν ταῖς σημ.
νεοτιά — *νεοττιά*, σ. 99, 2.
Ἀριστττέλης — *Ἀριστοτέλης*, σ. 101, 12 κάτωθ. ἐν ταῖς σημ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀγρίων — *ἀγρίων*, σ. 102, 17 ἐν ταῖς σημ.
παραιώσασθαι — *περαιώσασθαι*, σ. 104, 12 ἐν ταῖς σημ.
Ἥρος — *Ἥρος*, σ. 106, 1 ἐν ταῖς σημ.
ὠδίνας — *ὠδῖνας*, σ. 110, 6.
ᾄδονται — *ἄδονται*, σ. 111, 17 ἐν ταῖς σημ.
Φαίδων — *Φαέθων*, σ. 116, 14 ἐν ταῖς σημ.
πολαμῶνται — *παλαμῶνται*, σ. 124, 20 ἐν ταῖς σημ.
εἶτα — *εἶτα*, σ. 126, 16 ἐν ταῖς σημ.
abar — *aber*, σ. 133, 13 κάτωθ. ἐν ταῖς σημ.
Über haupt — *Überhaupt*, σ. 133, 9 κάτωθ. ἐν ταῖς σημ.
Wnndt — *Wundt*, σ. 135, 2 ἐν ταῖς σημ.
φίλος ἐστι — *φίλος ἐστί*, σ. 141, 2 ἐν ταῖς σημ.
ἐπιστόλη — *ἐπιστολή*, σ. 142, 20 ἐν ταῖς σημ.
περιμμάτει — *περιμάττειν*, σ. 144, 16 ἐν ταῖς σημ.
ἀγριωτάτῳ — *ἀγριωτάτω*, σ. 154, 14 ἐν ταῖς σημ.
τερί — *περί*, σ. 157, 17 ἐν ταῖς σημ.
πεινῇ ἢ διψῇ — *πεινῇ ἢ διψῇ*, σ. 159, 27.
εὐφυίαν — *εὐφυΐαν*, σ. 167, 2.
ἦν — *ἦν*, σ. 170, 14 ἐν ταῖς σημ.
τέχνη — *τέχνη*, σ. 172, 3 ἐν ταῖς σημ.
ἤπατα — *ἧπατα*. θάτροις — *θεάτροις*, τὸν — *τῶν*, σ. 175, σημ. 1.
αἰσθανομένοις — *αἰσθανομέναις*, σ. 176, 7 ἐν ταῖς σημ.
οἳ — *οἱ*, σ. 184, 19 ἐν ταῖς σημ.
δυσχαιραίνειν — *δυσχεραίνειν*, σ. 187, 6 κάτωθ. ἐν ταῖς σημ.
ἐπεδκέπτου — ἐπιδκέπτου, σ. 188, 1.
ἐν τῇ νηῷ — *ἐν τῷ νηῷ*, σ. 188, 25 ἐν ταῖς σημ.
ἱστορεῖ — *ἱστορῶν*, σ. 189, 9 κάτωθ. ἐν ταῖς σημ.
οὕτω — *οὕτω*, σ. 204, 2 ἐν ταῖς σημ.
δημηγόρίαι — *δημηγορίαι*, σ. 208, 15.
Taylor — *Tylor*, σ. 205, 3 κάτωθ. ἐν ταῖς σημ. — 209, 5 κάτωθ. ἐν τῷ κειμένῳ.
τοιούτων τινῶν· περὶ τοῦ βίου — *τοιούτων τινῶν περὶ τοῦ βίου*, σ. 215, 14 ἐν ταῖς σημ.
Ἀνοκρέοντος — *Ἀνακρέοντος*, σ. 219, 18 κάτωθεν.
χαριέστκτα — *χαριέστατα*, σ. 221, 1.
Τελεμώνιος — *Τελαμώνιος*, σ. 230, 23.
ἀπορραθυμοῦντας — *ἀπορραθυμοῦντας*, σ. 230, στίχ. τελευταῖος.
Ἰλιάδ. — *Ἰλιάδ.*, σ. 232, 2 κάτωθεν ἐν ταῖς σημ.
αἰὲν — *αἰέν*, σ. 234, 12.
αἴ κέ ποθι — *αἴ κέ ποθι*, σ. 234, 13.
φύγει — *φύγεν*, σ. 234, 22.
ἤ μ' ἔθρεψε — *ἦ μ' ἔθρεψε*, σ. 235, 5.
αἴ κε — *αἴ κε*, σ. 250, 11.
ἔργα — *ἔργα*, σ. 251, 19.
ἀνδράσιν, οὔτε φυὴν αὔτ' ἄρ — *ἀνδράσιν, οὔτε φυὴν οὔτ' ἄρ*, σ. 252, 2.
ὄτρυνε καρηκομόωντας Ἀχαιούς». ὄφρα τάχιστα μαχώμεθα — *ὄτρυνε κάρη κομόωντας Ἀχαιούς, ὄφρα τάχιστα μαχώμεθα*», σ. 256, 17 καὶ 18.
ἐπιτημήτωρ — *ἐπιτιμήτωρ*, σ. 262, 10.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀνθρῴπων — *ἀνθρώπων*, σ. 263, 3.
ἄστρεπτοι — *ἄστρεπτοι*, σ. 281, 17.
οἷον — *οἷον*, σ. 282, στίχ. τελευταῖος ἐν τῷ κειμένῳ.
μνέσεσθαι — *μνήσεσθαι*, σ. 287, 14.
Αἱ παρ' Ὁμήρῳ μεταφοραί — *Αἱ παρ' Ὁμήρῳ μεταφοραί. Αἱ παρ' Ὁμήρῳ εἰκόνες*, σ. 296, 5.
ὀφθαλμὸν — *ὀφθαλμὸν*, σ. 302, 19 ἐν ταῖς σημ.
γήρας — *γῆρας*, σ. 306, 7 καὶ 8 ἐν ταῖς σημ.
οἱ — *οἱ*, σ. 324, 7.
ὀθνείας — *ὀθνείας*, σ. 328, 5.
ἐνθήμημα — *ἐνθύμημα*, σ. 365, 2 ἐν τῇ σημ.
παραδειγατικά — *παραδειγματικά*, σ. 365, 17.
ἔχει — *ἔχειν*, σ. 391, 14.
ὀλίγα — *ὀλίγα*, σ. 391, 2 κάτωθεν ἐν τῷ κειμένῳ.
Ἁρμονική — *Ἁρμονική*, σ. 393, 6.
τών — *τῶν*, σ. 393, 6.
Entsehung — *Entstehung*, σ. 406, 1 ἐν ταῖς σημ.
ἀλλαλαγμούς — *ἀλαλαγμούς*, σ. 410, 12.
ἀνθρωπίνου — *ἀνθρωπίνου*, σ. 411, 17.
ἐξεγέρσεσις — *ἐξέγερσις*, σ. 414, 6.
Mibrokosmus — *Mikrokosmus*, σ. 419, σημ. 2.
ἀνάγωγοι 2) — *ἀνάγωγοι*, σ. 424, 19.
εἰς Ἐπικτήτου — *εἰς τὸ Ἐπικτήτου*, σ. 426, 12 καὶ 433, 3 κάτωθ.
ἄλλω — *ἄλλῳ*, σ. 432, 6.
ἔρδων — *ἔρδων*, σ. 446, 23.
οἴκοι — *οἴκοι*, σ. 451, 9.
ἴσθι — *ἴσθι*, σ. 459, 19.
αὐτάρ — *αὐτάρ*, σ. 461, 13 κάτωθ. ἐν τῷ κειμένῳ.
Αἰσχύλος — *Αἰσχύλος*, σ. 461, 4 κάτωθ. ἐν τῷ κειμένῳ.
ἤν μή τις ἄλλος — *ἢν μή τις ἄλλος*, σ. 461, 2 κάτωθ. ἐν τῷ κειμένῳ.
ἐπετέλλετο — *ἐπετέλλετο*, σ. 468, 8.
ἀδικία ἢ ἀχαριστία — *ἀδικία ἡ ἀχαριστία*, σ. 478, 12.
διώκειν, — *διώκειν*., σ. 479, 8.
εὐγενής — *εὐγενής*, σ. 479, σειρὰ τελευταία τοῦ κειμένου.
βαλέεσσιν — *βελέεσσιν*, σ. 486, 5 κάτωθεν.
ὥσπερ — *ὥσπερ*, σ. 505, 2.
ἔτ' ἔστε — *ἔτ' ἐστέ*, σ. 513, 6.
ἔθνῶν — *ἐθνῶν*, σ. 514, 14.
Ἡσαΐας — *Ἡσαΐας*, σ. 516, 1 ἐν τῷ κειμ.
Βερούχ — *Βαρούχ*, σ. 517, 2 ἐν ταῖς σημ.
αὐθυπόστά ἐστι — *αὐθυπόστατά ἐστι*, σ. 520, 12.
ἐργα — *ἔργα*, σ. 525, 7.
ἐθεμελῶσας — *ἐθεμελίωσας*, σ. 525, στίχ. προτελευταῖος τοῦ κειμένου
αὐτός — *αὐτός*, σ. 526, 6.
ὅ ἄνθρωπος — *ὁ ἄνθρωπος*, σ. 529, 10.
ἐταξαν τε — *ἔταξάν τε*, σ. 535, 4 κάτωθεν ἐν τῷ κειμένῳ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4033

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



Ψηφιοποιήθηκε στο Ινστιτούτο Εκπαιδευτικής Πολιτικής


Αντιγραφή από τη Βιβλιοθήκη της Ακαδημίας Αθηνών

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής